
G,845


SIGILL : COLL : HARVARD : CANTAB : NOV : ANGL : 1650
CHRISTO ET ECCLESIAE

N. B. — the 2d title page is wanting.

CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE
BORUSSICAE

CONTINUATA.

[Vol. XI.]

EPHRAEMIUS.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXL.

Ephraemius Byzantinus

ex recognitione

(August) Immanuele Bekkeri.

Bonnae.

1840.

EPHRAEMII MONACHI

MPERATORUM ET PATRIARCHARUM

RECENSUS

INTERPRETE ANGELO MAIO, Cardinal.

Ephraemius. 1

IM

EPHRAEMII MONACHI

IMPERATORUM ET PATRIARCHARUM

RECENSUS

INTERPRETE ANGELO MAIO, Cardinal.

[illegible]

[illegible]

ANGELI MAII PRAEFATIO.

Historia Romani imperii, quod mature in Occidente exstinctum longe diuturnius in Oriente usque ad captam a Turcis Cpolim vitam suam propagavit, multorum profecto ingenia facultatemque scribendi exercuit, atque in his praecipue Byzantinos, ut vulgo loquimur, facundi oris homines, quorum magna et perutilia volumina a Gallicanis olim typis accepimus, nunc autem consociatis curis recognita novisque monumentis locupletata Germani homines doctissimi, consilio et ope ill. Niebuhrii, rursus exhibent. mihi ex iis qui Caesaream historiam scripserunt valde utilis atque exoptabilis visus est Ephraemius, cuius chronicon iambicis versibus elaboratum ab imperii fundatore Iulio Caesare usque ad receptam a Graecis e Francorum dominatione Cpolim per mille scilicet ac trecentos annos extenditur. iam hic historicus non solum ineditus erat, verum etiam tantae raritatis ut nonnisi in unico bibliothecae Vaticanae codice 1003 superesse videatur. primus hunc auctorem commemoravit, quod ego sciam, saeculo quinto decimo Raphaël Volaterranus in commentariis urbanis lib. 15 p. 176: *Ephraem Graecus ducentis abhinc annis vitas principum Cpolitanorum iambico carmine scripsit, quod opus in bibliotheca Vaticana cernitur.* atque hoc Volaterrani testimonium non latuit Vossium de hist. Gr. lib. 2 29. deinde Ephraemium saepe ad partes vocavit magnus

Allatius *), qui nunc chronographum Byzantinum nunc monachum appellat, sed nullam praeterea notitiam hominis tradit. laudata apud Allatium fragmenta Ephraemii legisse identidem se demonstrant Vossius hist. Gr. 2 28 et 29, Cangius in glossario, Cavaeus in ecclesiasticis scriptoribus, Fabricius in Gr. bibliotheca, Lequinius in patriarchatu Cpolitano, denique Bruckerus hist. philos. tom. 3 p. 549. hi enim auctores a me sunt observati; neque tamen dubito quin alii quoque ex Allatio Ephraemium noverint. iam Allatium ad excerpenda Ephraemii fragmenta usum fuisse codice Vaticano 1003 valde affirmarem, nisi varietates scripturae aliquot perplexum me redderent **). praeterea in codice acephalo Vati-

---

*) de consensione p. 435, 699, 702, 725, 776, et dissert. de Georgiis (ed. Fabric. bibl. Gr. t. 10) p. 664, 687, 807; item de Psellis (ed. Fabric. bibl. Gr. t. 5) p. 22 et contra Creyghtonum p. 306, 330, 526, 539, 614, 701, et in annotationibus ad Acropolitam cap. 6, 13, 16, 18, 33. idem Allatius de consens. p. 435 et ad Acropolitam cap. 33 dictum Ephraemii approbat de Trinobi episcopo Bulgariae primati subiecto, non Byzantino, ut ait Acropolita; quare et ego ad Allatii sententiam iam accedo. rursus idem in annot. ad Acrop. cap. 6 falli ait Ephraemium qui Camaterum patriarcham pulsum a Latinis Byzantio narrat, quum ipse sponte antea recessisset. denique contra Creyght. p. 701 egregie explicat dictionem *πομπὴ ἐπεισόδιος*, quod sit nempe solemnis in aulam ingressus novi Caesaris. quamobrem versus 6337, in Alexio 3, sic explicandus est; lexicographi autem vocabuli *ἐπεισόδιος* rationem deinceps habebunt, nec non v. 1253 *γνίφων* et v. 1517 *καινίς* et v. 2096 *τερμέριον*, v. 3875, 4141 et alibi *ὑγρόχερσος*. item animadvertent philologi notam S″ adhiberi ab Ephraemio non ad dimidiam sed ad quamlibet fracti numeri partem significandam.

**) hae varietates partim quidem nihil aliud sunt nisi menda typographica apud Allatium: partim vero, quia fortasse in codice videbantur deteriores lectiones, ab Allatio fuisse suspicor tacite immutatas. nonnullae tamen variae lectiones diversum codicem designare videntur. sic v. 4764 apud me, id est in codice Vaticano, est *τὶς τυγχάνων:* at Allatius contra Creyght. p. 527 *τυγχάνων τε*. apud me v. 6031 et 10238 est *ἐθάδα:* at Allatius *ἐνθάδε*, ut p. 241 n. 2 dixi. apud me v. 7713 *κραταρχεῖ:* at Allatius ann. ad Acropol. cap. 18 *κατάρχει*. item v. 7716 apud me *ἀνδρεῖον:* at Allatius loc. cit. *ἀρεῖον*. apud me v. 7197 et alibi *θεοσδ.:* at Allatius ad Acrop. cap. 13 *θεοδ*. apud me v. 7206

cano nomen Ephraemii non legitur; neque id ego divinavissem, nisi comparato codice cum laudatis ab Allatio fragmentis mihi innotuisset. superest ergo ut Allatius vel alium codicem prae manibus habuerit, vel certe Vaticanum nondum fortasse tum acephalum legerit, paucas autem varietates ipse exscribens effecerit. profecto cum folium tantummodo primum a codice absit, in quo nomen auctoris esse debuit, valde suspicor post Allatii aetatem id excidisse, cum codex Pio VI regnante, cuius nunc stemmata gerit, a bibliopego compactus fuit. et sane mihi narrant multa huiusmodi damna ab operarum inscitia Vaticanis codicibus, praesertim Graecis, accidisse. sed de codice hactenus. iam cum neque Allatius, ut dixi, neque alii eruditi quicquam de Ephraemio chronographo narrare videantur, mihi quidem de viro hoc quaerenti occurrebat Ephraemius ille, quem Iohannes XII patriarcha Cpolitanus ante sacram suam dignitatem legitimis nuptiis genuit; de quo nominatim Ephraemio verba facit Pachymeres in praedicti patriarchae notitia tom. 2 lib. 4 11, dum ait episcopos inter ceteras criminationes patriarcham reprehendisse quod bona ecclesiae Ephraemio filio suo dispensanda relinqueret, non constituto prout leges iubebant oeconomo. reapse et noster chronographus in patriarcharum catalogo memorat masculum Iohannis XII filium; sed de se ipso haud diserte loqui significat. et tamen aetas apprime congruit: namque hic Iohannes patriarchatum retinuit usque ad Christi annum 1304, noster autem Ephraemius chronicon suum anno 1313 concludit. iam ego fontes Ephraemicae chronologiae comperi, Zonaram quidem usque ad Alexii I Comneni obitum, Nicetam Choniatam usque ad Balduinum I imperatorem, deinde vero Georgium Acropolitam. age vero quod Ephraemius historiam poëtico metro con-

---

ἐμπαθεῖ θέᾳ: at Allatius loc. cit. ἐμπαθῆ θέαν. apud me v. 7404 ἐπεισπεπαικώς: at Allatius loc. cit. ἐπεισπεπτωκώς. apud me v. 10355 πω et 10359 ἐκδούς: at Allatius που et ἐνδούς, ut proprio in loco dixi.

scripserit, nemo magnopere irascatur, primo quia carmen iambicum narrationis perspicuitati peridoneum est et memoriam legentium apprime iuvat; deinde quia Pisidas etiam, Constantinus Manasses atque Tzetzes impune suas historias versibus composuerunt; qui nihilo minus auctores, praecipueque Tzetzes, magno usui apud eruditos sunt. atque ego Ephraemii quidem historiam propter suam eximiam utilitatem ad Latinam consuetudinem, soluta tamen oratione, transtuli: etsi enim olim poëticam non neglexi, nunc tamen pangendorum versuum plus decem milibus otium mihi voluntasque defuit.

---

* * * *)

Γάϊος ἔτη δ'.

Εἶτα κατέσχε τὸ κράτος τῶν Αὐσόνων
Γάϊος, Ἐπίκουρος ἢ Σατὰν τρόπον,
ὑπὲρ φύσιν βρότειον αὐτὸν σεμνύνων
ἢ καὶ θεουργῶν, ἡ κατάπτυστος φύσις,
ἀνὴρ ἀσελγὴς ἀποφρὰς μιαιφόνος·
ἐφ' οὗ Στέφανος πρωτομαρτύρων κλέος
μαρτυρίου στέφανον εὗρεν ἐκ λίθων,
σοφοί τ' ἐγνωρίζοντο δύο προκρίτων
Ἰώσηπός τε καὶ Φίλων ἐξ Ἑβραίων.

Κλαύδιος ἔτη ιδ'.

Τούτου καταστρέψαντος ἀθλίως βίον,
Ἑρμοῦ φίλος Κλαύδιος, ἠπία φύσις,
ἴσου τε φύλαξ, ὑπερόπτης χρημάτων,

*) deest in codice primum folium, quod Iulii Caesaris, Augusti et Tiberii notitiam continuit. desiderantur igitur ex universo opere versus paulo minus quinquaginta, ut paginarum ratio demonstrat. nihil tamen incognitum in hac lacuna amisisse nos puto. M. (i. e. *Maius*).

* * *

Caius annis 4.

Deinde Romanorum imperium tenuit Caius, vita Epicurus vel potius Satan, supra humanam naturam extollens semet divinamque affectans, vilissimus mortalis, (5) impudicus, scelestus, sanguinarius; sub quo prima Stephanus gloria martyrum adeptus est coronam de lapidibus. item sapientes praecluebant duo, Iosephus atque Philo, uterque Hebraeus.

Claudius an. 14.

(10) Postquam Caius misere abrupit vitam, literis Claudius et clementia praeditus, iustique tenax et pecuniae contemptor, Romani im-

τὰς ἡνίας εἴληφεν αὐσοναρχίας.
τούτου κρατοῦντος Θευδᾶς καὶ Σίμων μάγος
πολλοὺς ἐλυμαίνοντο κακοτεχνίαις,
πρῶτος δ' ἐπιβέβηκε τῆς Ῥώμης Πέτρος
σωτήριον κήρυγμα κηρύσσων ὅλοις.

Νέρων ἔτη ιδ'.

Μεθ' ὃν παρῆλθεν εἰς βασίλειον κράτος
Νέρων ἀσελγής, ἐμφερὴς τῷ Γαΐῳ,
θηλυδρίας ὢν καὶ θύλακος σαπρίας,
πρῶτος διώκτης, εὐσεβῶν καθαιρέτης
Χριστοῦ τε μυστῶν προκρίτων ἀναιρέτης.
εἶτα Γάλβας Ὄθων σὺν Οὐιτελίῳ
ἐπὶ βράχιστον τοῦ κράτους γεγευμένοι.

Οὐεσπασιανὸς ἔτη ι'.

Μεθ' οὓς κατηγλάϊσε τὴν κραταρχίαν
Οὐεσπασιανός, κλέος βασιλέων,
ἀρχὴν δράσας εὖ καὶ πλατύνας εἰς μέγα,
ἐχθρῶν νικητής, φιλότιμος τὴν χέρα,
ἀνήρ τις εὐπρόσιτος, ἡδὺς τοῖς φίλοις,
ὑπηκόοις δ' ἅπασι καὶ πεφιλμένος.

Τίτος ἔτη γ'.

Μεθ' ὃν Τίτος παῖς παραλαμβάνει κράτος,
θάλασσα καλῶν, φιλοδωρίας χύσις,

perii habenas tractandas cepit. eo regnante Theudas et Simon magi (15) malis permultos artibus decipiebant. primus autem Romam accessit Petrus, salubre cunctis nuntians evangelium.

Nero an. 14.

Post hunc pervenit ad potentiam regiam Nero luxuriae incontinens et Caio par, (20) pathicus vir et sacculus putredinis, primus piorum persecutor mortifer, praecipuorum Christi asseclarum carnifex. deinceps Galba Otho Vitelliusque degustaverunt sceptrum quam brevissime.

Vespasianus an. 10.

(25) Post hos ornavit Caesaream dignitatem Vespasianus, regnatorum decus, sospitator imperii propagatorque, hostium victor, et manu munificus, accessu facilis, iucundusque amicis, (30) subditis cunctis admodum dilectus.

Titus an. 3.

Successit in imperium Titus filius, bonitatis mare, effusa liberali-

εὐεργετικός, συμπαθής τις καρδία,
χρηστὸς τρόποις οἷς ὡραΐζεται κράτωρ,
ἄναξ ἀριστεὺς καὶ στρατηγὸς γεννάδας,
Ἰουδαϊκοῦ τοῦ θράσους καθαιρέτης·
οὗ πᾶσιν ἀοίδιμον ᾄδεται τόδε,
τὸ σήμερον δὲ μὴ βεβασιλευκέναι,
εὖ τινὰ μὴ δράσαντα ταῖς εὐποιΐαις,
καὶ "δεῖ τινὰ πρόσωπον ἄνακτος πάλιν
ἰδόντα μηδὲν στυγνὸν ἀνθυποστρέφειν."

Δομετιανὸς ἔτη ιε'.

Τούτου τὸ βιοῦν ἐκμετρήσαντος μόρῳ
Δομετιανός, ἡ βδελυρὰ καρδία,
φύσιν Τίτου σύναιμος, οὐ τρόπους ὅλως,
ἀναξίως εἴληφε τὴν αὐταρχίαν,
Χριστοῦ κολαστὴς οἰκετῶν καὶ μαρτύρων,
ἐφ' οὗ φιλητὸν τὴν θεηγόρον χάριν
νῆσός τις ἐξόριστον ἔσχεν, ἡ Πάτμος.
ηὔχει δ' Ἀπολλώνιος τερθρείαις τότε,
Πυθαγορικὸς Τυανεύς, σοφὸς γόης,
ὃς καίπερ ὢν πόρρωθεν ἀναιρουμένου
δηλοῖ παροῦσι τοῦ τυράννου τὸν μόρον.

Νερούας ἔτος α'.

Τούτου καταστρέψαντος αἰσχρῶς τὸν βίον
κλῆσιν Νερούας, εὐγενὴς ψυχὴν δέμας,

tas, beneficus, clementi instructus animo bonisque moribus qui regnantem decent, (35) princeps egregius, imperator strenuus, Iudaicae ferociae debellator. huius ab omnibus celebratur dictum "equidem hodie minime regnavi, quoniam beneficio affeci neminem." (40) itemque "qui ad conspectum regis venerit, eum non oportet tristem inde abscedere."

Domitianus an. 15.

Ubi cum vita mortem mutavit Titus, Domitianus animum scelestum gerens, Titi natura frater sed aliis moribus, (45) Christi servorum martyrumque carnifex, imperio contra meritum est potitus. sub eo dilectus propheticus discipulus in quadam exsulavit Patmo insula. tunc se iactavit praestigiis Apollonius (50) Tyanensis Pythagoricus, impostor callidus; qui procul licet degens nuntiavit tamen tyranni caedem iis qui sibi aderant.

Nerva an. 1.

Postquam Domitianus foede interiit, Nerva animo et corpore prae-

τὰ Ῥωμαϊκὰ σκῆπτρα παραλαμβάνει,
ταμεῖον ὄντως ἀρετῶν Χριστοῦ δίχα,
καλοῦ δὲ παντὸς αὐτοκράτορσι τύπος.
ἐφ᾽ οὗ τις ἀμύθητον εὗρε χρυσίον,
θησαυρὸν ἁβρὸν ἐγκατακεχωσμένον,
ὃν ἐκκαλύψας κράτορος μένει κρίσιν·
ὁ δ᾽ αὖ κεχρῆσθαι μηνύει καὶ κατέχειν.
ἀλλ᾽ ὑπὲρ αὐτὸν εὑρεθὲν φάσκει πέλειν.
ἧ δ᾽ ὃς "κατακέχρησο τοῖς εὑρημένοις."

Τραϊανὸς ἔτη ιη'.

Τούτου λιπόντος σὺν κραταρχίᾳ βίον
Τραϊανός τις, παῖς θετὸς τούτου, στέφος
καὶ σκῆπτρα παρείληφε τὰ τῶν Αὐσόνων,
εὐρὺ κλέος σχὼν ἐν νίκαις καὶ πρακτέοις,
εἰ καὶ διώκων εὐσεβεῖς ἦν μετρίως·
καθ᾽ ὃν χρόνον βέβρωτο θηρίων γνάθοις
ὁ θεοφόρος Ἰγνάτιος ἐν Ῥώμῃ,
ἄλλοι τε πλεῖστοι μαρτυρικῶς τὸν βίον
Χριστοῦ χάριν ἤνυσαν ἠγωνισμένοι.
τούτων μαθόντα τὴν κρατοῦντα τὸν φόνον,
ὡς οὐ πονηρᾶς αἰτίας πάσχειν τάδε,
οἷς δὲ Χριστὸν σέβουσιν ὡς θεὸν μόνον,
μὴ δεῖν κολάζειν θεσπίσαι χριστωνύμους.
τοῦτόν γ᾽ ἐπάρχῳ χειρίσαντα τὸ ξίφος

58 nempe Herodes Atticus, ut narrat in vitis Philostratus. M.

claro cluens (55) Romanae rei suscepit moderamen. hic plane egregius (nisi quod Christo caruit) bonorumque principum typus fuit. sub eo quidam repperit aurum plurimum, amplum nempe thesaurum humi obrutum, (60) quem ad arbitrium Caesaris effossum rettulit. hic autem et retinere hunc iussit eodemque uti. cumque ille maiorem privato rem diceret, "tu vero" inquit Nerva "inventa re vel abutitor."

Traianus an. 18.

Ubi imperium Nerva cum vita dereliquit, (65) Traianus, huius adoptione filius, Romanorum sceptrum occupavit, victoriis vir rebusque gestis inclitus. is tamen pios aliquantum persecutus est; quo tempore contritus bestiarum dentibus (70) theophorus Ignatius in Roma fuit, atque alii insuper plurimi vitam martyres Christi causa certando consummarunt. quorum intellecto Traianus interitu, negavit dignos fuisse talia pati (75) eo quod Christum unice deum colerent; et ne Christiani vexarentur vetuit. idem cum praefecto gladium traderet, dixisse fertur

"δέδεξο τουτὶ ταῖν χεροῖν" τοῦτον φάναι,
"κἂν μὲν καλῶς ὦ διέπων τὰ τοῦ κράτους,
ὑπέρ γ' ἐμαυτοῦ τῷδε χρηστέον, φίλε·
εἰ δ' αὖ γε κακῶς, κατ' ἐμαυτοῦ καρδίας."

Ἀδριανὸς ἔτη κα'.

Τούτου δὲ βίον καὶ κράτος λελοιπότος
Ἀδριανὸς Αἴλιος, ἀριστεὺς μέγας,
διάδοχος δέδεικτο τῆς μοναρχίας,
ἑρμαϊκός τε καὶ μεγαλόφρων ὅλοις,
μὴ δεῖν κολάζειν θεσπίσας χριστωνύμους.
τούτου δ' ἱππεύοντος ἐν λεωφόρῳ
ἐδεῖτο γυνὴ λιπαρῶς ἐγκειμένη·
ὁ δ' "οὐ σχολάζω" τῇδ' ἐγκειμένῃ λέγει.
καὶ "μηδὲ βασίλευε" πρὸς τόνδ' ἀντέφη·
ὁ δὲ στραφεὶς προσέσχεν αὐτῆς τῇ δίκῃ.
οὗτος πολίζει πρὸς Παλαιστίνῃ πόλιν,
ὅπου Σιὼν ἵδρυτο κατεσκαμμένη,
Καπιτωλίναν καλέσας τήνδ' Αἰλίαν·
καὶ ναὸν ἀντήγειρε Διὶ τῷ Κρόνου,
οὗ πρὶν Σολομὼν τὸν ναὸν τεύξας ἔχει.
τοῦτ' οὐκ ἀνεκτὸν ἦν Ἰουδαίων φύλῳ·
συσπειραθέντες τοιγαροῦν ὡπλισμένοι
ἐπίασι φύλαξι Ῥωμαίοις τόπου,
καὶ σφῶν γε πλείστους ἔδρασαν ἔργον φόνου.

87 δ'] κόθ'?

"hunc cape, amice, manu; et si quidem rem publicam bene gessero, (80) pro mea salute hoc tibi utendum est; sin male imperavero, hoc me confodito."

Hadrianus an. 21.

Post hunc vita defunctum in imperio Aelius Hadrianus, bellator nobilis, regni successor designatus fuit, (85) vir doctus atque magnificus usquequaque, qui etiam vetuit de Christianis poenas sumi. huic aliquando equitanti in via preces mulier quaedam efflictim obtulit: is autem negavit orantem se posse audire. (90) tum illa "ne regnes igitur" respondit; quare is conversus feminae ius reddidit. idem in Palaestina urbem struxit, ubi Sion funditus eversa fuerat, eamque appellavit Capitolinam Aeliam. (95) templum quoque excitavit Saturnio Iovi, ubi olim Solomon suum condiderat. quae res intolerabilis Iudaicae genti fuit: quare coacto armatorum numero Romanum aggrediuntur praesidium loci, (100) eiusdemque ingentem stragem edunt. quod ubi Caesar

ὃ γνοὺς ὁ κρατῶν στρατιᾶς ὁμαιχμίας
ἄρδην Ἑβραίων ἐκθερίζει τὸ στῖφος,
ὀκτὼ μὲν ἀνδρῶν καὶ πεντήκοντα πάλιν
ποσουμένας δοὺς μυριάδας θανάτῳ,
κώμας κατασκάψας δὲ τούτων χιλίας,
φρούρια πεντήκοντα τεθρυλημένα.
οὗτός ποτ' ἀνδρὸς ἦν κατακρίνας μόρον·
καὶ τὸν λαβόντα πῦρ θυμιῶντα λέγειν
"ἐγὼ μὲν οὐδὲν ἀδικῶν θνήσκω βίᾳ,
Ἀδριανὸν δὲ καὶ ποθοῦντα τεθνάναι
μὴ τοῦ κατ' εὐχὴν εὔχομαι τυχεῖν τέλους·".
ὃ καὶ παθεῖν οἱ συνέβη πρὸς τῷ τέλει,
νόσῳ χρονίως ὑδέρῳ τετηγμένῳ.
κἀπὶ Θρᾴκης δ' αὖ Ὀδρυσοῦ πρὸς χωρίῳ
ἄλλην πολίζει τὴν ὁμώνυμον πόλιν.

Ἀντωνῖνος ὁ καὶ Πίος ἔτη κ΄.

Εἶτ' Ἀντωνῖνος εὐσεβὴς κεκλημένος,
βέλτιστος ἀνὴρ εὐαγής τε τοὺς τρόπους,
πάντων τιμῶν μάλιστα τοὺς χριστωνύμους,
χειρίζεται κάλλιστα τὴν κραταρχίαν·
ὅστις γε μάχης καὶ βίας ἐγκειμένων,
ἐπείπερ οὐδὲν εὐπορῶν ἦν χρημάτων,
εἰς ἀγορὰν προύθηκε τοῖς ᾑρημένοις
πάντα τὰ λαμπρὰ καὶ τιμαλφῆ τοῦ κράτους·

post v. 115 codex in titulo Ἀντώνιος. sed in textu Ἀντώνῖνος. M.

novit, coniurati exercitus Hebraeorum penitus succidit vires: nimirum is quingenta et octoginta hominum milia leto dedit, (105) pagos etiam gentis subvertit mille cum quinquaginta arcibus nobilibus. porro quidam ab eo neci addictus ture in ignem coniecto testatus est se quidem immerentem ad mortem adigi; (110) imprecari autem Hadriano ne, cum volet mori, voti sui compos fiat; quod revera Hadriano evenit in vitae termino, cum lento hydropis morbo diu tabuit. is etiam in Thracia prope castrum Odrysum (115) de suo dictam nomine novam urbem condidit.

Antoninus Pius an. 20.

Deinde Antoninus cognomento Pius, vir optimus sanctisque moribus, qui Christianos summo in pretio habuit, felici sane fato ad imperium venit. (120) is premente belli necessitate, quia nihil in aerario pecuniae erat, in foro exposuit licitantibus pretiosa principatus orna-

ἀφ' ὧν ἱκανῶν εὐπορήσας χρημάτων
καὶ στρατιωτῶν ἡλικῶς πλείστας ἴλας
μάχην κατορθοῖ καὶ βαθὺν πλοῦτον φέρει·
καὶ πάλιν ἀπέλαβε τὰ πεπραμένα,
αἱρουμένοις δοὺς τὴν τιμὴν ὠνουμένοις.

Μάρκος Ἀντωνῖνος ἔτη ις'.

Καὶ πάλιν ἄλλος Ἀντωνῖνός τις Μάρκος,
πρώτου θετὸς παῖς, φιλόσοφος τοὺς λόγους
τρόπους τε χρηστός, εὐμενὴς χριστωνύμοις,
παραλαβὼν ἴθυνε τὴν κραταρχίαν·
ἐφ' οὗ φάλαγξ κέκλητο κεραυνοβόλος,
ἥτις μερίδος οὖσα τῶν χριστωνύμων
καιρῷ μάχης ηὔξατο Χριστῷ δεσπότῃ,
δίψει στρατιᾶς κινδυνευούσης τότε
ἀντιπάλων τε βαρβάρων ἐπιθέσει·
καὶ δυσμενεῖς μὲν τῷ κεραυνῷ συμφλέγει,
ὄμβρῶν δ' ἐπὶ στράτευμα πλουσίως ὕει.
Ἑρμογένης τ' ἤκμαζε τῆς τέχνης ἴδρις·
δυάς τ' ἐναθλεῖ μαρτύρων Χριστοῦ χάριν,
Σμύρνης ὁ Πολύκαρπος καὶ Ἰουστῖνος.

Κόμοδος ἔτη ιβ'.

Κόμοδος εἶτα, μιαρὸς φαυλεργάτης,
κακῶς ἐπεισέφρησε τῇ κραταρχίᾳ·

127 *πεπραγμένα* V (i. e. codex Vaticanus apud Maium)

menta omnia; unde pecunia, quantum sat erat, capta, conscriptaque militum ingenti manu, victoriam non sine lauta praeda rettulit; quamobrem res divenditas recuperavit, civibus qui emerant repenso pretio.

Marcus Antoninus an. 16.

Rursumque alius Antoninus Marcus, prioris adoptione filius, doctrina philosophus, moribus egregius, Christianis benivolus, rei publicae gubernaculum coepit regere. sub eo legio dicta fulminatrix, de Christianorum hominum conflata numero, pugnatura Christo domino supplicavit, quoniam et siti exercitus laborabat et barbarorum hostium instabat impetus; statimque hostes fulminibus deflagrarunt, Romanus exercitus imbre copioso maduit. tunc florebat Hermogenes doctus rhetor, Christique causa par martyrum decertavit, Polycarpus Smyrnae episcopus et Iustinus.

Commodus an. 12.

Deinde Commodus impurus scelestus laevo omine arrepsit ad impe-

ἐφ' οὗ Κλήμης ἦν στρωματεύς, σοφὸς μέγας,
καὶ Πάνταινος, κήρυκες ὀρθῶν δογμάτων.

Περτίναξ καὶ Ἰουλιανός.

Μεθ' ὃν κραταρχεῖ Περτίναξ ὁ τριγέρων,
καὶ σφάττεται δὴ πρὸς μέσοις ἀνακτόροις,
καὶ σκῆπτρα παρείληφε τὰ τῶν Αὐσόνων
Ἰουλιανὸς Δίδιος βραχὺν χρόνον

Σεβῆρος ἔτη ιη'.

καὶ Σεβῆρος, κράτιστος ἐχθρῶν ἐν μάχαις,
σφοδρὸς κολαστὴς εὐσεβῶν χριστωνύμων,
ἐφ' οὗ σὺν ἄλλοις καὶ πατὴρ Ὠριγένους
Φιλωνίδης εὕρατο μαρτύρων στέφος.

Ἀντωνῖνος Καράκαλος ἔτη ζ'.

Τούτου θανόντος Καράκαλος τοὐπίκλην
Ἀντωνῖνος εἴληφε τὴν μοναρχίαν,
αἰσχρός τις ἀνὴρ καὶ πλέον μιαιφόνος,

Μακρῖνος καὶ Ἄρβιτος ἔτη δ'.

καὶ Μακρῖνος βράχιστον ἄρξας τὸν χρόνον.
εἶτα κατωρχήσατο τῆς κραταρχίας
κλῆσιν Ἄρβιτος, Σαρδανάπαλος θέσιν,

rium. (145) sub eo Clemens, stromatum auctor sapiens, Pantaenusque, orthodoxi ambo praedicatores.

Pertinax et Iulianus.

Mox imperavit Pertinax, grandaevus senex, qui in aula palatii interfectus est. sceptrumque arripuit Romani imperii (150) brevi admodum tempore Iulianus Didius.

Severus an. 18.

Hinc Severus, hostium in proeliis domitor, dirus piorum Christianorum persecutor; sub quo cum aliis pater quoque Origenis Leonidas martyrii coronam rettulit.

Antoninus Caracalla an. 7.

(155) Huius exstincti monarchiam excepit Antoninus cognomine Caracalla, foedus homo et maxime sanguinarius.

Macrinus et Avitus an. 4.

Tum et Macrinus brevissime imperavit. deinde in imperio debacchatus est (160) nomine Avitus, cognomine Sardanapalus, Priapi quod-

ἀνδράποδόν τι Πριήπου Διονύσου,
ἄλλος τις ὄντως Σαρδανάπαλος τρόπους,
θηλυδρίας τις ἐκδεδιῃτημένος.

Ἀλέξανδρος ὁ Μαμαίας ἔτη ιδ'.

Μεθ' ὃν παρῆλθεν εἰς βασίλειον κράτος
Μαμαίας Ἀλέξανδρος, εὐσεβεῖς σέβων·
μητρὸς γὰρ αὐτοῦ Μαμαίας πιστευσάσης
διδασκαλίαις ταῖς σοφαῖς Ὠριγένους,
τιμῆς κατηξίωτο πιστῶν τὸ στῖφος.

Μαξιμῖνος καὶ ἄλλοι ἔτη γ'.

Τούτου σφαγέντος ἀναδείκνυται κράτωρ
θεοστυγής τις Μαξιμῖνος μαινόλης,
ὅστις διωγμὸν χαλεπὸν χριστωνύμοις
κινήσας ἀπέφηνε μάρτυρας ὅσους.
Σὺν Ἀλβίνῳ Μάξιμος ἔσχε τὸ κράτος
καὶ Πομπιανὸς Πουπλίῳ σὺν Βαλβίνῳ.

Γορδιανὸς ἔτη ς'.

Ὧνπερ θανόντων ζώννυται κραταρχίαν
Γορδιανός τις σὺν ὁμωνύμῳ τέκνῳ·
ἐφ' ὧν ὁ λαμπρὸς ἐν λόγοις Ὠριγένης
ἦν ἐκδιδάσκων μύστας ἐν Παλαιστίνῃ,

173 Ἀλβίνῳ codex; et ita loquitur etiam Zonaras. M.
174 Zonaras Πομπηϊανός. M.

dam Bacchique mancipium, moribus vere Sardanapalus alter, effeminatus admodum et luxuriosus.

Alexander Mamaeae an. 14.

Post hunc pervenit ad regnum Alexander (165) Mamaeae filius, Christianorum reverens: cum enim eius mater credidisset sapientibus Origenis doctrinis, honor credentium ordini haberi coeptus est.

Maximinus et alii an. 3.

Occiso Alexandro creatur imperator (170) exsecrandus furiosusque Maximinus quidam, qui dira commota adversus Christianos persecutione plurimos fecit martyres.

Tunc etiam regnaverunt Maximus et Albinus et cum Pupieno Publius Balbinus.

Gordianus an. 6.

(175) His exstinctis summa potestas devenit ad Gordianum quendam filiumque eius; sub quibus inclitus doctrina Origenes in Palaestina disci-

οἵπερ συνηρίθμηντο σύγγονοι δύο,
ὁ γρήγορος νοῦς, θαυματουργὸς τοὐπίκλην,
πρὸς δ' αὖ Ἀθηνόδωρος, οὐχ ἥττων λόγους.

Φίλιππος ἔτη ς'.

Μεθ' οὓς Φίλιππος εὐμενὴς χριστωνύμοις,
μᾶλλον δὲ Χριστῷ προσδραμεῖν αἱρεῖ λόγος
εὐχῶν τε πιστοῖς συμμετασχεῖν ἀσμένως,
καί οἱ θριαμβεῦσαί γε τὰ πεπραγμένα,
ἄλλως προέδρων τόνδε μὴ δεδεγμένων.
ᾧ Βόστρα πατρίς, οὗ κτίσας ἔχει πόλιν,
ἣν πᾶς Φιλίππου τήνδε φημίζει πόλιν.

Δέκιος ἔτος α'.

Εἶτα Δέκιος τοῦ κράτους δεδραγμένος
εὐθὺς διωγμὸν κατὰ πιστῶν ἐκφέρει,
ὃν ὑπερέσχον εὐψύχως ἠνδρισμένοι
Κυπριανός τε Βαβύλας καὶ μυρίοι·
ἥττηντο δ' ἄλλοι καὶ τάλας Ὠριγένης.
τότ' ἦν Ναυάτος, ἡ μισάνθρωπος φύσις,
ἐκκλησίας δ' ὢν Ῥωμαίων θυηπόλος
ἔφασκε μὴ δεῖν βασάνοις τεθυκότας
μετανοοῦντας προσδέχεσθαι καθάπαξ.
ὃ πατράσιν ἔδοξε πίστεως νόθον,
καὶ μὴ μεταγνοὺς ἐκκεκήρυκται τάλας.

191 ὃν codex. nisi mavis ὧν. M. 194 ita etiam Zonaras. sed intelligendus potius Novatianus. M.

pulos erudiebat; quorum erant in numero fratres duo, (180) Gregorius cognomento thaumaturgus, atque Athenodorus doctrina non inferior.

Philippus an. 6.

Secutus est Philippus, Christianis benivolus, immo vero, ut fama est, Christi assecla, credentium sodalitio adiungi optans (185) Christoque suos triumphos referre acceptos; quem tamen sacri non admiserunt praesules. huic Bostra patria; prope quam aliam condidit, quam Philippi urbem omnes vocitant.

Decius an. 1.

Imperio postea potitus Decius (190) Christianos sine mora coepit persequi; cui restiterunt insigni fortitudine Cyprianus Babylas aliique plurimi. lapsi sunt alii; in his infelix Origenes. tunc fuit Novatus malivoli vir ingenii; (195) qui cum Romanae ecclesiae sacerdos esset, eos qui cruciatibus victi sacrificassent, ad paenitentiam recipere pernegabat. id dogma patribus a fide alienum visum est; cui dum haeret, communione infelix pellitur.

Γάλλος καὶ Αἰμιλιανὸς ἔτος α'.

Βίον Δεκίου καὶ κράτος λελοιπότος
κατῆρξε Γάλλος, ἡ βέβηλος καρδία,
βαρὺς κολαστὴς Χριστιανῶν τυγχάνων·
Αἰμιλιανὸς τέτταρας μῆνας μόλις,
ἡνίκα Σαβέλλιος ἦν, σκαιὸς Λίβυς,
ὁ σύγχυσιν δρῶν ἀσεβῶς ἐν τριάδι
θείων προσώπων καὶ συναλείφων φύσεις.

Βαλλεριανὸς καὶ Γαλιηνὸς ἔτη ιε'.

Αἰμιλιανοῦ δὲ σφαγέντος ἀθλίως
Βαλλεριανὸς παραλαμβάνει κράτος,
βαρὺς διώκτης εὐσεβῶν χριστωνύμων·
ὅστις ἀγεννῶς βαρβάροις Πέρσαις μάχῃ
ἁλοὺς παρ' αὐτοῖς τὸν βίον καταστρέφει.
καὶ παῖς παρῆλθε Γαλιηνὸς εἰς κράτος,
δεξιὸς ἀνήρ, φιλότιμος, χαρίεις,
πολλοὺς ἀνατλὰς κινδύνους ἐν ταῖς μάχαις.

Κλαύδιος ἔτος α'.

Μεθ' ὃν Κλαύδιος, ἀρρεποῦς δίκης φύλαξ,
κράτωρ ἀγαθὸς καὶ μαχητὴς γεννάδας,
πάππος μεγίστου κράτορος Κωνσταντίνου.

203 *Αἰμιλιανός τε τέτταρας.* V. post v. 214. male in codice *ια'*, *undecim.* M. 217 Eumenius Paneg. Constantini c. 2: *ab illo enim divo Claudio manat in te avita cognatio, qui Romani imperii solutam et perditam disciplinam primus reformavit.* M.

Gallus et Aemilianus an. 1.

(200) Postquam imperium Decius cum vita amisit, regnavit Gallus impio vir corde praeditus et Christianorum gravis persecutor. deinde vix quattuor mensibus Aemilianus. tunc Sabellius erat, scaevus Afer, (205) qui divinas impie in triade personas confudit et naturam cum his commiscuit.

Valerianus et Gallienus an. 15.

Post Aemilianum misere interfectum suscepit imperium Valerianus, gravis piorum persecutor Christianorum; (210) qui barbaris a Persis in proelio turpiter captus apud ipsos vitam finivit. obtinuit autem imperium Gallienus filius, vir dexter liberalis et amabilis, qui pericula in proeliis multa pertulit.

Claudius an. 1.

(215) Exin Claudius fuit, iustitiae firmus custos, princeps bonus et bellator strenuus, maximi principis Constantini avus.

Αὐρηλιανὸς ἔτη ϛ'.

Τούτου τελευτήσαντος ἐν κραταρχίᾳ
Αὐρηλιανὸς δυσμενὴς χριστωνύμοις
τὰ σκῆπτρα παρείληφε τῆς αὐταρχίας.
τούτου κρατοῦντος Παῦλον Σαμοσατέα
κακῶς φρονοῦντα πατέρων θεῖον στῖφος
ἐπάρατον τίθησι καὶ βδελυκτέον.
τῆς δ' Ἀντιόχου καθέδρας δεδραγμένον,
καὶ τήνδε βίᾳ κατέχειν ᾑρημένον,
πεισθεὶς ὁ κρατῶν εὐσεβῶν ἐντυχίᾳ
γραφαῖς ἀτίμως ἐξελαύνει τοῦ θρόνου.

Πρόβος ἔτη ϛ'.

Βραχὺν χρόνον Τάκητος, ἀνὴρ πρεσβύτης.
εἶτα Φλῶρός τις, φίλος Ἑρμοῦ καὶ μάχης,
παραλαβὼν ἴθυνε τὴν κραταρχίαν,
πρᾶος μεγαλόψυχος εὐμενὴς κράτωρ·
οὗ ταῖς κατ' ἐχθρῶν ἐμβραδύνοντος μάχαις,
στρατοῦ δὲ βρωτῶν κινδυνεύοντος σπάνει,
ἐπ' αὐτὸν ἐκλείποντα λιμῷ σιτίων
ὄμβρον σίτῳ σύμμικτον ὀμβρῆσαι λόγος,
τὸν ὑψόθεν βλύσαντα τῷ λαῷ μάννα,
ᾧπερ τραφεῖσαν στρατιὰν ἐνισχῦσαι.

229 codex Φλῶρος sine dubio pro Florianus; sed tamen consequentes laudes Probo congruunt, teste etiam Zonara. et quidem Probus scribitur in codicis lemmatibus, non Florus aut Florianus. existimo igitur unum versum excidisse, in quo a Floriano fiebat transitus ad Probum. M, qui pro Φλῶρός dedit Πρόβος.

Aurelianus an. 6.

Postquam hic in purpura vitam clausit, Aurelianus Christianorum odio imbutus (220) summi imperii sceptrum gestare coepit. eo regnante Paulum Samosatensem prava sentientem patrum divinus chorus edixit esse maledictum et exsecrabilem; qui cum Antiochenam invasisset cathedram (225) eandemque niteretur vi retinere, piorum legatione permotus imperator missis literis sede turpiter eum eiecit.

Probus an. 6.

Brevi regnavit Tacitus, vir grandaevus. dein Florus, et mox Probus, domi bellique (230) bonus, rem coepit publicam gubernare. mitis hic princeps erat, magnanimus, benevolus; qui cum diuturnis distineretur bellis, periclitante exercitu commeatuum penuria, iamque deficientibus ob famem viribus, (235) imber commixtus tritico decidisse dicitur, caeleste manna multitudini affundens, quo pastus vires pristinas recepit miles.

Κάρος καὶ Νουμεριανὸς καὶ Καρῖνος ἔτη β'.

Μεθ' ὃν Κάρος τις γεννάδας σὺν υἱέσιν
ἄναξ ἐδείχθη, παραλαβὼν τὸ κράτος.
Νουμεριανὸς ἐκδαρεὶς ἀσκοῦ δίκην,
ληφθεὶς παρ' ἐχθρῶν αἰχμάλωτος, ὡς λόγος.
καὶ Καρῖνος αἴσχιστος, ἀπηνὴς λίαν,
χριστωνύμων ὄλεθρος, ἔσχε τὸ κράτος·
ἐφ' οὗ λελοιπὼς Περσίδα Μάνης τάλας
Ῥωμαΐδος κλίμασι παρεισεφθάρη,
κακίας ἰὸν ἐξεμῶν ψυχοφθόρον,
ἀφ' οὗ βδελυκτὸν τοὔνομα Μανιχαίων.

Διοκλητιανὸς ἔτη κ'.

Μετὰ δὲ τοῦτον ἡ μεγίστη μανίαν
τὴν κατὰ Χριστοῦ δυάς, ἡ τρισαθλία
βροτῶν Ἐριννύς, αἱμοχαρὴς καρδία,
Μαξιμιανὸς Διοκλητιανός τε,
ὠμῶς κατῆρξαν τοῦ βασιλείου κράτους·
ὃς πατέρων φὺς δυσγενῶν Δαλματόθεν
ἄσημος ἢ τρίδουλος ἐβδελυγμένος,
θεοῦ κριμάτων! τυγχάνει κραταρχίας·
ἧς συμμεριστὴν Ἑρκούλιον λαμβάνει
Μαξιμιανόν, εὐσεβῶν ἀναιρέτην.
ἐπὶ κακῷ γοῦν τῶδε συμπεπνευκότε
Χριστοῦ μερίδος, ἢ πλέον σφῶν καρδίας,

248 *τούτων* V

Carus, Numerianus et Carinus an. 2.

Carus deinde, vir strenuus, cum suis liberis regium nomen cum potentia excepit. (240) Numeriano quidem apud hostes captivo cutis detracta dicitur, utris instar. Carinus turpissimus et crudelis admodum, Christianorumque pestis, imperium tenuit. sub eo Manes calamitosus relicta Perside (245) ad Romanas terras arrepsit, venenum evomens improbitatis suae, animabus exitiosissimum. ex hoc Manichaeorum fluxit infame nomen.

Diocletianus an. 20.

His exstinctis furere in Christum coepit gemina mortalium Erinnys atque maxima, (250) tristissimum animorum et cruentissimum par, Diocletianus scilicet et Maximianus, utentes regia potestate crudeliter. et prior quidem obscuris in Dalmatia genitus parentibus, servili stirpe et conspuenda, (255) arcano dei decreto imperium obtinuit; cuius deinde participem Herculium fecit Maximianum, Christianorum exitio natum. ergo hi duo ad perniciem conspirantes Christianorum vel potius pro-

διωγμὸν ἀφόρητον ἐξηγειρέτην,
καὶ κατὰ δήμους εἴτε χιλιοστύας
μάρτυρας ἀπέφηναν ἠγωνισμένους,
αὐθαίρετα θύματα, καθηγνισμένα
ἔμψυχα, παντέλεια, δεκτὰ κυρίῳ.
γαμβροὺς δυὰς εἴληφεν αὐτοκρατόρων
εἰς τὰς ἑαυτῶν φιλτάτας θυγατέρας,
ὁ μὲν Χλωρὸν Κώνσταντα, λαμπρὸν τῷ γένει,
τοῦ παμμεγίστου πατέρα Κωνσταντίνου,
ὁ Διοκλητιανὸς δ' αὖ Μαξιμῖνον,
ὃς Γαλέριος ἦν ἐπικεκλημένος·
καὶ τούσδε τιμᾷ τῇ Καίσαρος ἀξίᾳ.
ἐπεὶ δὲ χριστώνυμον οὐκ ἐνῆν σβέσαι
πολλὰ καμοῦσι τοῖσδε τυράννοις σέβας,
ἑκόντες ἀπέθεντο τὴν σκηπτουχίαν,
Καίσαρσι δόντες διέπειν τὰ τοῦ κράτους,
ἄρχειν Γαλερίῳ μὲν ἁπάσης ἕω,
τῷ Κώνσταντι δὲ βασιλεύειν ἑσπέρας.
ἦν καὶ τρίτος τύραννος ἐν Ῥώμῃ πάλιν,
Ἑρκουλίου παῖς, Μαξέντιος μαινόλης.
ἀλλὰ Κώνστας μὲν εὐμενὴς ἦν τοῖς ὅλοις,
χριστωνύμους ἔστεργε τῶν ἄλλων πλέον,
Μαξιμῖνος δὲ δυσχερὴς ὑπηκόοις,
γυναικομανής, μοιχικός, κοινὴ λύμη,
χριστωνύμοις δὲ δυσχερέστατος λίαν,

276 ἀρχὴν V 277 Κώνσταντι codex. at Latinis est Constantius, non Constans. M. 281 τ' ἔστεργε?

priae animae, (260) persecutionem commoverunt asperrimam; turmatimque per populos ingentem numerum martyrum effecerunt certantium fortiter, voluntarias nempe victimas et purissimas, animas usquequaque acceptas domino. (265) porro uterque regnator generum sibi legit, cui propriam collocavit dilectam filiam, Maximianus nobilem Constantium Chlorum, qui maximi Constantini parens fuit; Diocletianus autem Maximinum, (270) cui Galerio quoque nomen erat. atque his Caesarea dignitas est tributa. iam cum Christianam exstinguere religionem tyranni duo non possent, conantes licet, abdicaverunt ultro dignitatem suam (275) Caesaribusque imperium permiserunt, ita ut Galerius quidem in toto oriente, Constantius in occiduis regnaret partibus. erat etiam tertius Romae tyrannus, Herculii filius, Maxentius furiosus. (280) verumtamen Constantius cunctis placidus Christianos diligebat singulariter: at Maximinus permolestus subditis, mulierosus, moechus, pestis publica, Christianis autem infensissimus, (285) ipsorum heu decreverat caedem

πανωλέθριαν τῶνδε φεῦ κατακρίνας.
κοινωνὸν οὗτος τοῦ κράτους προσλαμβάνει
Λικίνιον, Κώνσταντος αἰσχρὸν νυμφίον,
κακόν τι τερμέρειον, εὐσεβῶν φθόρον·
καὶ Μαξέντιος ἦν ἴσος τούτοις τρόπους,
καὶ χριστομάχος καὶ μιαιφόνος πλέον·
τριὰς ἐναγὴς εὐσεβῶν ἀναιρέτις,
ἥνπερ μετῆλθεν ἐνδίκως θεία δίκη.

Κωνσταντῖνος ἔτη λβ'.

Ὁ τοίνυν Κώνστας τῷ γόνῳ Κωνσταντίνῳ
βίον τελευτῶν καταλείπει τὸ κράτος,
ὃν ἐξ Ἑλένης ἔσχε τῶν πρόσθεν γάμων·
οὗ χάριν εἰπεῖν οὐ περίεργον τάχα
κλύουσι προσγένοιτ' ἂν εὐεπηβόλως,
ὅπως τε διίθυνεν ἀρχῆς τὸ σκάφος
καὶ προσδραμεῖν ὑπῆρξε Χριστῷ δεσπότῃ.
ἀρχὴν μὲν οὗτος πατρόθεν δεδεγμένος
διεῖπε καλῶς συνέσει στρατηγίαις,
ἔτι μὲν ἀμύητος, εὖ φρενῶν δ' ἔχων,
ὡς ἐξ αὐτοῦ συλλογίσασθαι δέον,
ὡς ὕστερον δέδειχε πραγμάτων πέρας·
τριῶν δ' ὑπόντων αὐτοκρατόρων τότε,
τούτου Μαξεντίου τε καὶ Λικινίου,
ὡς Μαξιμίνου τὸν βίον λελοιπότος

287 *Κώνσταντος* codex. atqui Licinius Constantiae sponsus erat, gener Constantii. M.

omnium. hic in imperii partem advocavit Constantii foedum generum Licinium, malum monstrum et piorum exitium. hos Maxentius adaequabat suis moribus, (290) Christianorum hostis et saevus homicida. hem exsecrandam triadem, pietatis labem! quam assecuta est iustissima ultio dei.

Constantinus an. 32.

Ergo Constantius mortem cum vita mutans imperium filio Constantino tradidit, (295) quem ex priore susceperat Helenae coniugio; qui quomodo rei publicae navigium rexerit primusque ad Christum dominum rex accesserit, dicere non erit, ut reor, supervacaneum, atque auditoris absurdum non videbitur. (300) igitur hic rem publicam a patre traditam praeclare gubernabat armis et consilio, nondum initiatus, sed tamen recte sentiens, quod ex ipsomet satis coniicere licebat, atque ut rerum exitus deinde docuit. (305) iam cum imperatores tres tunc essent, Constantinus Maxentius et Licinius, quia iam Maximinus vita ex-

βαρὺς ὁ Μαξέντιος ἦν ὑπηκόοις,
δράκων δαφοινός, αἱμοχαρής τις κύων,
ὅπλοις τὸ λοιπὸν ἀμῦναι Κωνσταντῖνος
παρακαλεῖται σφίσι τυραννουμένοις.
καὶ καταπεισθεὶς ἡ συμπαθὴς καρδία
ἐφίσταται τάχιστα Ῥωμαίων πόλει,
καὶ πρὸς μάχην ἕτοιμον αὐτὸν ὀτρύνει.
καὶ δὴ σκοποῦντι καὶ δεδοικότι μάχην
σταυροῦ μεσούσης ἡμέρας ὤφθη τύπος,
τυπούμενός γε πρὸς πόλῳ δι' ἀστέρων,
ἐν γράμμασι φράζουσιν "ἐν τούτῳ νίκα."
αὐτίκα τοίνυν ἐκ χρυσοῦ σταυροῦ τύπον,
ὡς ὦπτό οἱ πρίν, ἐμφρόνως σχεδιάσας
αὐτοῦ προάγειν στρατιᾶς παρηγγύα·
ᾧ δὴ πεποιθὼς συμπλακεὶς ἐναντίοις
τρόπαιον ἱστᾷ κατὰ τυράννου μέγα,
ἔργον φανέντος ῥευμάτων ποταμίων
ἡττημένου φεύγοντος αἰσχρῶς ἐκ μάχης.
κἀντεῦθεν οὐκοῦν ἦρξε καὶ Ῥώμης ὅλης,
καὶ δόγμα βασίλειον εὐθὺς ἐκφέρει
μὴ δεῖν κολάζειν θεσπίζον χριστωνύμους.
καθιστορεῖται καὶ ταδὶ τούτου πέρι,
ὡς ταῖς κατ' ἐχθρῶν ἠσχολημένον μάχαις
ἄνακτα τοῦτον ἱππότην ὡπλισμένον
τινά ποτ' ἰδεῖν, ἀντὶ σημαίας τύπον
σταυροῦ χεροῖν φέροντα σύμβολον νίκης·

cesserat, Maxentius quidem subditis gravis erat, immanis draco cruorisque sitiens canis. (310) quare ut hunc armis denique compesceret, orabant Constantinum oppressi populi; a quibus exoratus clemens animus celerrime ad urbem Romam copias ducit tyrannumque iam paratum ad arma provocat. (315) dum vero incerti Martis mente versat curas, crucis hora meridiana conspexit typum, quem astra quaedam in caelo conformabant, inscriptis hisce literis "in hoc vince." protinus igitur crucis aureae typum, (320) qualis ipsi apparuerat, concinne fabricans, suis hunc praeferri iussit exercitibus; cui sane fretus, conserta cum hoste manu, magnam de tyranno victoriam rettulit, qui fluminis vorticibus absorptus est, (325) cum victus fugeret turpiter e proelio. hinc ergo universa potitus Roma est, regiumque statim edictum proposuit, ne quis iam Christianos ad poenam posceret. alia quoque rei huius narratio est, (330) nempe quod pugnam adversus hostes patrans equitem imperator armatum viderit, qui pro consueto militum vexillo crucem gestabat manibus, victoriae symbolum. rursus duos eidem conspectos viros

καὶ πάλιν ὀφθῆναι δὲ τῷδ' ἄνδρας δύο
ἐν Ἀδριανοῦ τῆς μάχης ἡγουμένους,
ἀντιπάλων κτείνοντας ἀφειδῶς ἴλας·
καὶ φῶς περιαστράψαν ἀθρῆσαι νύκτωρ,
πάντων ὑπνούντων, χάρακα στρατευμάτων
περὶ τὸ Βυζάντιον ἐσκηνημένων.
ἐκ τῶνδε συνεὶς ὡς θεὸς καλῶν δότης
ἐπιστρέφειν ἤρξατο καὶ συνιέναι,
καὶ Λικίνιον χριστομαχοῦντα βλέπων
ὅπλοις στρατιᾷ καταστρέφει τοῦ κράτους,
δίκας τ' ἀπαιτεῖ τόνδε χριστομαχίας·
ὅθεν μονάρχης ἀξίως αὐτοκράτωρ
Κωνσταντῖνος πέφηνεν ἑσπέρας ἕω.
λύσιν δὲ τοῦ τρύχοντος αἰτοῦντι πάθους
βουλὴν πονηρὰν ὑποτίθενται θύται
Διὸς βδελυκτοὶ καὶ γόητες καὶ μάγοι,
πρὸς ἴασιν αἵματι παίδων ἀφθόρων
ἐναποπλῦναι σαρκίον κατατρύχον.
ἤθροιστο τοίνυν νηπίων πληθὺς ὅση,
προθεσμία δ' ὥριστο τούτων θυσίας.
παρῆν βασιλεύς, μητέρων κλύει γόων,
πυνθάνεται δὲ τὰς ἀφορμὰς τῶν γόων,
καὶ γνοὺς δίδωσι τὰ τέκνα ταῖς μητράσι,
καὶ χρήματα δὲ ταῖσδε πρὸς τούτοις νέμει
ἀντίρροπα φάρμακα τῆς πρόσθεν λύπης.
οὕτω καλῶς δράσαντι νυκτὸς κατ' ὄναρ

336 κτείναντας V

(335) aiunt, in Hadriani mole cientes pugnam hostiumque turmis plagas imponentes. postremo lucem noctu coruscantem vallumque ambientem, cunctis sopitis somno, vidisse, prope Byzantium cum castra haberet. (340) hinc ergo agnoscens datorem bonorum deum converti ad fidem coepit et recte sapere. tum infestum Christianis Licinium cernens, armis correptis hunc imperio deiicit, et de impietate dignas poenas sumit. (345) quare iam solus merito imperator occidui Constantinus et eoi orbis fuit. exin remedium morbi poscenti gravis dirum consilium obtulerunt Iovis nefarii sacerdotes et fallaces magi, (350) nempe ut investium puerorum sanguine infirmum corpus medelae causa ablueret. infantium ergo colligitur ingens numerus, et dies caedis definita edicitur. praesens imperator matrum audit gemitum, (355) huiusque causam quaerit ex adstantibus; et re comperta matribus prolem reddit, pecuniamque insuper his distribuit, quae sit solatium prioris maestitiae. his recte gestis, noctu per somnium videt (360) adstare sibi principum

ἐφίσταταί οἱ προκρίτων ἀποστόλων
δυὰς φαεινή, Πέτρος ἅμα καὶ Παῦλος,
παρεγγυῶντες γνησίως ἐπισκόπῳ
τὰ καθ' ἑαυτὸν ἀναθέσθαι σὺν πόθῳ,
εἰ βούλεται σχεῖν τοῦ πιέζοντος λύσιν
ζωῆς ἀκηράτου τε τυχεῖν καὶ ξένης.
ἐπεὶ δ' ἀνῆκεν ὕπνος αὐτόν, αὐτίκα
τὸν ἱερὸν Σίλβεστρον εὐλαβῶς ἄγαν
μετακαλεῖται, καὶ προσελθόντα βλέπει,
καὶ πάντα διέξεισιν αὐτῷ προφρόνως·
ὁ δ' αὖ ἐπάγει τῶν θεαθέντων λύσιν.
καὶ τί με δεῖ γράφοντα μακρὰ συμπλέκειν;
ἐκτίθεταί οἱ τὸν λόγον μυστηρίου,
μυεῖ τε βαπτίζει τε πιστεύσαντά γε,
λουτροῦ τ' ἀσινῆ τοῦ παναγοῦς ἀνάγει.
προσῆλθε Χριστῷ καὶ βασιλὶς Ἑλένη
διδασκαλίαις ποιμενάρχου Σιλβέστρου·
μεθ' οὗ Σιὼν ἔβλεψε τὴν θεοῦ πόλιν
εἰς φανέρωσιν σταυρικοῦ θείου ξύλου
ναῶν τ' ἀναδόμησιν εὐαγεστάτων.
κἀντεῦθεν ἀνθεῖ τὰ καθ' ἡμᾶς εἰς μέγα,
ἐκτείνεται δὲ καὶ μέχρι γῆς τερμάτων
σωτήριον κήρυγμα τῶν ἀποστόλων,
γελᾷ δ' ἔαρ ἥσυχον ὀρθοδοξίας.
ἀνοίγνυται πᾶς καὶ νεὼς χριστωνύμοις,
βωμός τ' ἀνετέτραπτο πᾶς σὺν τῇ πλάνῃ
Χριστοῦ δυνάμει παντάνακτος δεσπότου,

apostolorum illustre par, Petrum cum Paulo scilicet, seque adhortantes ut sincere episcopo salutem suam dulci cum spe committeret, si quidem praesens malum fugare vellet (365) immortalemque ac miram vitam adipisci. postquam eum somnus dereliquit, statim sanctum Silvestrum admodum reverenter advocat; atque ubi venientem conspicit, rem illi cunctam pandit lubentissime: (370) Silvester regem visi rationem edocet. cur verba longas ducam per ambages? religiosum principi mysterium explicat, initiatumque et credentem baptismo tingit, et sancto educit lavacro incolumem. (375) ad Christi partes accessit etiam Helena, Silvestri verbis edocta, pastoris maximi. ipsa deinceps Sionem dei urbem invisit, sacrum lignum vestigans crucis, ibique ut templa conderet sanctissima. (380) religio nostra crevit ex hoc tempore amplifice; atque ad orbis pervenit fines apostolorum salubris praedicatio; risitque ver tranquillum orthodoxiae. tunc templa passim patuere Christicolis, (385) atque omnis ara falsi cultus concidit Christi virtute domini et

ὑποστρατήγῳ βασιλεῖ Κωνσταντίνῳ,
ὃς ἄρξας ἐθνῶν ἀπλέτων ἐθναρχίας
σχοινίσματά τε πλατύνας κληρουχίας
σταυροῦ τε κράτει παντοδυνάμου λόγου
πάλιν πολίζει τὴν ὁμώνυμον πόλιν,
ὀφθαλμὸν αἰγλήεντα τῆς οἰκουμένης,
πατὴρ ἀνάκτων εὐσεβῶν κεκλημένος
καὶ χριστολατρῶν κρατόρων ἀρχηγέτης,
πρώτης ὁριστὴς ποιμενάρχων συνόδου,
μεθ᾽ ὧν καθεῖλεν Ἀρείου δόγμα νόθον.

Κωνστάντιος ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου ἔτη κδʹ.

Τούτου λιπόντος τὴν κάτω μοναρχίαν,
οὐράνιον δόξαν δὲ κληρωσαμένου
καὶ βασιλείας οὐρανῶν κληρουχίαν,
οἱ παῖδες αὐτοῦ τὴν ὅλην κραταρχίαν,
Κώνστας τε Κωνστάντιος καὶ Κωνσταντῖνος,
αὐτοῖς διεῖλον σφίσι εἰς κληρουχίαν,
Κώνστας μὲν ἅμα συγγόνῳ Κωνσταντινῳ
λαχόντες ἄρχειν τῶν καθ᾽ ἑσπέραν τόπων,
αὐτῆς τε Ῥώμης, Ἀφρικῆς, Ἰταλίας,
καὶ μέχρις αὐτῶν ὠκεανοῦ τερμάτων·
πᾶσα δ᾽ ἑώα τῷ Κωνσταντίῳ λάχος,
πρὸς τοῖσδε Θρᾴκης Μακεδονίας ὅροι,
σὺν τῇ πατρῴᾳ καὶ βασιλίδι πόλει.
ὃς διέπων ἄριστα τὴν κληρουχίαν

omnium regis, itemque Constantini legati eius. hic late imperitans gentibus innumeris, prolatis etiam priscis imperii finibus, (390) crucis atque evangelii potentia adiutus, homonymam quoque condidit sibi urbem, ocellum totius mundi splendidissimum. regum hic piorum pater est appellatus, et christicolarum Caesarum antecessor. (395) idem episcoporum primam indixit synodum, quibuscum spurium Arii dogma perculit.

Constantius magni Constantini filius an. 24.

Postquam is terrestre deseruit imperium proque hoc supernam gloriam adeptus est, caelorumque regni adiit hereditatem; (400) nati ex eo liberi tantam imperii molem, Constans Constantius atque Constantinus, inter se partiti sunt heredum ritu. et Constans quidem cum Constantino fratre terras occiduas sibi regendas sumunt, (405) Romam ipsam, Africam Italiamque, et quicquid mundi usque ad oceanum patet. oriens Constantio contigit universus, praetereaque Thracia finesque Macedonici cum urbe a patre condita et regni sede. (410) hic sibi creditum

πολλοὺς ἀγῶνας ἀνέτλη καὶ κινδύνους,
ἀεὶ στρατάρχων, κατ' ἐχθρῶν κινῶν δόρυ.
εἶτα σφαγέντων συγγόνων ἐν ἑσπέρᾳ,
τοῦ μὲν κινοῦντος καθ' ὁμαίμονος ξίφη,
τοῦ Κώνσταντος δὲ πρὸς Μαγνεντίου δόλῳ,
πάσης κατῆρξεν ἑσπέρας καὶ τῆς ἕω,
Μαγνέντιον μὲν ἀνελὼν μάχης νόμῳ,
τὸν δ' αὖ Βρετανίωνα τὸν κακεργάτην
ὑπηκόον θεὶς κατασεισθέντα φόβῳ.
ὑπῆρχεν οὗτος εὐχερὴς μὲν τὸν τρόπον
καὶ πάμπαν εὐρίπιστος, ἀνέμου πέδον,
πειθήνιός τε τοῖς ἀρειομανίταις,
ἔνδον δὲ τὸν νοῦν εἰς σέβας ἐρρωμένος,
κράτωρ ἀριστεὺς καὶ μαχητὴς γεννάδας,
ἡδύς, προσηνής, εὐμενὴς ὑπηκόοις,
περί τε τὴν δίαιταν ἐγκρατὴς ἄγαν
καὶ σωφρονικός, καὶ παθῶν αὐτοκράτωρ.
καὶ τὰς κρίσεις ἣν ἐκφέρων κατὰ νόμους,
δικαιοσύνης δ' οὐδαμῶς ὑπεκτρέχων,
ἀρχαιρεσιάζων τε καθάπερ δέον,
τὰς ἀξίας τε προσνέμων τοῖς ἀξίοις,
καὶ πάντα ποιῶν σὺν λόγῳ τὰ τοῦ κράτους,
οὐ συναριθμῶν οὐδένα γερουσίᾳ
ὃς οὐ μετέσχε τῶν σοφῶν παιδευμάτων
μηδ' αὖ λέγειν ἤσκητο καὶ καλῶς γράφειν
καταλογάδην εἴτε ῥυθμῷ καὶ μέτρῳ,

418 ita cod.

optime imperium gerens multos agonas pertulit ac discrimina, perpetuo militans hostesque armis persequens. deinde occisis in occidente fratribus, Constantino quia fratrem armis lacessiverat, (415) Constante dolis Magnentii irretito, orbis universi Constantius sceptrum tenuit. nam Magnentium quidem belli iure sustulit: at Vetranionem, qui praeter fas se gesserat, perculsum metu subditum sibi fecit. (420) erat Constantius suapte ingenii levis, prorsus versatilis ceu pulvis vento expositus, seque ab Arii studiosis sinebat duci, quanquam ipse animum orthodoxum gereret, princeps egregius, strenuus bellator, (425) blandus, affabilis, benivolus erga subditos, idem cibi potusque temperantissimus, continens, animi cupiditatum dominus, dicere ius ex legum norma solitus, neque a iustitia latum unguem discedens; (430) tum et magistratus pro meritis eligens, dignis hominibus dignitates largiens, cuncta denique in imperio sapienter gerens. neque in senatum quempiam unquam legit nisi doctis imbutum disciplinis, (435) et qui recte dicere beneque scribere seu prosa

παιδεύσεως ἔμπειρος, Ἑρμοῦ τ' αὖ φίλος.
ἄνακτι τῷδ' Ἰουλιανὸς μαινόλης
ἐπιφυεὶς ἥρπασε τὴν κραταρχίαν·
κἂν τοῦδε μακρᾷ συσχεθεὶς ἀγωνίᾳ
καὶ διακαεῖ πυρετῷ φθισιβρότῳ
ἐν Μόψου κρήναις τὸν βίον καταστρέφει,
χολὴν μέλαιναν ἐκπτύσας ἐξ ἐγκάτων.

Ἰουλιανὸς ὁ παραβάτης ἔτη β' ς'. ἕτεροι δέ φασιν ἔτη γ'.

Εἶτα καθαρῶς ἀναδείκνυται κράτωρ
Ἰουλιανὸς χριστομάχος μαινόλης,
ὅστις ἀποστὰς δεσπότου σεσωκότος
καὶ Χριστιανῶν πίστεως σωτηρίου
τῇ δαιμόνων φεῦ ἀπάτῃ προσερρύη,
τὰ Χριστιανῶν φαυλίσας ἐκ καρδίας.
καὶ κατὰ Χριστοῦ παρατάττεται τάλας,
καὶ τοῦδε κλῆσιν ἐκποδὼν θέσθαι θέλει.
καὶ λοιπὸν οἵαις ἐξέτριψεν αἰκίαις
καὶ παντοδαπαῖς ποικίλαις τιμωρίαις
ἀντιστατοῦντας εὐσεβῶς χριστωνύμους,
καὶ τῶνδ' ὅσους ἔδειξε μάρτυρας πάλιν
αἵματος ἄχρι καρτερῶς ἠνδρισμένους,
οὐκ ἔστιν εἰπεῖν χρωμένοις συμμετρίᾳ.
κατὰ δὲ Περσῶν ἐκστρατεύσας βαρβάρων
μετὰ στρατιᾶς μυρίας ῥωμαλέας,

447 *σωτήριον* V

oratione posset seu rhythmo et metro, nutritus ipse literis Musarumque alumnus. hunc contra regem lymphaticus Iulianus consurgens latrocinio imperium rapuit. (440) hinc animi maerore diuturno captus Constantius ac letalis ardore febris ad Mopsi fontes vitae spatium clausit, atram reiectans bilem de visceribus.

Iulianus apostata an. 2 mens. 6; vel, ut alii aiunt, an. 3.

Exin absque aemulo imperator est habitus (445) christomachus Iulianus et furiosus; qui a rege servatore suo defecit, Christianorumque fidem salutarem cum daemonum heu fraudibus commutavit sacrumque dogma contemptim corde respuit. (450) tum contra Christum bellum hic miser movet, huiusque nomen exterminare nititur. proinde quot cruciatibus quotque poenis, quarum diversas formas vix fari licet, Christicolarum attriverit constantiam piam, (455) martyrum quantum numerum effecerit, qui usque ad sanguinem restiterunt, studioso mihi brevitatis non licet dicere. deinde Persas barbaros bello appetens, copiis instructus innumeris fortissimis, (460) re nihilominus bellica male gesta,

καὶ μὴ διαθεὶς ὡς δέοι τὰ τῆς μάχης,
ἐκεῖσε κατέστρεψεν ἀθλίως βίον,
βληθεὶς παρά του καιρίαν ἐν τῇ μάχῃ,
εἴτ' Αὐσόνων ἢ βαρβάρων ἀντιπάλων
ἢ χειρὸς ἄλλης πανσθενοῦς οὐρανόθεν·
ἡνίκα φασὶν αἵματος καταρρύτου,
πλευρᾶς νυγείσης χειρὶ προσδεδεγμένου,
εἰς ἀέρα χέοντα ταῦτ' ἐπιλέγειν
"Ναζωραῖε, πλήσθητι." φεῦ τῆς μανίας.

Ἰοβιανὸς μῆνας η'. οἱ δὲ ἔτος α'.

Τούτου καταστρέψαντος ὡς ἔφην βίον,
δυσὶ τυραννήσαντος ἀσεβῶς χρόνοις,
ψήφῳ στρατιᾶς προκρίτων γερουσίας
Ἰοβιανός, χιλίαρχος ὢν τότε,
ἀνὴρ ἀγαθός, εὐσεβὴς Χριστοῦ λάτρις,
εἰς βασιλείας τὸ κράτος προεκρίθη.
ὁ δ' ἦν ἀπειθὴς πρὸς τὸ δέξασθαι κράτος,
Χριστοῦ μὲν αὐτὸν οἰκέτην εἶναι λέγων,
καὶ μὴ κρατάρχειν ἀσεβοῦς στρατοῦ θέλειν.
τούτων δὲ Χριστὸν ἀνακραξάντων σέβειν
εὐθὺς ἀνεζώσατο τὴν κραταρχίαν.
καὶ σπένδεται δὲ τῷ κρατοῦντι Περσίδος·
καὶ σὺν στρατιᾷ τὴν Ἀντιόχου φθάσας
τοὺς πρὶν φυγάδας Ἀρχιθύτας ποιμένας
εἰς σφῶν ἐπανήγαγε ποιμεναρχίας,
μεθ' ὧν Ἀθανάσιον ἔνθεον θύτην,

amisit illic vitam infeliciter, incerto auctore graviter in proelio ictus, seu fuit ille Romanus seu hostis barbarus seu caelestis aliqua validior manus. (465) tunc Iulianum aiunt manantem sanguinem suffosso e latere manu cava exceptum dispersisse per aërem, his verbis additis "Nazarene, sitim exple." hem vesaniam!

Iovianus mens. 8, *seu ut alii aiunt an.* 1.

Iuliano, sicut dixi, vita orbato (470) post sceleratam biennii tyrannidem, suffragio optimatium castrensis consilii Iovianus, per id tempus tribunus militum, vir bonus atque Christi pius famulus, ad imperii dignitatem fuit subvectus. (475) ceteroquin ipse regnum respuebat, Christi se famulum esse dicens atque ethnicis militibus imperaturum negans. hi vero cum Christicolas se inclamassent, tunc imperium Iovianus recepit protinus. (480) et pace mox composita cum Persa rege, atque Antiochiam reducto exercitu, exsules dudum principes pastores ad suos greges edicto revocavit, quos inter Athanasium divinum praesulem;

καὶ πᾶσιν ἐβράβευσε τοῖς χριστωνύμοις
ἔαρ γαληνόν, ὀρθοδοξίας φάος.
εἰς Ἄγκυραν δὲ πεφθακὼς Γαλατίας
ἐκεῖ τελευτᾷ διάγων ἐξαπίνης,
φαγὼν μύκητας ἀρτιφυεῖς, ὡς λόγος,
ὀκτὼ κατασχὼν μῆνας ἀρχὴν καὶ μόνους.
ὑπῆρχεν οὗτος εὐσεβὴς μέν, ὡς ἔφην,
χρηστός, γαληνός, εὐμενὴς ὑπηκόοις,
ἀναδρομὴν σώματος εὐμήκη φέρων,
καὶ γραμμάτων δὲ μετρίως γεγευμένος,
ἥττητο δ' οἴνου σὺν ἐρωτοληψίαις.
καὶ τοῦδ' ὁ νεκρὸς ἐν πόλει Βυζαντίδι
ἐν εὐαγεῖ τέθαπτο κηρύκων δόμῳ.

Οὐαλεντινιανὸς ἔτη ια'. οἱ δὲ ἔτη ι'.

Εἶτα παρῆλθεν εἰς βασίλειον κράτος
δικαιοσύνης πραότητος αὖ τύπος
Οὐαλεντινιανός, εὐσεβῶν κλέος,
γεννάδας ἀνήρ, εὐσθενής, ῥωμαλέος,
ἐκ Πανονίας ἀρχῆθεν ὡρμημένος,
κράτωρ ἀγαθός, κηδεμὼν ὑπηκόων,
εἰς ἀλλοδαπὴν ἐξορισθείς που χθόνα
ὡς Χριστιανὸς καὶ θεὸν Χριστὸν σέβων
Ἰουλιανοῦ πρὸς παραβάτου πάλαι·
εἶτ' ἀνακληθεὶς χρηματίζει τριβοῦνος.
ὡς οὖν ἀνεζώσατο τὴν κραταρχίαν,
κοινωνὸν ἀρχῆς σύγγονον προσλαμβάνει,

(485) cunctisque exhibuit Christianis ver tranquillum et orthodoxiae lumen. hic Galatarum Ancyram delatus ibi improviso obitu excessit terris, recentibus, ut fama est, voratis fungis, (490) haud plus quam octo mensibus regno fruitus. pietate is, ut dixi, fuit inclytus, bonus, tranquillus, benivolus erga subditos, staturaque corporis procera cluens; literis etiam mediocriter eruditus, (495) vini tamen atque amoris illecebris obnoxius. huius cadaver apud Byzantium urbem in sancto apostolorum templo est conditum.

Valentinianus an. 11, *sive ut alii aiunt*, *an.* 10.

Post hunc insedit regiam dignitatem iustitiae simul clementiaeque exemplar (500) Valentinianus, Christianorum decus, vir strenuus animosus ac robustus, generis ex Pannonia stirpem trahens, princeps bonus et providus erga subditos, qui peregrinas quondam in regiones (505) ut Christianus deumque Christum colens ab apostata Iuliano pulsus fuerat; nunc redux ad exercitum tribunus erat. is ubi supremam dignitatem

ἄθλιον Οὐάλεντα, μύστην Ἀρείου,
καὶ μοῖραν αὐτῷ παραδοὺς τὴν τῆς ἕω
αὐτὸς κατῆρχεν εὐσεβῶς τῆς ἑσπέρας,
περιφανῆ τρόπαια κατὰ βαρβάρων
καὶ νίκας ἱστὰς τῇ θεοῦ συμμαχίᾳ,
καὶ πάντα ποιῶν οἷς σεμνύνεται κράτωρ
δικαιοσύνης ἐς τὰ μάλιστα φίλος
καὶ δογμάτων πρόμαχος ὀρθοδοξίας,
πολυετής τις ἀναφανεὶς ἐν βίῳ
καὶ μακαριστὸς τοῦ βίου καὶ τοῦ τέλους,
βιοὺς ὀγδοήκοντα τῆς ζωῆς χρόνους
πρὸς τέτρασιν αὖ ἐνθέως εὐδαιμόνως,
ἀφ' ὧν κατῆρξεν ἕνδεκα κραταρχίας.
οὗτος τελευτᾷ διάγων ἐν Γαλλίαις,
υἱῷ λελοιπὼς Γρατιανῷ τὸ κράτος,
ἀνδρὶ προμάχῳ δογμάτων ὀρθοφρόνων.

Οὐάλης ἔτη γ'. οἱ δὲ ἔτη δ'.

Ὁ δ' αὖ Οὐάλης βασιλεύων τῆς ἕω,
καὶ καθυπαχθεὶς Ἀρειανῶν μανίᾳ,
σφοδρὸς διώκτης ὀρθοδοξούντων λάχους
ἦν καὶ κολαστὴς δυσμενὴς φρικαλέος,
ἀρχιθύτας μὲν ποιμένας διδασκάλους
ποίμνης ἐλαύνων καὶ τιθεὶς πορρωτάτω
καὶ ποικίλαις σφᾶς ἐκτρίβων βασάνοις·

post v. 525 intellige tres vel quattuor annos post Valentiniani fratris obitum. M. 532 *ταῖς βασάνοις?*

adiit, imperii socium fratrem adscivit suum (510) aerumnosum Valentem, Arii asseclam, cui partes orientis regendas tradidit. ipse vero occiduis pie praefuit, ubi tropaea nobilia de barbaricis gentibus victor statuit ope numinis. (515) hic omnia boni officia expromens principis iustitiaeque amore praesertim flagrans, orthodoxorum dogmatum defensor, spatiosum vitae curriculum emensus est, et cursu vitae et termino beatus visus, (520) expletis quattuor supra octoginta annis summo in favore numinis beatitateque, ex quo imperium susceperat, annis undecim. hic cum in Galliis degeret, mortem obiit, Gratiano filio imperium relinquens, (525) viro rectorum dogmatum defensori.

Valens an. 3 *seu* 4.

Orientis interim regnator Valens, Arianorum deditus vesaniae, partis orthodoxae persecutor vehemens saevusque tortor erat et horribilis. (530) pastores quidem praecipuos et magistros gregibus suis pulsos et procul ablegatos variis praeterea poenis excruciabat. tum et dei sacer-

θεοῦ δὲ θύτας κωλύων θείων δόμων
εἱρκταῖς ἐναπέκλειε δεσμωτηρίοις,
ἄλλους δὲ βυθῷ καὶ πυρὶ θαλαττίῳ
σὺν πυριφλέκτῳ νηῒ κατεπυρπόλει.
ἔστεργε δ' ὡς μάλιστα μύστας Ἀρείου,
καὶ τοῦδε τοῖς δόγμασιν ἀπρὶξ ἐμμένων
ἐκκλησίας ἔνειμεν αὐτοῖς τὰς ὅλας,
σφῶν ὀρθοδόξους ἐκβαλὼν κακοτρόπως.
Σκυθῶν δὲ Θρᾴκης καταδῃούντων ὅρους
καὶ πάντα δρώντων Σκυθικὴν ἐρημίαν,
ἄναξ ἐπεστράτευσε τοῖσδε βαρβάροις,
καὶ συμπλακεὶς ἥττητο δυσκλεῶς Σκύθαις·
τὸν ἐκ ξίφους φεύγων δὲ θάνατον τάλας
ἀχυρμιᾷ που συρφετώδει προστρέχει,
κἀκεῖ τροφὴ γένοιτο πυρὸς παμφάγου,
Σκυθῶν ἀναψάντων γε κώμης οἰκίας.
κατῆρξεν οὗτος πρὸς τρισὶ δέκα χρόνους,
βαρὺς κολαστὴς ὀρθοδοξούντων λάχους,
θερμὸς δ' ἐραστὴς καὶ πρόμαχος Ἀρείου.

Γρατιανὸς ἐν Ῥώμῃ.

Οὕτω φθαρέντος Οὐάλεντος ἀθλίως
ὁ Γρατιανὸς σὺν κασιγνήτῳ φίλῳ
πάσης κατῆρξαν ἑσπέρας καὶ τῆς ἕω.
κράτος μὲν εἶχε Γρατιανὸς πατρόθεν·
ἡ δ' αὖ στρατιὰ τοῦ πατρὸς τεθνηκότος,
καὶ μὴ παρόντος Γρατιανοῦ τῷ μόρῳ,

dotes, sacris aedibus prohibitos, arctis detinebat vinculis. (535) alios aquis praefocabat, medioque mari combusta nave flammis exstinguebat. Arii vero asseclas impense colens atque eius dogmatibus mordicus adhaerens, ecclesias ipsis cunctas regendas dedit, (540) eiectis inde per scelus orthodoxis. deinde Gothis Thraciam populantibus et vastitatem Scythicam efficientibus, imperator barbaros bello aggressus proelio infelici vincitur a Gothis; (545) dumque miser fatum a gladio imminens fugit ac vili se paleario abdit, ibi flammarum esca fit edacium, dum Gothi ignem subiiciunt pagi domibus. hic annis ferme tredecim imperavit, (550) gravis orthodoxae carnifex ecclesiae, fervidus Arii amator et defensor.

Gratianus Romae.

Sic pereunte misere Valente, cepit Gratianus cum germano fratre eoi orbis occiduique imperium. (555) Gratianus quidem a patre rex fuerat dictus: verumtamen exercitus, defuncto patre, quoniam Gratia-

ἀνεῖπεν Οὐαλεντινιανὸν νέον,
καὶ σύγγονος δέδεκτο τὴν κοινωνίαν.
ζηλῶν βασιλεὺς Γρατιανὸς πατέρα
εἰς εὐσέβειαν, ὀρθότητα δογμάτων,
αἰτοῦντι θείῳ τῷ Βάλεντι συμμάχους
οὔκουν παρέσχεν ἐξιόντι πρὸς Σκύθας,
"οὐ συμμαχεῖν δεῖ τοῖς ἐχθροῖς θεοῦ" φράσας.
καὶ ποιμένας δ' αὖ ἐνθέους διδασκάλους,
πρὸς Οὐάλεντος ποιμνίων ἐξωσμένους
τῆς εὐσεβείας ὀρθοδοξίας χάριν,
αὖθις ἐπανήγαγε ταῖς ἐκκλησίαις.
λεηλατούντων τῶν Σκυθῶν δ' ἔτι Θρᾴκην
καὶ τῆσδε πάντας ἐξερημούντων ὅρους,
καὶ τὰ πέριξ ἅπαντα κατεφθαρκότων,
ἅτ' ἀκαθέκτων τῇ νίκῃ δεδειγμένων,
μετακαλεῖται Γρατιανὸς αὐτάναξ
λαμπρὸν Θεοδόσιον ἐξ Ἱσπανίας,
ἄνδρ' ἀρεϊκὸν γεννάδαν βουληφόρον,
τῇ δ' εὐσεβείᾳ μᾶλλον ὡραϊσμένον·
ὃν καὶ στρατηγὸν ἀποφήνας ταγμάτων
μετὰ στρατιᾶς ἱκανῆς ῥωμαλέας
κατὰ Σκυθῶν πέπομφε τοῦτον βαρβάρων·
ὃς συμβαλὼν ἥττησε τοὺς ἀντιπάλους,
τρεψάμενος σφᾶς ἐν μάχῃ κατὰ κράτος
καὶ πάντας ἄρδην παραδοὺς μικροῦ ξίφει.
ἔπειτ' ἀφεικὼς στρατιὰν αὐτοῦ μένειν,

575 *ἄνδρα* V

nus funeri non intererat, Valentinianum iuniorem acclamavit, admisitque frater regni communionem. (560) Gratianus porro Caesar, paternae aemulus pietatis ac dogmaticae rectitudinis, Valenti patruo auxilia postulanti, cum Gothis arma inferret, non submisit, non oportere auxiliari hostibus dei dicens. (565) tum etiam sacros praesules doctores, quos Valens ab ovilibus pepulerat ob orthodoxae fidei pium dogma, rursus quemque suis ecclesiis reddidit. dein Gothis Thraciam adhuc infestantibus, (570) eiectis incolis facta solitudine, agris 'ate cunctis pessumdatis, cum hostes nulla comprimi vi iam possent, Gratianus imperator advocavit splendidum ex Hispania Theodosium, (575) virum martialem, strenuum, consiliosum, pietate autem maxime conspicuum; quem supremum armorum electum ducem cum ingenti exercitu ac fortissimo adversus Gothos barbaros expedivit. (580) is autem proelio inito victor fuit, Gothis vi summa armorum profligatis, gladioque propemodum cunctis caesis. mox ibi derelicto in castris milite, ad Gra-

πρὸς Γρατιανὸν αὐτεπάγγελτος φθάσας,
ἐν Πανονίᾳ διάγοντα τῷ τότε,
αὐτὸς βασιλεῖ μηνύει τὰ τῆς νίκης
καὶ τὸν Σκυθῶν ὄλεθρον ἅμα καὶ φόνον·
ὅθεν βασιλεὺς εἰς ἀμοιβὴν τῆς νίκης,
ἄλλως τε κρίνας ἐμπρέπειν κραταρχίᾳ,
στέφει Θεοδόσιον εἰς βασιλέα
πάσης ἑώας, Μακεδονίας, Θρᾴκης,
αὐτῷ δ' ἀπεκλήρωσεν ἑσπέρας τόπους.
ἐν Γαλλίαις οὖν διάγων ἀνῃρέθη
ὑπὸ στρατηγοῦ κλῆσιν Ἀνδραγαθίου,
δόλῳ καταπράξαντος αὐτοῦ τὸν φόνον,
ἓξ που κατασχὼν τὴν βασιλείαν χρόνους,
κράτωρ ἀγαθός, εὐσεβὴς Χριστοῦ λάτρις.

Οὐαλεντινιανὸς νέος ἐν Ῥώμῃ.

Τούτου θανόντος ἦρξεν ἑσπέρας ὅλης
Οὐαλεντινιανὸς σύγγονος νέος,
ὅστις γε μητρὸς ὑπαχθεὶς συμβουλίαις
Ἰουστίνης δέδεκτο δόγματ' Ἀρείου
κἀντεῦθεν ἀπέστεργεν εὐσεβῶν στῖφος.
καί τινος αὐτῷ Μαξίμου στρατηγέτου
ἐπιφυέντος καὶ νικήσαντος μάχῃ,
πρέσβεις πεπομφὼς πρὸς κρατάρχην τῆς ἕω

post v. 597 annos regni tum Gratiani tum Valentiniani iunioris omittit chronologus; verumtamen scimus Gratianum regnavisse post patrem annis 9, Valentinianum 17. M.

tianum ipsemet nuntius advolat in Pannonia tunc temporis diversantem, et de patrata victoria certiorem facit, summam Gothorum significans occidionem. Gratianus porro, ut daret victoriae praemium, alioqui id iam existimans prodesse imperio, imperatorem creat Theodosium totius orientis et Macedoniae ac Thraciae, occidui mundi terris servatis sibi. post haec in Galliis degens interficitur a duce quodam nomine Andragathio, qui dolo ad caedem eius grassatus est, postquam sex annis circiter regnaverat, bonus imperator piusque Christi famulus.

Valentinianus iunior Romae.

Gratiano exstincto partes hesperias cunctas Valentinianus iunior frater rexit, qui quidem matris deceptus suasionibus Iustinae Arii dogmata amplexus est, atque hinc piorum turbam amare desiit. tum rebellante quodam duce Maximo, et iam victoria contra se potito, legatis missis ad orientis principem inclytum Theodosium suppe-

λαμπρὸν Θεοδόσιον αἰτεῖ συμμάχους·
ὁ δ' αὖ ἐδήλου μὴ τεθηπέναι λέγων,
εἰ δοῦλος ὢν Μάξιμος ὤφθη δεσπότου
ὑπέρτερός τε καὶ νικητὴς ἐν μάχαις,
σοῦ δεσπότην σὸν ἠθετηκότος, κράτορ,
καὶ τόνδε δούλοις συγκατηριθμηκότος,
σύμμορφον ὄντα τῷ πατρὶ κατ' οὐσίαν.
ὅμως στρατεύσας κατὰ Μαξίμου κράτωρ
ἀνεῖλε τοῦτον κατακρατήσας μάχῃ.
καὶ τὴν κεφαλὴν δ' Ἀνδραγαθίου τέμνει,
ἐκπράξας αὐτὸν εὐθύνας τὰς τοῦ φόνου.
ταῦτα διαθεὶς βασιλεὺς ὑποστρέφει.
Οὐαλεντινιανῷ δ' αὖ νεωτέρῳ
ἀντῆρεν Εὐγένιος, εἷς τῶν ἐν τέλει·
καὶ γνοὺς τὸ δρᾶμα, συσχεθεὶς ἄναξ φόβῳ
ἑαυτὸν ἐξήγαγεν ἀγχόνῃ βίου.

Θεοδόσιος ὁ μέγας ἔτη ιζ'. οἱ δὲ ἔτη ις'.

Ἀλλὰ Θεοδόσιος Αὐσονοκράτωρ
ἐπιστρατεύσας καὶ πάλιν Εὐγενίῳ
κτείνει τε τοῦτον ἐκνικήσας ἐν μάχῃ
καὶ βασιλεύει καὶ μερῶν τῆς ἑσπέρας.
πρὶν ἢ δ' ὑπάρξαι τάδε κατορθωμάτων,
ἄναξ ἐπιστὰς Θεσσαλονίκῃ πόλει
δήμου στασιάσαντος ἐξ ἀταξίας
ὑβρίζεται μὲν οὗτος ἀστοῖς ἀνέδην,
φονεύεται δ' ὕπαρχος ἐν τῇ συγχύσει.

tias petit. ille respondit se mirari minime si servus Maximus domino superior fuerit ipsumque nuper acie profligaverit, (610) quoniam tu dominum tuum, Caesar, exauctoratum famulis connumeras, qui quidem patri similis substantia est. attamen sumptis armis imperator Maximum proelio superatum occidit. (615) tum etiam Andragathio caput abstulit, poenas ab eo repetens caedis regiae. his gestis domum revertitur imperator. sed ecce rursus Valentiniano iuveni aulicus vir Eugenius adversarius oritur; (620) qua re comperta metu correptus Caesar ipse sibi laqueo vitam interrupit.

Theodosius Magnus an. 17 *vel* 16.

At Theodosius Ausonum imperator Eugenium quoque captis armis persequens proelio devictum vita spoliat, (625) regnoque suo partes hesperias addit. antequam tamen haec praeclare gereret, Thessalonica in urbe Caesar versans, orto per populum motu seditioso, contumeliosis civium dictis ipse laeditur, (630) atque in tumultu caeditur praefectus.

ταῦτ' οὐκ ἐνεγκὼν ὁ κρατάρχης ἠμέρως
στράτευμ' ἀφῆκε τῷ λεῷ ξιφηφόρον,
καὶ τόνδε κατέσφαξαν ἀφειδῶς ξίφει,
ὡς ἐκ τοσούτου μυριαρίθμου στίφους
πρὸς πέντε θανεῖν χιλιοστύας δέκα.
ἀλλ' Ἀμβρόσιος Μεδιολάνων θύτης
τόνδ' ἀναμνήσας τοῦ πεπραγμένου μύσους,
ἤγαγεν αὐτὸν εἰς συναίσθησιν πάθους,
καὶ πρόσφορα κίρνησιν αὐτῷ φαρμάκων
δακρυρροοῦντι τῶν πεπραγμένων χάριν.
Οὗτος βασιλεὺς εὐσεβὴς ὢν ὀρθόφρων,
σύστημα σεπτὸν ἀρχιθυτῶν ἁλίσας
πρὸς τοῖς ἑκατὸν καὶ πεντήκοντα πάλιν
πνευματομάχου κατὰ Μακεδονίου,
πνεῦμα τὸ θεῖον οὐ σέβοντος ὡς θέμις,
συνεκρότησε σύνοδον τὴν δευτέραν·
ἣ συμφυὲς τὸ πνεῦμα πατρὶ καὶ λόγῳ
ἄριστα τρανώσασα, σύνθρονόν θ' ἅμα,
βάλλει Μακεδόνιον ἀραῖς ἐνδίκως,
τῆς καθολικῆς ἐκτεμοῦσ' ἐκκλησίας,
καὶ ποιμενάρχην δεικνύει Βυζαντίδος
Νεκτάριον, λάμποντα βίῳ καὶ λόγῳ,
χριστώνυμον μέν, ἀμύητον δ' εἰσέτι,
ὃν ἅμα βαπτίζουσι χρίουσι θύτην,
τοῦ Γρηγορίου καὶ πατρὸς θεηγόρου
αὐθαιρέτως γε τὸν θρόνον λελοιπότος.

haec imperator haud moderate ferens armatos contra populum immisit milites, qui hunc crudeliter gladiis conciderunt, ita ut in tanto congregato numero (635) quindecim milia hominum perierint. sed Mediolani Ambrosius episcopus Caesarem admonens tanti commissi sceleris ad paenitentiam facti flexit animum: tum lacrimanti rei perpetratae causa (640) idoneum culpae rite remedium contulit.

Rex hic pro sua pietate et orthodoxia praesulum venerandum coetum congregans, centum videlicet et quinquaginta patrum, adversus Macedonium qui divinum (645) spiritum debito honore non colebat, secundam celebrandam curavit synodum; quae patri ac verbo spiritum definiens honore parem, natura eadem praeditum, devovit Macedonium iustis diris (650) atque eum catholica pepulit ecclesia. Byzantii vero praesulem delegit Nectarium, lingua et moribus cluentem, christicolam quidem, sed nondum initiatum. baptizant ergo simul sacrantque episcopum, (655) quoniam Gregorius pater theologus hac semet sede sponte deposuerat.

Οὗτος τελευτᾷ βασιλεὺς καθ' ἑσπέραν,
υἱοῖς μερίσας τοῖς δυσὶ κραταρχίαν,
Ὀνωρίῳ μὲν δοὺς κατάρχειν ἑσπέρας,
Ἀρκαδίῳ δ' αὖ τῶν μερῶν τῶν τῆς ἕω,
βεβασιλευκὼς ἑπτὰ καὶ δέκα χρόνους
πρὸς πέντε μησὶν εὐσεβῶς εὐδαιμόνως,
ἀνὴρ ἀγαθὸς καὶ κράτωρ νικηφόρος,
τῇ δ' εὐσεβείᾳ μᾶλλον ὡραϊσμένος.
καὶ κίον' οὗτος ἐν Βοὸς τεύχει τόπῳ
ἀνδρείκελον φέροντα τοῦ δειμαμένου.

Ἀρκάδιος ἔτη ιδ'.

Ἀρκάδιος γοῦν παραλαβὼν τὸ κράτος
διεῖπεν αὐτὸ πλημμελῶς καὶ ῥᾳθύμως·
νωθὴς γὰρ εὐρίπιστος ὤν, ἀνειμένος
καὶ τῇ γυναικὶ πάντα προσπεπεισμένος,
τρικυμίας ἔπλησε τὴν ἐκκλησίαν,
αὐτῷ δὲ μέμψεις προὐξένησεν ἐνδίκους.
Νεκταρίου γὰρ ἐκμετρήσαντος βίον,
ἀχθεὶς ὁ χρυσοῦς ἐν λόγοις Ἰωάννης
ἐξ Ἀντιόχου πρὸς πόλιν βασιλίδα
ταύτης καθωραΐσε τὸν σεμνὸν θρόνον·
ἀλλ' ἡ βασιλὶς ἀδίκως Εὐδοξία,
μισήσασα φεῦ ἐνθέου παρρησίας,
τὸν τῶν ψυχῶν ἥλιον, ἄξιον θρόνου,

665 locus nimirum urbis Byzantinae dictus Bos. Zonar. 14 14. M.

Rex hic hesperiis moritur in terris, duobus partiens liberis imperium, Honorio quidem partes occiduas tribuens, (660) orienti Arcadium dominum praeficiens, postquam regnaverat annis septendecim cum quinque mensibus feliciter et pie, vir sane egregius et princeps victoriosus, sed pietate tamen multo rutilantior. (665) is et columnam posuit in Bovis loco, gestantem regis statuam auctoris sui.

Arcadius an. 14.

Arcadius igitur heres imperii factus male illud coepit gerere et socorditer: hebes enim versatilis et remissus, (670) et cuncta uxoris sinens in arbitrio, turbarum fluctibus obruit ecclesiam sibique iustam peperit infamiam. namque ubi Nectarius explevit vitae cursum, aurea lingua praeditus Ioannes (675) Antiochia deducitur ad urbem regiam, ut huius sacram scilicet ornet sedem. sed enim augusta contra fas Eudoxia, sacros heu perosa liberos sermones, solem animarum, sedis ap-

τίθησιν ἐξόριστον ἐν τοῖς Κομάνοις,
ἀντικαθιστᾷ δ' Ἀρσάκιον πρεσβύτην.
Οὗτος βασιλεὺς ἐν Θρᾴκῃ κτίζει πόλιν,
ἣν Ἀρκαδίου πάντες ᾄδουσι πόλιν.
καὶ κίον' ἀνήγειρεν ἐν Ξηρολόφῳ
στήλην ἄνω φέροντα τοῦ δειμαμένου.
ἔτη δὲ πρὸς τέσσαρσι κατάρξας δέκα,
ὢν εὐσεβής τις ὀρθοδοξίας φίλος,
ἄλλως δὲ κοῦφος, εὐάγωγος τὸν τρόπον,
νοσήσας ἐξέλιπε τὸν φθαρτὸν βίον.

Θεοδόσιος ὁ νέος ἔτη μβ'.

Καὶ παῖς Θεοδόσιος ἄρχει τοῦ κράτους,
πραΰς, προσηνής, εὐσεβής, χρηστὸς τρόπους,
ἐγκύκλιον παίδευσιν εὖ ἠσκημένος,
μαθημάτων ἴδρις τε τῆς τετρακτύος,
καὶ πλαστικῆς αὖ καὶ γραφικῆς τεχνίτης,
καὶ τοξότης ἄριστος, ἱππεύειν ἄκρος,
ἡδύς, χαρίεις, εὐμενὴς ὑπηκόοις,
ὑπέρμαχος κράτιστος ὀρθοδοξίας.
πλὴν μαλθακῶς διεῖπε τὴν αὐταρχίαν,
κοινῶν μεταχείρισιν εὐνούχοις νέμων,
Ἀντιόχῳ πρῶτα μέν, εἶτ' Ἀμαντίῳ,
πρὸς τοῖσδε δούλῳ χρυσίου Χρυσαφίῳ.
νέος κομιδῇ τυγχάνων ἡλικίαν
ἀνήγεθ' οὗτος πρὸς κασιγνήτου φίλης,

prime dignum, (680) exsulem pellit usque ad urbem Comana, ipsique Arsacium natu iam grandem sufficit.

Rex hic in Thracia condidit urbem illam quam Arcadiopolim vulgo vocatam cernimus. idem columnam posuit in Xerolopho, (685) conditoris sui signo superposito. regnavit autem decem cum quattuor annis, vir sane pius atque orthodoxiae tenax, levis alioqui ingenii, varius ac mutabilis. implicitus in morbum vita mortali cessit.

Theodosius iunior an. 42.

(690) Excipit imperium filius Theodosius, mitis, affabilis, pius commodisque moribus, encyclica doctrina recte exercitus, disciplinarum quattuor bene sciens, plastices insuper atque picturae gnarus, (695) iaculo bonus, equum frenare valens, blandus, gratiosus, subditis benivolus, atque orthodoxiae optimus defensor. imperium tamen administravit molliter, permisso eunuchis rei publicae arbitrio, (700) Antiocho primo, deinde Amantio, insuper et auri famulo Chrysaphio. atque is tenerae adhuc aetatis puer germanam sororem vitae ducem ha-

τῆς πάντ' ἀρίστης ὀλβίας Πουλχερίας,
ἐπίτροπον σχὼν ἐν γραφαῖς φυτοσπόρου
Ἰσδιγέρδην ἄνακτα Περσίδος τότε,
οὗ τῷ δέει πᾶς εὐνόει τῷ δεσπότῃ
καὶ φευκτέαν ἥγητο τὴν τυραννίδα.
ἠγάγεθ' οὗτος ἐξ Ἀθηνῶν καὶ κόρην
κοινωνὸν ἅμα τοῦ κράτους καὶ τοῦ λέχους,
λάμπουσαν ὥρᾳ καὶ μαθημάτων τέχνῃ,
παῖδα Λεοντίου τινὸς φιλοσόφου,
τὴν εὐδόκιμον ἐν λόγοις Εὐδοκίαν,
ἧς τὴν σοφίαν δεικνύουσιν ἐν λόγοις
ὁμηρόκεντρα τὰ σοφῶς γεγραμμένα.
αὕτη Σιὼν ἔβλεψε τὴν θεοῦ πόλιν,
εἰς προσκύνησιν τῶν σεβασμίων τόπων
πλοῦτον βαθὺν φέρουσα, χρυσὸν μυρίον,
οἷσπερ νεὼς ἤγειρε Χριστῷ δεσπότῃ.
μετὰ δ' ἐπανέζευξεν αὖθις εἰς πόλιν.
εἶτα θανόντος αὐτάνακτος συζύγου
πάλιν ὑποστρέψασα πρὸς θείους τόπους
ἐκεῖ τελευτᾷ καταλιποῦσα βίον,
ζήσασα καλῶς καὶ καθὰ θεῷ φίλον.
Ἀρσακίου δὲ τὸν βίον λελοιπότος
ἐκκλησίας ἔσχηκεν Ἀττικὸς θρόνον,
κοσμούμενος βίῳ τε καὶ λόγῳ πλέον·
ὃς Ἰουδαῖον παράλυτον ἐκ νόσου
πεισθέντα μυεῖ, καὶ βαπτίσας ὡς δέον
λουτροῦ χάριτος ὑγιῆ τόνδ' ἀνάγει.

buit, omni virtute praeditam Pulcheriam, (705) tutorem vero supremis patris tabulis Isdigerdem Persidis tunc regem; a quo dum timent, cuncti parebant domino, nec tyrannidem quisquam affectavit. idem Athenis puellam accersivit, (710) imperii pariter ut esset torique socia, forma praestantem doctrinisque exercitam, Leontio quodam genitam philosopho, claram in doctis literis Eudociam, cuius sapientiam in pangendis libris (715) homerocentra docent cate scripta. eadem invisit Sionem urbem dei, praesens veneratura sanctos locos, magnas opes ferens, vim auri innumeram, qua excitavit templa Christo domino. (720) deinde ad urbem regiam pedem rettulit. postremum fatis functo rege coniuge rursus ad sancta semet recipiens loca, mortalem ibidem conclusit periodum, bene acta vita, atque uti deo placet.

(725) Iam vero Arsacio vivis excedente ecclesiae sedem occupavit Atticus, moribus ac literis abunde instructus, qui Iudaeum quendam morbo fractum credentem initiat, baptizansque rite (730) lavacri munere

τέλει δ' Ἀττικοῦ τοῦ βίου χρησαμένου
Σισίνιος ἔλαβε τὴν προεδρίαν·
οὗπερ τὸ βιοῦν ἐκμετρήσαντος μόρῳ
Νεστόριός τις ἀντικατέστη θρόνῳ,
ἀνὴρ ἀποφρὰς δυσσεβὴς καὶ κακόφρων,
ὃς δογματίζων ἀπεφλυάρει μάτην
ἄνθρωπον εἶναι τὸν Χριστὸν μόνον,
καὶ μητράνανδρον παρθένον τὴν Μαρίαν
οὐ θεοτόκον μᾶλλον ἢ χριστοτόκον·
ὅθεν βασιλεὺς πατέρων θεοκρίτων
σύστημα σεπτὸν εὐσεβῶς συναλίσας,
ὧν Κύριλλος ἔξαρχος Ἀλεξανδρείας,
καθεῖλε Νεστόριον ἀνθρωπολάτρην.
εἶτα προέστη τῆς θεοῦ ἐκκλησίας
Μαξιμιανός, προστάτης ὀρθοφρονῶν·
οὗπερ θανόντος ἐνθρονίζεται θρόνῳ
Πρόκλος Κυζίκου ποιμενάρχης ἀξίως,
ποιμὴν ἀγαθὸς καὶ νομεὺς ψυχοτρόφος,
μυστὴς φιλητὸς τοῦ πατρὸς Χρυσοστόμου,
ἐφ' οὗ κελεύσει τοῦ κρατοῦντος Αὐσόνων
τούτου τὸ σῶμα πρὸς πόλιν ἤχθη κράτους.
τούτου λιτανεύοντος ἱεροῦ Πρόκλου
μετά γε λαοῦ συνδρομῆς ἀπειρίτου,
ἁρπαγὲν ἄφνω παιδίον πρὸς ἀέρα
πάντων βλεπόντων καὶ λίαν θαμβουμένων,
μεθ' ἱκανὴν ὥραν δὲ καταχθὲν πάλιν,

748 ψυχοτρόπος V

sanum educit aquis. deinde vitam concludente Attico episcopatum occupat Sisinius. quo vitae pariter usuram relinquente, Nestorius quidam pro eo sedem occupat, (735) nefastus, impius, mala mente praeditus, qui novum dogma stulte garriebat, Christum videlicet merum esse hominem, matrem vero virginem Mariam non tam deiparam esse quam Christiparam. (740) quare imperator electorum a deo patrum concilium venerandum pie congregans, quorum Alexandrinus dux erat Cyrillus, Nestorium deposuit hominicolam. deinde praefuit dei ecclesiae (745) Maximianus, orthodoxus praesul. quo vita functo, merito in sede sistitur Proclus Cyzici archiepiscopus, pastor egregius, largitor [illegible], patris Chrysostomi dilectus discipulus; (750) sub quo *Romani* imperatoris iussu ad urbem regiam corpus illius rediit. Proclus hic sanctus cum pompam supplicem populo innumero comitante duceret, abreptus subito puer in aërem, (755) cunctis ingenti stupore percitis, post intervallum

ἔφη μυηθῆναί γε μὴ προστιθέναι
τὸ "σταυρωθεὶς" πρόσρημα "δι' ἡμᾶς" λέγων
τῷ τρισαγίῳ καὶ σεβασμίῳ ὕμνῳ.
τούτου μεταστάντος δὲ πρὸς θείους νόας
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου
πρεσβύτερός τις Φλαβιανὸς ἀξίως,
πρόμαχος ὀρθῶν δογμάτων ἐκκλησίας·
οὗπερ θανόντος λακτίσει Διοσκόρου
ἐν ληστρικῇ τε καὶ φονικῇ συνόδῳ
θύτης Ἀνατόλιος Ἀλεξανδρείας
εἴληφε θῶκον ἱερὸν βασιλίδος.
Οὗτος Θεοδόσιος αὐσονοκράτωρ
καὶ τεῖχος ἀνήγειρε χερσαῖον πόλει
ἐκ τῶν Βλαχερνῶν εἰς πύλας τὰς χρυσέας,
τοὖργον περάνας ἐν δυσὶ μησὶ μόνοις
σπουδῇ γ' ἐπάρχου καὶ συνεργείᾳ Κύρου.
ἀγαμένου δήμου δὲ Κῦρον τοῦ τάχους,
καὶ ταῦτ' ἀνακράξαντος ἐν παρρησίᾳ,
"Κωνσταντῖνος μὲν ἔκτισε πρὶν τὴν πόλιν,
ἀνανεοῖ Κῦρος δὲ νῦν," προθυμίᾳ
ταύτῃ φθονηθεὶς, ἐκπεσὼν τῆς ἀξίας,
ἐκκλησίας πρόεδρος ὤφθη Σμυρναίων.
Καὶ Πουλχερίαν οὗτος, ἀδελφὴν φίλην,
τῶν βασιλείων ἐκβαλὼν ὡς οὐκ ἔδει,
ταῖς ὑποθήκαις βασκάνου Χρυσαφίου,
ἐν Ἑβδόμῳ τίθησιν ἐγκεκλεισμένην,

758 πρὸς ῥῆμα V

modicum denuo redux dixit divinitus sibi revelatum ne "crucifixus" vox adderetur voci "pro nobis" trisagio in hymno. (760) Proclo ad supernos evolante spiritus episcopatum urbis Constantini merito obtinuit vir senex Flavianus, sanorum ecclesiae dogmatum defensor; quem ubi occidit calcibus Dioscorus (765) latrocinali in synodo cruenta, Alexandriae praesul Anatolius sacram urbis regiae sedem occupavit.

Porro imperator iste Theodosius terrestrem quoque murum excitavit (770) urbis a Blachernis ad portam auream, opus id menses intra duos peragens sedulitate et studio praefecti Cyri; cuius demirante celeritatem populo atque his audacter verbis succlamante (775) "Constantinus urbem quondam condidit, Cyrus nunc renovat," huius causa plausus vocatus in invidiam gradu excidit, Smyrnaeaeque praesul datus est ecclesiae.

Idem Theodosius Pulcheriam sororem (780) regali pulsam contra fas palatio, consiliis scilicet invidi Chrysaphii, iussit ut clausa viveret in

φροντίδος αὐτὴν καταπαύσας πραγμάτων.
μόλις δὲ συνεὶς τὸν φθόνον Χρυσαφίου
αὐτὸν μὲν ἐξόριστον ἐνδίκως ἕδρα,
τὴν σύγγονον δὲ προσλαβὼν αὖθις νέμει
φροντίδα κοινῶν τῇδε πραγμάτων ὅλων.
Οὗτος νοσήσας ἐξέλιπε τὸν βίον,
ὥς φασι, βιοὺς πεντήκοντά που χρόνους,
καθ' οὓς σχεδὸν κατῆρχε τοὺς χρόνους ὅλους.

Μαρκιανὸς ἔτη ϛ'. ϛ'.

Σκῆπτρα μεταβαίνει δὲ πρὸς Πουλχερίαν,
τρόποις ἀγαθοῖς καὶ σεμνοῖς κοσμουμένην,
τῇ δ' εὐσεβείᾳ παρθενίᾳ τ' αὖ πλέον·
ἣ Μαρκιανόν, ἄνδρα χρηστὸν τοὺς τρόπους,
σεμνὸν γεραρὸν σώφρονα καὶ πρεσβύτην,
ἐκ στρατιωτῶν προσκαλεῖται ταχέως,
καὶ τῷδε δηλοῖ τοῦ κρατάρχου τὸν μόρον,
καὶ φησὶν "εἴ μοι πίστιν ἀσφαλῆ νέμοις
ὡς παρθενίας τῆς ἐμῆς εἴης φύλαξ,
ἥνπερ καθιέρωσα Χριστῷ νυμφίῳ,
στέψω βασιλέα σε τῆς Ῥωμαΐδος."
τοῦ δ' αὖ κατανεύσαντος ἀσφαλῶς τόδε
μετακαλεῖται βασιλὶς ἀρχιθύτην,
τοὺς ἐν τέλει, σύγκλητον ἄλλο τε στῖφος,
καὶ Μαρκιανὸν ταινιοῖ κράτους στέφει
καὶ κράτορα δείκνυσι τῆς Ῥωμαΐδος.

Hebdomo, omni rei publicae negotio abstinens. vix demum invidia cognita Chrysaphii, (785) hunc quidem merito trusit in exsilium, germanae vero revocatae denuo summam rei publicae regendam tradidit.
Ipse occupatus morbo vitam clausit, annos, ut aiunt, natus quinquaginta, (790) quos omnes ferme exegit in imperio.

Marcianus an. 6 mens. 6.

Devenit autem sceptrum ad Pulcheriam, moribus egregiis inclytam, sed magis pietate in deum atque virginitate; quae Marcianum, bene moratum virum, (795) pudicum venerabilem et iam senem, e castris festinanter ad se vocat et de Caesaris obitu certiorem facit. tum ait "si quidem mihi spondes firmiter, te castitatis meae custodem fore, (800) quam ego Christo iamdiu consecravi, Romani imperii dominum te faciam." qui postquam firmam eius rei fidem obtulit, regina protinus vocat archipraesulem, magistratus, senatum aliamque turbam, (805) Marcianumque redimit regni stemmate et Romanorum imperato-

τῷ δ' αἰχμαλώτῳ χρηματίσαντι πάλαι,
θέρους ὑπνοῦντι πρὸς φλόγα τὴν ἡλίου
σὺν αἰχμαλώτοις πλείοσιν ἕρκους μέσον,
ἐπικαταπτὰς ἀετὸς σκιὰν ἕδρα·
ὃ γνοὺς ἐθνάρχης τόνδ', ὁ κατέχων πέδαις
ἀφῆκεν αὐτὸν πρὸς πατρίδ' ἀπιέναι.
τοῦτ' αὐτὸ πάλιν καὶ δυάς τις συγγόνων
κατεῖδε σαφῶς ἐν θέματι Λυκίας,
ἣ καὶ προεῖπε τῷδε τὴν κραταρχίαν.
οὕτω προαφώριστο τῷδε τὸ κράτος.
Πουλχερία δὲ φροντίζουσα πραγμάτων
καὶ συνδιαφέρουσα τὴν κραταρχίαν,
τὸν ἐν Βλαχέρναις ἀπαράμιλλον ξένον
νεὼν ἀνιστᾷ μητροπαρθένῳ κόρῃ.
πρεσβυτέρας Ῥώμης δὲ Λέοντος πάπα
καὶ ποιμενάρχου δ' Ἀνατολίου νέας
τὰ πρὸς Διοσκόρου τε τοῦ τ' Εὐτυχέος
πραχθέντα δεινῶς Φλαβιανὸν εἰς μέγαν
μὴ παραδραμεῖν ἄνακτ' ἐξαιτουμένων,
ἤδη γενέσθαι σύνοδος τέτακτό γε.
Μαρκιανοῦ δόγματι καὶ Πουλχερίας,
τῶν φιλοχρίστων εὐσεβῶν βασιλέων.
συνῆλθον οὐκοῦν ἐν Χαλκηδόνι πόλει
ἑξακόσιοι πατέρες θεηγόροι
πρὸς τριάκοντα συναχθέντες ἐνθέως,
ὧν ἦρχε Ῥώμης τῆς παλαιτέρας Λέων
νέας τ' Ἀνατόλιος ἔνθεος θύτης

rem creat. huic olim captivo ac dormienti cum aliis concaptivis in septo medio, aestivas sole iaculante flammas, advolans aquila umbram praebuit; quod cum rescisset dominus huius regulus, eundem liberum remisit in patriam. duo quoque fratres idem prodigium perspicue viderunt in Lyciae provincia, hique Marciano praedixere imperium. sic iste accepit omina potentiae.

Pulcheria vero publicam rem gerens, et cum Marciano regni curas partiens, mirum in Blachernis atque incomparabile virgini matri templum excitavit. cumque Romae veteris papa esset Leo, novae autem praesul Anatolius, quod Dioscorus patrarant atque Eutyches contra magnum Flavianum grave facinus, ne impune foret, imperator est rogatus. iamque synodum contrahi iussum fuerat Marciani edicto ac Pulcheriae, philochristorum regum piorum. ergo in urbe Chalcedone divinitus theologi patres convenerunt sexcenti cum triginta congregati. his praeerat Romae senioris Leo, novaeque Anatolius dius episcopus et Iuvenalis Sionis san-

καὶ Ἰουβενάλιος Σιὼν ἁγίας·
οἳ δὴ καθεῖλον Διόσκορον ἐνδίκως
σὺν Εὐτυχεῖ τε δυστυχεῖ τρισαθλίῳ,
ἐπὶ Χριστοῦ λέγοντας οὐ διπλᾶς φύσεις,
μίαν δὲ μᾶλλον δυσσεβῶς κακοφρόνως.
ἐπεὶ δ' ἀναιδῶς ὑπεναντίων στῖφος
ὀρθόφρονας ἦν ἐνδιαβάλλον μάτην
ὡς Νεστορίου τὴν λύμην δεδεγμένους
ἐν τῷ φρονεῖν τε καὶ λέγειν Χριστὸν φέρειν
διπλᾶς τελείας τὰς φύσεις, ἀσυγχύτως
ἡνωμένας αὖ ἐν μιᾷ γ' ὑποστάσει,
πρὸς ὀρθοδόξων δυσσεβῶν τόμοι δύο
γεγράφαται δὴ σὺν ὅλῃ προθυμίᾳ,
καὶ τούσδε καλῶς σφραγίσαντες, ὡς δέον,
ἐν λάρνακι κλείουσι σεπτῶν λειψάνων
Εὐφημίας μάρτυρος, ὀλβίας κόρης.
εἶτα μετ' εὐχὰς ἡμέραν τε τὴν τρίτην
πάντων παρόντων ἀνεῳγμένου τάφου,
καὶ τοῦ κρατοῦντος συμπαρόντος πατράσιν,
ὢ θαυμασίων, Χριστέ μου, τεραστίων!
τῶν δυσσεβῶν μὲν αἱρετικῶν που τόμος
ἐν τοῖς ποσὶ μάρτυρος ἦν ἐρριμμένος,
τὸν δ' αὖ γε λοιπὸν ὀρθοδοξούντων μέρους
κατεῖχε χερσὶν ἀσφαλῶς ταῖς ἰδίαις,
καὶ τῷ κρατοῦντι καὶ πατριάρχῃ νέμει
τὴν δεξιὰν τείνασα πρὸς σφᾶς. ὢ τέρας.
Μετὰ δὲ ταῦτα βασιλὶς Πουλχερία

ctae; (835) hique damnarunt merito Dioscorum cum Eutychete contra suum nomen misero, qui nequaquam duas Christi naturas sed unam impie falsoque affirmabant. tum quia contraria impudenter factio (840) calumniabatur temere orthodoxos quasi Nestorii vitio laborantes, cum hanc de Christo sententiam gererent, quod duas naturas perfectas inconfusas, sub una iunctas tamen persona habuerit, (845) ab orthodoxis haereticisque simul duplex confessio protinus conscribitur; hasque sigillo probe communitas in arca claudunt sacrarum reliquiarum puellae martyris, beatae Euphemiae. (850) post tertiam diem, precibus peractis, cunctis sepulcrum patens circumsistentibus, adstante etiam cum patribus Caesare, (o admirandum, Christe mi, prodigium!) haereticorum quidem scelestorum liber (855) martyris proiectus ad pedes fuerat; at orthodoxae fidei libellum diva suis manibus firmiter tenebat, idque regnanti ac patriarchae obtulit dextra ad eos protensa. pro miraculum!

(860) Post haec regina derelictis terris sedes ad caelestes transiit

γῆθεν μετέστη πρὸς μονὰς οὐρανίους,
ζήσασα καλῶς εὐσεβῶς ὀρθοφρόνως,
Χριστὸν θεραπεύσασα καλὸν νυμφίον
ἐν παρθενίᾳ καὶ καλῶν εὐποιίαις,
καὶ τῆσδε φαιδρὰν ἀνάψασα λαμπάδα.
εἶτα τελευτᾷ Μαρκιανὸς τὸν βίον,
ζήσας ἐπὶ μήκιστον, ἄναξ χαρίεις,
γνώμην ἀγαθός, ἱλαρός, πρᾶος φύσει,
οὗτος θεοπρόβλητος ἐμπρέπων κράτει,
ἓξ που κατασχὼν τὴν βασιλείαν χρόνους·
ὃς γνωματεύων μὴ κινεῖν βασιλέα
ἔφασκε δεῖν ὅπλα τε καὶ μάχην ὅλως,
ἂν ᾖ δυνατὸν ἤρεμον βιοῦν βίον.

Λέων ὁ μέγας ἤτοι ὁ Μακέλλης ἔτη ιη'.

Τούτου θανόντος καὶ μεταστάντος βίου
εὐθὺς παρῆλθεν εἰς βασίλειον κράτος
κλῆσιν Λέων τις καὶ Μακέλλης τοὐπίκλην,
ἀνὴρ ἀγαθός, ἀρετῶν πεπλησμένος,
μάλιστα φιλοίκτῳ δὲ κατηυγασμένος,
κράτωρ ἀριστεὺς καὶ μαχητὴς γεννάδας,
ἐχθρῶν κλονῶν φάλαγγας ὥσπερ τις λέων,
σειρὰν γένους ἄνωθεν ἕλκων ἐκ Θρᾴκης
ἢ καὶ Δακῶν, ὥς φασί τινες, ἐκ γένους,
ὑπέρμαχος κράτιστος ὀρθοδοξίας,
καὶ δαψιλής τις ἀπόρων χορηγέτης.
εἴωθεν οὗτος γνωματεύειν καὶ λέγειν

Pulcheria, quae bene orthodoxaque cum pietate vixerat, sponso optimo subserviens Christo in castimonia rectisque operibus, (865) splendidam virginitatis alens lampadem. dein Marcianus quoque mortem obiit, senex iam grandaevus, rex amabilis, bona mens, mitis animus et iucundus. hic auspicio divino ad imperium venerat, (870) eoque sex ferme annis perfruitus est. huius sententia fuit, ut rex nunquam commotis armis bellum lacesseret, si quidem posset vitam quietam degere.

Leo magnus cognomento Macelles an. 18.

Marciano vitam deserente, ut diximus, (875) statim pervenit ad potestatem regiam nomine Leo quidam, cognomine Macelles, vir bonus et virtutibus redundans, misericordia tamen praecipue ornatus, princeps egregius et bellator strenuus, (880) hostium catervas quatiens ut leo. hic oriundus e Thracia fuit, vel Dacorum, ut quidam malunt, genere, fortissimus defensor orthodoxiae, egenis largus subsidiorum praebitor. (885) huius in ore saepe sententia erat, sol uti solet omnes calefacere

"ὡς ἥλιος πέφυκε θερμαίνειν ὅλους
οἷς ἂν ἐπαφῇ τὰς φαεινὰς ἀκτῖνας,
τὸν αὐτὸν οἶμαι δεῖν βασιλέα τρόπον,
οἷς ἂν ἐπιβλέψειεν ἀνθρώπων γένους,
σφᾶς ἀξιοῦν οἴκτου τε φιλοδωρίας."
πρὸ τοῦ κατασχεῖν οὗτος ἀρχὴν καὶ κράτος
Ἄσπαρι δεινῷ τῶν μέγα δυναμένων
ὑπόσχεσιν δέδωκε τῶν παίδων ἕνα
εἰς Καισαρικὴν ἀξίαν προβιβάσαι·
ἐπεὶ δ' ἐπιβέβηκε τῆς αὐταρχίας,
Ἄσπαρ ἀπῄτει τὴν χάριν μετὰ βίας,
καὶ πορφυρίδος τοῦδ' ἀναιδῶς ἡμμένος
"ψευδηγορεῖν" ἔφασκεν "οὐ χρεών, ἄναξ,
τὸν τήνδε λαμπρὰν πορφυρίδ' ἐνημμένον."
"ἀλλ' οὐδὲ πάλιν ἐκβιάζεσθαι δέον,
ὥς τινα δοῦλον," ἀντεπῆγεν ὁ κράτωρ,
"τὸν ἀρχικὴν φοροῦντα λαμπρὰν χλαμύδα."
Οὗτος συνῴκει γαμετῇ τῇ Βηρίνῃ,
ἣ δύο τίκτει βασιλεῖ θυγατέρας,
τὴν Ἀριάδνην, δευτέραν Λεοντίαν·
ὧν Ἀριάδνη Ζήνωνι συνεζύγη,
ἀνδρὶ δυσειδεῖ καὶ κακίστῳ τοὺς τρόπους,
ἕλκοντι σειρὰν τοῦ γένους ἐξ Ἰσαύρων·
Μαρκιανὸς δ' ἔγημε τὴν Λεοντίαν,
Ἀνθεμίου παῖς βασιλεύσαντος Ῥώμης.
Τούτου βασιλεύοντος ἐν βασιλίδι
πυρκαϊά τις συνέβη φρικαλέα

quibus ostendit splendidum lumen suum, sic se arbitrari regem oportere quoscunque homines intuitu lustraverit, (890) eos clementia et donis impertiri. hic priusquam adiret imperium, Aspari illustri optimati homini unum se promiserat ex eius liberis ad dignitatem Caesaris promoturum. (895) mox cum imperium obtinuisset Leo, id beneficium Aspar vi exigebat: quin impudenter purpuram eius tangens, "haud tibi licet" inquit, "rex, fidem fallere cum sis hac splendida purpura vestitus." (900) "atqui vicissim nefas est, ut famulo, vim mihi inferri," respondit imperator, "qui principali chlamyde praefulgeo."

Huic erat iuncta nuptiis Verina, quae duas regi filias enixa est: (905) nomen uni Ariadna, Leontia alteri. ex his Ariadna iuncta Zenoni fuit, foeda viro facie et moribus pessimis, qui seriem ex Isauris ducebat generis. Leontiam Marcianus accepit coniugem, (910) filius Anthemii qui Romae regnabat.

Leone dominante incendium quoddam urbe in regali contigit horri-

ἐκ τῆς πρὸς ἄρκτον ἁλμυρᾶς εἰς θατέραν,
πυρὸς διαζώσαντος ἐν μέσῳ πόλιν
καὶ πυρπολοῦντος τῆσδε λαμπρὰς οἰκίας,
τἄλλά τε πάντα καὶ σεβασμίους δόμους,
ἐπὶ τετρακτὺν ἡμερῶν ἀνενδότως.
τῇ δ' Ἀντιόχου καὶ σφοδρὸς γῆς τις κλόνος
συμβὰς κατηρείπωσεν αὐτὴν ἐσχάτως.
ὕσθη σποδὸς δὲ μάλα πολλὴ τῇ πόλει
εἰς ἐμψύχων κάκωσιν, εἰς καρπῶν φθίσιν.
ἐκ τοῦδ' ὁ κρατῶν συσχεθεὶς ἀγωνίᾳ,
πόλιν λελοιπώς, ἐν βασιλείοις δόμοις
οὖσι πρὸ τειχῶν ἀσφαλῶς ἦν διάγων.
ἐφ' οὗπερ ἐσθὴς μητρανάνδρου παρθένου
ἐκ τῆς Σιὼν τε καὶ Παλαιστίνης τόπου
πρὸς τὴν βασιλεύουσαν ἀχθεῖσα πόλιν
ναῷ τεθησαύριστο τῷ πρὸς Βλαχέρναις,
ὃν αὐτὸς ἀνήγειρε μητροπαρθένῳ,
ἐν ἀργυρᾷ σορῷ καὶ σεβασμίᾳ,
δι' ἣν κατωνόμαστο καὶ θεῖος δόμος
σορὸς τιμία τῆς πανυμνήτου κόρης.
Οὗτος κραταρχῶν καὶ στρατηγὸν γεννάδαν
Ῥουστίκιον, ἄριστον ἐν στρατηγίαις,
προβάλλεται δὴ καὶ κατορθοῖ τὰς νίκας.
τούτου θανόντος σύγγονον βασιλίδος
Βασιλίσκον προύκρινεν εἰς στρατηγίαν,
ὃς ἐκπεπλευκὼς εἰς Ἀφρικὴν σὺν στόλῳ

930 ἀργυρῷ V. mox addendum fortasse τε

ficum, a boreali mari usque ad alterum flammis urbem mediam complectentibus (915) splendidasque huius domos populantibus: atque inter cetera sacras etiam aedes quatriduanus ignis inclemens hausit. Antiochiam vero terrae motus quidam vehemens supremo prostravit exitio. (920) multusque pluit regia in urbe pulvis, molestus animantibus et noxius frugibus. his malis graviter anxius imperator, urbe relicta, ad suburbanum palatium, saluti suae consulens, sedem transtulit. (925) sub eo vestis deiparae virginis ex urbe Sione ac Palaestina terra ad regiam delata metropolim apud Blachernas in templo fuit reposita, quod ipse rex deiparae excitaverat, (930) argenteo pretiosoque clausa in loculo; quare et id templum coepit appellari arca honorabilis virginis laudatissimae.

Leone dominante dux egregius, arte strategica optimus, Rusticius, (935) bello praepositus victoriis claruit. at hoc exstincto imperatricis fratri armorum imperium Basilisco traditur, qui transportato in

κατακρατοῦντος τοῦ τόπου Γιζερίχου
ἧτταν ὑπέσχε δυσκλεᾶ κατὰ μάχην,
καὶ πλεῖστον ἀπέβαλε τῶν στρατευμάτων.
Ἀνατολίου δ' ἐκλελοιπότος βίον
ἀρχιθύτης δέδεικτο τῆς Κωνσταντίνου
Γεννάδιος, πρόμαχος ὀρθοδοξίας.
τούτου τὸ βιοῦν ἐν θρόνῳ λελοιπότος
Ἀκάκιος κάκιστος ἔσχε τὸν θρόνον.
Ἔφυ βασιλεῖ θυγατριδοῦς τις νέος
ἐξ Ἀριάδνης καὶ Ζήνωνος συζύγου,
ὃν καλέσας Λέοντα ταινίᾳ στέφει
ἐν ἡλικίᾳ τυγχάνοντα νηπίων.
Οὗτος νοσήσας εὐσεβὴς ἄναξ Λέων
τὸν φθαρτὸν ἐκλέλοιπε τοῦτον βίον,
τῷ θυγατριδῷ καταλείψας τὸ κράτος,
βεβασιλευκὼς σὺν ὀκτὼ δέκα χρόνους,
ἄναξ ἱλαρός, εὐμενὴς ὑπηκόοις,
γαληνὸς εὐέντευκτος ἡδὺς χαρίεις.

Λέων νέος ἔτος α'.

Νέος δ' ἐπιβὰς τῆς βασιλείας Λέων
κατῆρχεν αὐτῆς νηπιάζων τῷ χρόνῳ·
ἔτος δὲ ταύτην ἓν κατασχὼν καὶ μόνον
ἀπῆρεν ἔνθεν, καταλείψας τὸν βίον.

Africam exercitu, cum esset loci dominus Gizerichus, (940) aerumnosam in proelio accepit cladem, copiarumque amisit partem maximam.

Iam ubi vita Anatolium destituit, Cpoleos praesul deligitur rectorum dogmatum vindex Gennadius; (945) post quem defunctum in sedis honore pessimus locum occupat Acacius.

Imperatori interim nepos nascitur ex Ariadnae et Zenonis coniugio, cui nomen Leoni fecit, coronaque (950) aetate puerili caput cinxit.

Hic pius morbo imperator Leo correptus vitam mortalem deseruit, herede potentatus nepote dicto. annis ipse octodecim imperium rexerat, (955) princeps humanus, subditis benivolus, affabilis placidus suavis et amabilis.

Leo iunior an. 1.

Iunior imperium consecutus Leo infantili plane aetate sceptrum tenuit. sed mox vix uno revoluto anno (960) excessit terris lumine cassus vitae.

Ζήνων ὁμοῦ ἔτη ιζ.

Ζήνων δ' ὑπῆρχεν ἐξ Ἰσαύρων, ὡς ἔφην,
αἴσχιστος ἀνὴρ καὶ δέμας καὶ καρδίαν,
κίναιδος, αἰσχρός, συμφόρημα κακίας,
ἔργων πονηρῶν ἀθεμίτων ἐργάτης,
ἀνδρῶν Ἐριννὺς τῶν περιφανεστέρων,
οὐχ ὡς βασιλεὺς διέπων αὐταρχίαν,
ἀλλ' ὡς τύραννος ἐμπιπρῶν καταστρέφων
καὶ πάντα ποιῶν εἰς φθορὰν ὑπηκόων,
σέβας κακόφρων, οἱοφυσίτης τάλας.
τούτῳ γε δειλῷ παντάπαν πεφυκότι
Βασιλίσκος, σύναιμος ὢν τῆς Βηρίνης,
ἀντῆρε χεῖρα Βηρίνης συνεργίᾳ,
καὶ τόνδ' ἐφυγάδευσεν εἰς τὴν πατρίδα·
εἶτα περιτίθησιν αὐτῷ τὸ στέφος
καὶ πάντα παράσημα τῆς κραταρχίας,
τῆς συγχυτικῆς κακοδοξίας πέλων,
τῆς Εὐτυχοῦς τε καὶ Διοσκόρου λύμης.
ἐκκλησίας οὗτός γε τὰς ὀρθοφρόνων
πικρῶς ἐκάκου παντοδαπαῖς αἰκίαις.
καὶ σύνοδον δὲ τὴν κατὰ Χαλκηδόνα
σεπτὴν ἀκυροῖ γράμμασιν, ὡς οὐκ ἔδει.
καὶ πατριάρχην καὶ συνέδρους ποιμένας
ταῦτα κυροῦν ἔπειθε καὶ τοῖσδ' ἐμμένειν.
ἀλλ' ὀρθοδόξων συναθροισθέντες στῖφος
Βασιλίσκον βάλλουσι ταῖς δυσφημίαις,

Zeno simul an. 17.

Zeno erat Isaurus, ut dixi, genere, foedissimus mortalis et mente et corpore, cinaedus, turpis, malitiae cinnus et nefandorum operum patrator, (965) furialis hominum pestis optimatium, haud regio more rem publicam regens, sed tyrannice cuncta inflammans subruens, resque subditorum pro viribus pessumdans, dogmate pravus, monophysites miser. (970) hunc cum videret usquequaque timidum, Verinae Basiliscus germanus frater, armis aggreditur, Verina ferente opem. atque illum ad patriam suam pulsum trudit; deinde sibi diadema cum reliquis (975) insignibus imperii circumponit. sed enim hic confusae naturae haeresim, Eutychetis et Dioscori fermentum, sequens orthodoxorum ecclesias acerbis modis omnique poenarum genere excruciabat. (980) Chalcedonis venerandam quoque synodum antiquavit edicto contra fas proposito; et patriarcham cum synedris pastoribus ad confirmandum impulit dogma suum. sed enim orthodoxi coacto coetu (985) Basiliscum maledictis per-

τὴν σύνοδον δ' αὖ ἀνεκήρυξαν πάλιν
θεοκρότητον ἁγίαν σεβασμίαν.
διά γε ταῦτα Βασιλίσκος ἀξίως
πᾶσιν ἀποτρόπαιος ἦν στυγητέος.
ὅμως κατὰ Ζήνωνος ἐκπέμπει τάχος
ἄνδρας στρατηγοὺς καὶ σὺν αὐτοῖς δυνάμεις,
οἳ προσρυέντες τῷ Ζήνωνι γνησίως
σπεισάμενοί τε πρὸς πόλιν βασιλίδα
αὖθις μετὰ Ζήνωνος ἧκον ἐν τάχει.
καὶ πάλιν ἀπείληφεν οὗτος τὸ κράτος,
δήμου τε λαοῦ τόνδε προσδεδεγμένου.
Βασιλίσκος δὲ προσφυγὼν ἐκκλησίᾳ
μετὰ γυναικὸς ἱκέτης καὶ φιλτάτων,
ἔπειτ' ἐκεῖθεν ἐξελασθεὶς ὁρκίοις,
ἔν τινι κλεισθεὶς πυργίῳ σὺν τεκνίοις,
ἐκεῖ λιμῷ τέθνηκε φθαρεὶς ἀθλίως,
ἔτη κατασχὼν τὴν βασιλείαν δύο.
Τούτου κρατοῦντος τῇ βασιλίδι πόλει
πυρκαϊά τις συνέβη φρικαλέα,
ἐκ Χαλκοπρατείων γε πυρὸς ἡμμένου,
ὑφ' ἧς κατηθάλωτο καὶ διεφθάρη
ἄλλα τε πλεῖστα καὶ δόμος φύλαξ βίβλων
ἐς μυριάδας δώδεκα ποσουμένων·
ἐν αἷς χορίον καὶ δράκοντος, ὡς λόγος,
πρόμηκες ὑπῆν, ἐς πόδας τεταμένον
πρὸς τοῖς ἑκατὸν εἴκοσι, θαῦμα ξένον,
καθ' οὗ χρυσοῖς γράμμασιν ἐγγεγραμμέναι

culerunt, decreveruntque sanctam fuisse synodum, divinitus congregatam et venerabilem. ob haec evasit Basiliscus merito cunctis abominandus et detestabilis. (990) contra Zenonem tamen is celeriter duces cum copiis misit militaribus; quae ad Zenonem sponte deficientes, iunctoque cum illo foedere, ad urbem regiam citato gradu cum Zenone redeunt. (995) ergo hic imperium recepit denuo, favente populi cuncta multitudine. at Basiliscus supplex ad ecclesiam confugit cum uxore aliisque affectibus. illinc deinde data iuranda fide (1000) excitus, claususque turre cum parvis liberis, ibidem fame misere contabuit, postquam biennio regnum retinuerat.

Adhuc illo regnante, in urbe regia calamitas incendii horrenda contigit: (1005) namque excitatis in foro aerario flammis propagatus ignis cum alia absumpsit, tum inflammavit etiam bibliothecam divitem tomorum centum viginti milibus. in his draconis quoque fuisse dicitur (1010) corium praelongum, centum viginti patens pedes, mirum, insolitum, in quo scriptae formis literarum auro rutilantibus

ἦσαν Ὁμήρου τοῦ σοφοῦ ῥαψῳδίαι,
Ἰλιὰς Ὀδύσσεια. φεῦ τῆς ζημίας.
Ἀναλαβὼν δὲ Ζήνων τὴν κραταρχίαν
Ἁρμάτιον μὲν τῷδε συνηργηκότα
προβάλλεται δὴ ταγμάτων στρατηγέτην,
υἱὸν δ' ἐκείνου Καίσαρα πάλιν στέφει.
εἶτα τὸν Ἁρμάτιον ἔκτεινε ξίφει,
παῖδα δὲ τὸν Καίσαρα κληρικὸν δράσας
περιπολεῖν εἴασεν οὕτω τὸν βίον,
«ὡς πίστιν ὀρθὴν οὐκ ἐφύλαξαν» φράσας
«οὗτοι κραταρχήσαντι τῷ Βασιλίσκῳ,
οὔτ' αὖ ἐμοὶ ταύτην γε φυλάξουσ' ἴσως.»
πρὸς τοῖσδε πολλοὺς παρέπεμψε θανάτῳ,
ἄλλους δ' ἐκάκου κατέτρυχεν αἰκίαις
τῶν εὐκλεῶν τε καὶ περιφανεστέρων·
εἰς γὰρ ἀθέσμους ἐκκλίνας αἰσχρουργίας,
πράξεις μιαιφόνους τε καὶ βδελυκτέας,
πρὸς δ' αὖ ὑπαχθεὶς αἱρέσει Διοσκόρου
μισητὸς ἦν ἅπασι καὶ τοῖς ἐν τέλει,
Ἀριάδνῃ δὲ τῇ συνεύνῳ καὶ πλέον·
ὅθεν σορῷ τέθαπτο δόξας τεθνάναι,
κἀκεῖ βιαίως τὸν βίον καταστρέφει.
οἱ μέν φασι μέθαις τε χρώμενον πότοις
ἔκστασιν αὐτὸν τῶν φρενῶν πεπονθέναι,
δόξαντα δ' οἰκτρῶς ἐκλελοιπέναι βίον
κατατεθῆναι λάρνακι καθὰ νέκυν,
καὶ πωματισθέντος γε τοῦ τάφου λίθῳ,

Homeri sapientis fuerant rhapsodiae, Ilias et Odyssea. pro pernicies!

(1015) Recepto igitur Zeno imperio Harmatium, qui sibi suppetias tulerat, militaribus copiis ducem praeficit, praetereaque filium eius creat Caesarem. deinde Harmatium gladio percussum necat, (1020) filiumque eius Caesarem clero adscribit, sicque illi vitae veniam retinendae facit. "nam quoniam isti" aiebat "fregerunt fidem quam Basilisco principi spoponderant, ut ipsi mihi servent eandem vereor." (1025) praeter hos alios multos leto dedit de numero nobilium atque optimatium, vel impositis plagis excruciavit. ergo scelestis indulgens facinoribus caedibusque grassans flagitiosis, (1030) imbutus insuper haeresi Dioscori, populo invisus erat et optimatibus, coniugi vero Ariadnae quam qui maxime. quamobrem simulato mortis casu, arca conclusus, ibidem mori cogitur. (1035) ast alii narrant hunc indulgere crapulae et potui solitum, mentis perpessum ecstasim, atque ita creditum vitam finisse misere, capsae fuisse traditum ceu cadaver; tum vero saxi admoto ad sepulcrum obice,

γοώμενον κάκιστα θανεῖν ἐν τάφῳ·
ἄλλοι δὲ παθεῖν τοῦτο δεινῆς ἐκ νόσου,
δόντα θανεῖν δόκησιν ἀθροῦσιν ὅλοις.

Ἀναστάσιος ἔτη κζ'.

Τούτου καταστρέψαντος οὕτω τὸν βίον
βουλῇ γερουσίας τε καὶ τῶν ἐν τέλει
συζεύγνυται δὴ βασιλὶς Ἀριάδνη
Ἀναστασίῳ πρὸς γάμου κοινωνίαν,
ἕλκοντι σειρὰν ἐξ Ἐπιδάμνου γένους·
ὃν κράτορα δέδειχε τῆς Ῥωμαΐδος,
Οὐρβικίου σπεύσαντος εὐνούχου τόδε.
Εὐφήμιος δ' ἔστεψε τόνδ' ἀρχιθύτης.
οὕτως Ἀναστάσιος ἔσχε τὸ κράτος,
ὅστις ἐπωνόμαστο δίκορος θέσιν,
οἷς οὐχ ὁμοίας ἔσχεν ὀμμάτων κόρας,
ἀλλὰ μελαντέραν μὲν αὐτῶν θατέραν,
γλαυκὴν δὲ λαιάν, ὡς ἐπίσημον φέρων.
οὗτος βδελυρὰν εἰσφορὰν χρυσαργύρου,
ὑπήκοον τρύχουσαν ἅπαν ἐσχάτως,
δασμὸν πονηρὸν εὐσεβῶς παύσας ἔχει,
καθ' ὃν τις ἠνάγκαστο πᾶς συνεισφέρειν
ὑπέρ θ' ἑαυτοῦ καὶ προσόντων ἀλόγων
ἐτήσιον νόμισμα τῷ κοινῷ φόρον.
καὶ δημοσίας οὔσας ἀρχὰς ὠνίους,
πρὸς δ' αὖ διοικήσεις τε κοινῶν πραγμάτων
παύσας παρεῖχεν ἀδοτὶ τοῖς ἀξίοις.

(1040) tristissime eiulantem mors oppressit. alii denique narrant id illi ex gravi morbo accidisse, visumque exstinctum omnibus.

Anastasius an. 27.

Zenone hunc vitae exitum sortito, senatus et optimatium de sententia (1045) regina Ariadna ad societatem vitae lege iugali traditur Anastasio, cui fontem generis urbs Epidaurus praebuit. tum is Romanus legitur imperator eunuchi validis artibus Urbicii, (1050) atque ab Euphemio coronatur praesule. sic est imperium nactus Anastasius, cui cognomentum Dicorus adhaesit quoniam pupillis fuit dissimilibus, dextrum videlicet nigricantem oculum, (1055) glaucum sinistrum insigniter gerens. hic tributum auri argentique, invisum, cunctis subditis molestissimum, malum vectigal pie perimens sustulit; quo manente unumquemque opus erat (1060) pro se brutisque etiam animalibus annuum numisma publico aerario pendere. idem venales antea dignitates et publicarum rerum procurationes, sublato abusu, gratis tradebat dignis. (1065) ceteras

καὶ τἆλλα δ' ἀρχῆς εὐτυχῶς ἦν διέπων·
πλὴν συγχυτικῶν καθυπαχθεὶς αἱρέσει
τὰς ὀρθοδόξων ἦν κακῶν ἐκκλησίας.
Τούτου κρατοῦντος θαυμάσιον συνέβη.
φύλαρχος ἀνὴρ Ἀγαρηνῶν τῶν τότε,
κλῆσιν Ἀλαμούνδαρος, ἀγαθὸς τρόπους,
Χριστῷ προσελθὼν καὶ μυηθεὶς εἰκότως
πρὸς ὀρθοδόξων ἀρχιθυτῶν ποιμένων,
ἔπειτα βαπτίσματος αὐχεῖ τὴν χάριν.
ταῦτα μαθὼν Σεβῆρος αὐτοῦ ποιμένας
ἀνιέρους πέπομφε πρὸς τοῦτον τάχος,
σπεύδων δι' αὐτῶν εἰς ἑαυτὸν ἑλκύσαι.
ἐπεὶ δ' ἐρασθεὶς πίστεως Χριστοῦ πέτρα
ἄσειστος ἦν, μέτεισιν αὐτοὺς ὧδέ πως.
ποιεῖ τινά οἱ τῶν ὑπ' αὐτὸν ἐκκρίτων
πρὸς οὖς ψιθυρίζειν τι προσκεκυφότα,
καὶ τῶν βδελυρῶν ποιμένων δεδορκότων.
εἶτα φύλαρχος ἀλύειν ὑπεκρίθη.
ἤροντο δ' οἱ μὲν αἰτίαν· ἦ δ' ὃς τάδε,
ὡς μηνυθῆναι Μιχαὴλ πρωτοστάτην
καὶ ταγματάρχην ἀγγέλων νῦν τεθνάναι.
τῶν δ' οὐκ ἀνεκτὸν τὸν λόγον ποιουμένων,
ὁ δ' ἐκκαλύψας τὸ δρᾶμα τοῖσδ' ἀντέφη
"καὶ πῶς παρ' ὑμῖν συμπαθεῖν θείαν φύσιν
ἀνθρωπίνῃ πέφυκε νῦν δεδογμένον;"
ἐκ τοῦδ' ἀπηλλάττοντο κατῃσχυμμένοι.

1075 scilicet Severus Antiochiae patriarcha, haereticus synchyticus et theopaschites. M.

quoque regnandi partes recte explebat. Synchyticorum tamen occupatus haeresi ecclesiis orthodoxis molestus erat.

Hoc regnante Anastasio mira res evenit. quidam Agarenicae tribus princeps, (1070) cui nomen Alamundarus, homo frugi, Christo se adiungens riteque edoctus fidei dogmata ab orthodoxis archipraesulibus, baptismatis postremo gratiam impetrat. re cognita Severus profanos suos (1075) pastores ad hunc mittit sine mora, quorum ope neophytum ad se pelliciat. is autem fidei tenax, et Christi lapis immotus, legatos illos sic coarguit. curavit enim ut familiaris homo (1080) ad aurem sibi aliquid arcanum diceret: tum impuris pastoribus inspectantibus maerore se correptum finxit princeps. illi causam rogant; quos contra talia refert, nuntiatum sibi Michaelem summatem (1085) angelorumque ducem nuper mortuum. illis sermonem talem respuentibus, fabula retecta, sic contra fatur regulus "cur ergo vos humana cum natura divinam pati, nuper tulistis dogma?" (1090) tunc illi victi pudore discedebant.

Προγνοὺς βασιλεὺς οὗτος, οὐκ οἶδα πόθεν,
ὡς ἐκ κεραυνῶν ἀστραπῶν εἱμαρτό οἱ
βίου γενέσθαι καὶ βασιλείας πέρας,
θάλαμον δ' ἀνήγειρε, κάλλιστον δόμον,
θολωτὸν αὐτὸν καλέσας φερωνύμως,
ἐν ᾧ διάγων ἀστραπῶν ῥηγνυμένων
ἐξαπίνης εὕρατο τέρμα τοῦ βίου.
Οὗτος Μυσῶν τε καὶ Σκυθῶν παριστρίων
ἐπιδρομὰς λείας τε μάχας ἐκκλίνων
ἔκτισε τεῖχος εὖ μακρὸν κεκλημένον.
ἄνδρα τε φρικτὸν εἶδε νυκτὸς καθ' ὕπνους,
τόμον χεροῖν φέροντα καὶ φάσκοντά οἱ
«ὅρα, διὰ σὴν φευκτέαν δυσπιστίαν
ζωῆς δὶς ἑπτὰ σῆς ἀπαλείφω χρόνους.»
χαλκοῦ τ' ἀνιστᾷ κίονι στήλην Ταύρου,
τῆς πρὶν πεσούσης τῷ χρόνῳ τῷ παμφάγῳ.

Ἰουστῖνος ὁ Θρᾷξ ἔτη θ'.

Οὕτω λιπόντος Ἀναστασίου βίον
Ἰουστῖνος Θρᾴξ, ἐξ ἀσήμου τοῦ γένους,
εἰς ὕψος ἀνήνεκτο τῆς κραταρχίας,
αὐτὴν ἔχων ἄνωθεν ἀφωρισμένην.
μαρτύριον δέ· κινδυνεύων τεθνάναι
πρὸς Δικόρου πρὶν ῥύεται πρὸς ἀγγέλου,
ἀνὴρ προσηνὴς εὐσεβόφρων ἀγχίνους,

1094 δ' abundat 1105 nempe suam statuam posuit Anastasius loco statuae deciduae Theodosii. M.

Certior Anastasius nescio quo auctore factus fulminum iactu sibi in fatis esse ut vitae et regno terminum imponeret, cameram struxit arte venustam mira, (1095) cui fastigiatae nomen apte fecit; in qua diversans fulmine erumpente subitum vitae finem nactus est.

Is ut Moesorum Gothorumque Istri incolarum incursus direptiones ac proelia vitaret, (1100) murum fundavit merito dictum longum. idem viri terrificam speciem vidit per somnium, praelato libro dicentem sibi "en ego propter tuam perversam fidem bis septem vitae tuae annos deleo." (1105) is aeneam statuam columnae Tauri imposuit, unde prior exciderat edaci impulsa tempore.

Iustinus Thrax an. 9.

Sic amittente vitam Anastasio, ortus obscuro Thrax Iustinus genere ad imperii fastigium sublatus est, (1110) quod ipsi caelitus praedestinatum fuerat. eius rei indicium fuit, quod a Dicoro iam occidendus ab angelo est ereptus. vir fuit mitis, sani dogmatis, perspicax, qui rectae

τοὺς πρὶν φυγάδας πίστεως ὀρθῆς χάριν
αὐτὸς κατάγων καὶ τιμῶν ὥσπερ δέον.
στοιχῶν τετάρτης συνόδου θείοις ὅροις
δόγματι πάντας τήνδε θεσπίζει σέβειν
καὶ ταῖς πρὸ αὐτῆς ἐγκρίνειν θεοκρίτοις,
καὶ τοὺς ἐν αὐτῇ πατέρας θεηγόρους
καταγραφῆναι διπτύχοις ἐκκλησίας.

Ἰουστινιανὸς ὁ μέγας ἔτη λη'.

Καὶ τοῦδε βίον καὶ κράτος λελοιπότος
σκηπτουχίαν εἴληφε τὴν τῶν Αὐσόνων
Ἰουστινιανὸς μεγαλουργὸς κράτωρ,
πολλῶν δομήτωρ καὶ καλῶν δομημάτων,
ναῶν γεφυρῶν ἀστέων, λαμπρῶν δόμων,
ἄλλων τε πλείστων κτισμάτων καινουργέτης,
ὧνπερ κορωνὶς ἀπαράμιλλος πέλει
ναὸς σοφίας τοῦ θεοῦ τε καὶ λόγου,
τῶν πανταχοῦ γῆς θαυμάτων θαῦμα ξένον.
οὗτος στρατηγοῖς ἦν κατορθῶν τὰς νίκας
Βελισαρίῳ καὶ Ναρσῇ τοῖς γεννάδαις.
σωροὺς ἀπείρων χρημάτων χρυσαργύρου
ἐκ παντοδαπῶν ἠρανισμένος τρόπων,
ταῦτ' ἦν ἀφειδῶς ἐκκενῶν ὁσημέραι
εἰς βαρβάρων ἄμυναν, εἰς κτίσεις δόμων.
ἐφ' οὗ κλόνος γῆς συνέβη φρικαλέος,
ἐμφύλιός τε πρὸς Βυζαντίδι μάχη,
καθ' ἣν μυριάριθμον ἐκτάνθη στῖφος,

fidei causa extorres homines (1115) reduxit atque debito in honore habuit; haerensque quartae synodi divinis placitis, edicto cunctis mandavit hanc colere, et cum priorum voluit reputari numero, patresque eius auctores deo afflatos (1120) ecclesiae diptychis inscribi nominatim.

Iustinianus magnus an. 38.

Postquam Iustinus vita regnoque cessit, Romanorum sceptrum manu corripuit magnificus imperator Iustinianus, pulchrorum passim auctor aedificiorum, (1125) templorum pontium urbium palatiorum aliorumque magno numero aedificiorum; quorum incomparabile coronis est templum sapientiae dei verboque structum, miraculorum in orbe omnium maximum. (1130) victorias hic per duces patrabat suos, Narsetem atque Belisarium, viros strenuos: acervos enim auri argentique, quos innumeris modis congerebat, dein large quotidie profundebat (1135) struendis aedificiis, propulsandis barbaris. sub eo motus contigit terrae horrificus, atque in urbe Byzantio civile bellum, in quo plurima ferro

μυριάδες τέτταρες ἀνῃρημένων.
ἥλω πολύ τε πλῆθος ἀρρενοφθόρων,
ὧνπερ κολαστὴς ἀσυμπαθὴς εὑρέθη.
Οὗτος βραβευτὴς συνόδου πέμπτης ἔφυ,
ἥτις τετάρτης ἐμμένουσα τοῖς ὅροις
Ὠριγένην Δίδυμον, σὺν Θεοδώρῳ
Μοψουεστίας αἱρετικῷ ποιμένι,
ἐκκηρύκτους τίθησι καὶ βδελυκτέους.
Ἦν τῷδε καὶ σύνευνος ἡ Θεωδώρα,
μερὶς ἀγαθὴ καὶ θεοῦ θεία δόσις,
βοηθὸς ἀνθάμιλλος εἰς τὰ πρακτέα·
ἧς ἔργον οἶκος τῶν σοφῶν ἀποστόλων.
Οὗτος πρὸς αὐτῷ τῷ τέλει τῷ τοῦ βίου
ἁλίσκεται φεῦ αἱρέσει βδελυκτέᾳ,
μεθ' ἧς φάος λέλοιπεν ἡλίου τόδε.

Ἰουστῖνος ὁ νέος ἔτη ιγ'.

Μεθ' ὃν προσηνὴς εὐσεβὴς Ἰουστῖνος
κοσμεῖ τὸ βασίλειον ἐκ θεοῦ στέφος,
ἀνὴρ περιδέξιος, ἀγαθὸς κράτωρ,
εὐεργετικός, εὐμενής, ταπεινόφρων,
χρηστός, μεγαλόψυχος, ἠπία φύσις.
οὗτος ταμεῖον ἀγαθῶν πεπλησμένον,
ἐν βασιλικαῖς ἀρεταῖς διαπρέπων,
δικαιοσύνῃ μᾶλλον ἠγλαϊσμένος·

1147 ἦν] ἐν V

caesa fuit turba, milia scilicet quadraginta. (1140) plurimis quoque deprehensis Sodomitis, horum imperator fuit inclemens vindex.

Idem curavit fieri quintam synodum, quae firmiter insistens quartae regulis Origenem atque Didymum cum Theodoro (1145) haeretico pastore Mopsuestiae damnatos sacro subdidit anathemati.

Tunc etiam coniux Caesaris Theodora, praeclarum dei donum et pars optima, gerendis rebus aemula auxiliatrix erat. (1150) ipsa sapientium struxit aedem apostolorum.

Iam vitae termino proximus Iustinianus in exsecrandam haeresim heu incidit, qua innexus solis huius lucem deseruit.

Iustinus iunior an. 13.

Post hunc Iustinus comis atque pius (1155) ornavit a deo datum regium stemma, et vir pragmaticus et bonus imperator, beneficus, benivolus, modesto spiritu, probus, magnanimus, miti ingenio. hic velut arca re bona redundans, (1160) virtutibusque rege dignis praeditus, iustitia tamen magis praefulgebat. ipsi sociata fuit foedere coniugii

ὥπερ συνῆπτο πρὸς γάμου κοινωνίαν
γυνὴ θεόφρων καὶ θεὸν φοβουμένη,
κλῆσιν Σοφία, καὶ σοφή τις τοὺς τρόπους,
ἧς ἔργον οἶκτος ἀπόρων καὶ χρηστότης.
αὕτη δανεισταῖς καταβαλοῦσα χρέα
ἅπασιν οἷς οἴκησις ἦν αὕτη πόλις,
χρεῶν λύτις δ' ὄφλουσι καθισταμένη,
ἐγγραφὰς ἀπείληφε, μνήμονας δόσεις,
ὧν θάτερον μὲν τοῖς κεκτημένοις νέμει,
τὸ δ' αὖ πυρὶ δέδωκεν εἰς ἀμνηστίαν.
Οὗτος νοσώδους σαρκίου πλάσιν ἔχων
καὶ προϊὼν οὐ συχνάκις ἐκ τῆς νόσου
ἁρπακτικοῖς ηὔξησεν ἀναισχυντίαν.
ῥομφαίᾳ λύπης τοιγαροῦν τετρωμένος
μετὰ Δαβὶδ ἔφασκεν ἀπορῶν τάδε
"τίς ἂν τιμωρὸς συμπαραστήσαιτό μοι;
ἢ νῦν ἀναστήσαιτο κατ' ἀντιδίκων;"
καί τις παρελθών, ὡς Ἡσαΐας πάλαι,
ἀνδρεῖος ἀνὴρ καὶ μισῶν ἀδικίαν,
"ἄναξ, ἰδοὺ πάρειμι, κέχρησό μοι."
ἐπαρχικὴν εἴληφεν οὐκοῦν ἀξίαν,
πρὸς δ' αὖ σθένος κράτιστον ἐκ βασιλέως
καθ' ἁρπακτόρων καὶ λύκων βροτοκτόνων.
οὕτω κατωχύρωτο τἀνδρὶ τὸ σθένος.
ἐπεὶ δὲ προυκάθητο κρίνων ὡς δέον,
προσῆλθεν αὐτῷ δυσγενής τις καὶ πένης

1173 οὐ om V 1178 ἢ *συναναστήσαιτο*?

femina a deo docta deique reverens, Sophia dicta, moribus vere sopha. (1165) haec miseris spem ferendo aetatem trivit. nam exstinguendis fenerantium sortibus, quotquot in urbe regia versari novit, alieno aere pressos expedivit, syngraphas atque pignora ad se recepit; (1170) quorum alterum dominis restitui iussit, alterum igni tradens rem malam abstulit.

Iustinus infirmam corporis ob compagem, raroque ob morbum prodiens in publicum, hominibus iniustis auxit impudentiam; (1175) quare maeroris iaculo confixus consiliique inops cum Davide aiebat "quis, oro, vindex latus teget meum? quis adversariis mecum adversabitur?" tum quidam adstans, ceu quondam Esaias, (1180) vir animosus, iniquitatis osor, "rex" inquit, "adsum; opera mea utere." ergo is obtinuit munus praefecturae. hunc rex hortando fecit animosiorem contra rapaces homicidasque lupos. (1185) sic iste ad rem gerendam munitus fuit. ergo dum iuridico pro tribunali sedet, quidam accessit ignobilis atque pauper

κατ᾽ ἀνδρὸς ἱστὰς εὐγενοῦς περιβλέπτου
ἀδικίας ἔγκλημα καὶ φαυλουργίας.
μετακαλεῖται τὸν ῥέκτην τῆς κακίας·
ὁ δ᾽ οὐκ ἀπαντᾷ. καὶ πάλιν δὶς μηνύει,
καὶ πάλιν αὐτὸς οὐδ᾽ ἄκροις ὠσὶ κλύων.
ἤκουστο ταῦτα τῷ δότῃ τῆς ἀξίας·
ἦ δ᾽ ὃς παρευθὺς ἀξιέπαινον λόγον,
"κἂν αὐτὸς" εἰπὼν "ἀδικῶν ἐγὼ πέλω,
κατάσπασόν με τοῦ βασιλείου θρόνου."
κἀντεῦθεν ἀνάρπαστον ἐκ συσσιτίου
τὸν ἄνδρα λαβὼν ἑστιώμενον τότε,
καὶ συνδικάσας τῷ πένητι πρὸς δίκην,
καὶ καταλαβὼν ἁρπαγῇ κεχρημένον,
αἰκίζεται μάστιξιν αὐτὸν ἀξίαις
τῆς εἰς δικαστήριον ἀναισχυντίας,
εἰσπράττεται δὲ καὶ δίκην ἀδικίας,
εἴσπραξιν ὧν ἥρπασε πολλαπλασίω,
καὶ ταῦτα τῷ πένητι δίδωσι φέρων.

Τιβέριος ἔτη δ΄.

Τούτου τὸ βιοῦν καὶ κράτος λελοιπότος
ἄρχει μετ᾽ αὐτὸν Τιβέριος τοῦ κράτους,
φιλευσεβής τις καὶ θεοῦ τρέμων νόμους,
μηδὲν νεοχμῶν τῶν ἐθῶν ἐκκλησίας,
ἀλλ᾽ ἐξομαρτῶν τοῖς νόμοις τοῖς κειμένοις,

1199 *συμβιβάσας?*

de viro nobili splendidoque expostulans propter iniuriae crimen et maleficium. (1190) ergo is peccati auctorem in ius vocat, qui vadimonium deserit. vocat iterum: ille superbis rem praeterit auribus. id ubi datori potestatis regi innotuit, dictum laude dignum protulit: (1195) "si quidem ipse praeter ius quid fecero, hortor de regio detrahas me throno." igitur praetor rapiens ex convivio hominem illum forte tunc prandentem, pauperis causam, ut par est, cognovit: (1200) cumque rapinae crimen emersisset, plagis merito impositis castigat reum propter contempti iudicii impudentiam. mulctam praeterea rapta pro re persolvere longe graviorem cogitur ille invitus; (1205) eamque pauperi praetor habendam tribuit.

Tiberius an. 4.

Ubi Iustinus sceptrum cum vita amisit, exstitit imperii successor Tiberius religionis amans homo legumque reverens, nihil in ecclesiae institutis innovans, (1210) sed in praescriptis conquiescens regulis,

σοφῶς φυλάξας τῇ θετῇ μητρὶ σέβας,
ὡς ἦν θεμιτόν, Σοφίᾳ βασιλίδι,
μείλιχος εὐέντευκτος ἡδὺς τοῖς φίλοις,
ἐχθροῖς δὲ δεινὸς καὶ τιθεὶς σφίσι δέος
καλοῖς στρατηγοῖς καὶ στρατῶν εὐανδρίᾳ,
οἷς συγκαθεῖλε δυσμενῶν πολλὰς πόλεις,
λείαν μακράν τ' ἤλασε, λάφυρα, σκῦλα,
εἰς πάντα φιλότιμον αὐχῶν τὴν χέρα,
εἰς ἐνδεῶν οἶκτόν τε καὶ πτωχῶν δόσιν
κτίσεις τε ναῶν καὶ δόμων γηροτρόφων·
ὃς αἰχμαλώτους βαρβάρους Πέρσας, πάλαι
εἰς τήνδ' ἀχθέντας τὴν βασιλίδα πόλιν,
μετημφιακὼς ἐν στολαῖς σφᾶς ἐντίμως
εἰς ἰδίαν πέπομφεν ἥκειν πατρίδα.
ἐφ' οὗ πεπομφὼς Ἀβάρων ἀρχηγέτης
ᾔτησεν ἄνδρας τεχνίτας χειρώνακτας
αὐτῷ σταλῆναι πρὸς βαλανείου κτίσιν·
ὁ δ' αὖ λαβών, γέφυραν ἐν ῥοαῖς Ἴστρου
τεύξας, ἐκάκου Ῥωμαΐδος τοὺς ὅρους.

Μαυρίκιος ἔτη κ'.

Τούτου τελευτήσαντος εὐσεβῶς βίον
Μαυρίκιος κράτιστος ἔσχε τὸ κράτος,
ἀνὴρ μεγαλόψυχος, ἀνδρεία φύσις,
ἄλλος τις Ἰὼβ ἀναφανεὶς γεννάδας,
καὶ μακαριστὸς τοῦ τέλους χρηματίσας.

matri adoptivae legitimum obsequium praebens prudenter, Sophiae reginae, vir blandus, comis, iucundus amicis, hostibus formidandus quos terrebat (1215) egregiis forti cum milite ducibus, quorum virtute multas urbes hostium diruit et opimas manubias rettulit. idem munificam cunctis porrexit manum, clemens erga miseros, largus indigis, (1220) struendis templis et gerotrophiis deditus. barbaros etiam Persas, captivos quondam ad hanc traductos urbem regni sedem, singulos exornatos decoris vestibus ad suas remisit patrias postliminio. (1225) rege sub hoc legatos Abarorum princeps misit qui peterent dari sibi opifices artis peritos ad structuram balnei; quos ubi accepit, ponte iunxit Istrum, atque hinc Romanos fines vastare coepit.

Mauricius an. 20.

(1230) Postquam Tiberius pie vitam clausit, regnum obtinuit Mauricius praestantissimus vir magni spiritus, indole forti praeditus, alter quodammodo visus patientia Iobus, vitae suae termino laudatissimus.

τἆλλα μὲν οὗτος πᾶσιν ἦν πεφιλμένος,
ἡδὺς ἱλαρὸς εὐμενὴς αὐτοκράτωρ,
ἦθος βεβηκὸς ἐμβριθὲς προδεικνύων,
εἶδός τι σεμνὸν ἄξιον τυραννίδος,
φρενῶν βάθει, σώματος ἀλκῇ τ' ἐμπρέπον,
θεοῦ συνιεὶς εἰς θελημάτων τέλος.
πλὴν εἶχε καί τι παρακνίζον τῷ ῥόδῳ
ἢ τῷ σίτῳ τι καὶ ζιζάνιον τάχα.
φειδωλὸς ὑπείληπτο πᾶσι καὶ γνίφων
ἥττων τε χρυσοῦ χρημάτων οὗτος κράτωρ.
καὶ δῆλον ἐξ ὧν κατερεῖ τρέχων λόγος.
ἐπῆλθεν ἄρχων Ἀβάρων Θρᾴκῃ τότε
σὺν ἀμυθήτου στρατιᾶς ὁμαιχμίᾳ.
ἤλασε λείαν καὶ λάφυρα λαμβάνει,
καὶ πλῆθος ἐζώγρησεν ἄλλο μυρίον
ἀνδρῶν γυναικῶν καὶ βρεφῶν καὶ νηπίων,
ἐς χιλιάδας ἓξ δὶς ἀριθμουμένων.
καὶ τί με δεῖ γράφοντα μηκύνειν λόγον;
ἱστᾷ τιμὴν σφῶν χιλιάδας ἓξ μόνας
ἡ βαρβαρικὴ φιλόχρυσος καρδία.
αἰτεῖ τὸ δοχθέν, προσφέρει τι καὶ βίας.
ὁ μὲν βασιλεὺς φεῦ προτιμᾷ χρυσίον·
ὁ βάρβαρος δὲ (μὴ ῥαγῇς μοι, καρδία·
ὢ θηριώδους, ὢ μανικῆς καρδίας!)

1243 γνίφων] ita codex. quare hinc aperte cognoscimus huic vocabulo sensum eundem a Niceta etiam Choniata tribui, quem auctorem non recte intelligit Cangius in lexico. M.
1255 τὸ] τί V

(1235) hic universo populo in amore fuit, suavis, hilaris, benivolus imperator, morum constantiam gravitatemque gerens, statura venerabili et rege digna, mentis consilio, corporis vigore cluens, (1240) semperque ad numinis placita cursum dirigens. verumtamen in rosa spina fuit, et tritico zizanium subnatum est: parcus atque avarus hic videbatur omnibus atque auri fame laborans imperator; (1245) quam rem sermo sequens confirmabit. rex Abarorum Thraciam tunc invasit cum coniurato exercitu innumerabili, praedam abduxit, manubias rapuit. in his ingentem turbam cepit vivam (1250) virorum et mulierum ac puellorum, quorum sunt numerata milia duodecim. porro ut historiam rei paucis exsequar, his simul cunctis nummum haud plus sex milia barbarica avaritia pretium statuit. (1255) petit responsum, minas intentat quoque. at rex hominibus, pro nefas! aurum praefert. tum barbarus (ah mihi ne cor dispereat! proh beluinum animum ac furiosum!) tam grandem

κτείνει τοσοῦτον μυριάριθμον στῖφος.
αἱματόφυρτος ἕλκεται ῥοῦς αἱμάτων,
ὡς κατὰ πρανοῦς ὕδωρ ψυχρὸν ἐκτρέχον.
ἄναξ συνῆκεν, ἔμμονον φέρων φρένα,
αἰσθητικὴν καρδίαν, ὡς σὴς ὀστέων,
ἥπερ κακοῦ γένοιτο Τελχῖνος φθόνῳ.
θεὸν λιπαρεῖ τοῦ μύσους τὰς εὐθύνας
ὧδ' εἰσπραχθῆναι σχεῖν τε κακῶν τὴν λύσιν.
ἔδοξε γοῦν τι κατ' ὄναρ οὕτω βλέπειν,
πολύ τι πλῆθος γηγενῶν παρεστάναι
ἀνδρῶν γυναικῶν εἰκόνι τοῦ δεσπότου,
καταβοᾶν τε σφᾶς ἄνακτος σὺν γόοις,
αὐτοῦ συνόντος συμπαρεστῶτος τρόμῳ·
φωνῆς τ' ἀκούειν εἰκόνος προϊγμένης,
ποῦ τῶν κακῶν βούλοιτο δοῦναι τὴν δίκην
τὸν τοῦ μύσους αἴτιον ἐκ φειδωλίας;
ἐνταῦθ' ὅπου μέτριον ἔσται τὸ τρύχον,
ἢ ταῖς ἐκεῖθεν παραπεμφθῆναι δίκαις;
τὸν δ' ὧδε φάναι, συνιέντα τοῦ λόγου.
παραδοθῆναι λοιπὸν Φωκᾷ προσκλύει.
ὕπνου δ' ἀνέντος ὕπαρ, οὐκ ὄναρ κρίνει
ὧν εἶδεν ὧν ἤκουσεν εἶναι τὴν θέαν.
μετακαλεῖται Φιλιππικὸν οὖν τάχος
εἱρκτῆς τε δεσμῶν τῶν ἀδίκων ἐκλύσας,
οἷς αὐτὸν ἐξέθλιβεν ἐξ ὑποψίας,
καὶ σπένδεταί γε, καὶ κομίζεται λύσιν
ὧν αὐτὸν εἰργάσατο κακῶν ἀδίκως.

turbam ense districto metit: (1260) atra volvuntur humi fluenta sanguinis, frigidus ut labitur per praeceps aquae humor. id audiit immotam mentem gerens rex, corde tamen vulnerato, ceu depascitur ossa teredo invidi magi fascino. (1265) deum igitur rogat, cito culpae poenam ut ab se repetat, et animum cura solvat. ergo visus est sibi per somnium cernere multam utroque e sexu mortalium turbam adstare coram imagine Christi domini, (1270) regemque adversus clamoribus expostulare, ipso praesente remque cum metu audiente. tunc ab imagine vox emissa sonuit, ubinam is vellet malorum poenam luere qui se avaritiae obstrinxerat piaculo. (1275) num hic, ubi supplicium clementius erit, an illic alias poenas experiri? is hic se malle, verbo intellecto, ait. tum se traditum Phocae fuisse audiit. somno discusso verissimum visum putat, (1280) quae vidit quaeque audiit in eo spectaculo. protinus ergo advocat Philippicum carcere ex iniusto, vinculis detractis, queis suspicione motus eum gravaverat; pacem impertit, veniam vicissim (1285) prae-

καὶ ταῦτα μὲν πέπρακτο τόνδε τὸν τρόπον,
ἡ δὲ στρατιὰ στασιάσασα τότε
Φωκᾶν ἀνηγόρευσαν εἰς βασιλέα·
μεθ᾽ οὗ πόλιν φθάνουσι τὴν βασιλίδα,
καὶ ταινιοῦται παλάμαις ἀρχιθύτου.
σπούδασμα προύργου τῷδε λοιπὸν γίνεται
τὸ Μαυρίκιον παγγενεὶ δοῦναι ξίφει·
ὅθεν κελεύσει (φεῦ φονικῆς καρδίας)
Φωκᾶ τυράννου τοῦδε καὶ φαυλεργάτου
(δεῖ γὰρ ἐπιτρέχοντα λιπεῖν τὰν μέσῳ)
γυνή τε παῖδες ἐκθερίζονται ξίφει,
τοῦ Μαυρικίου συμπαρόντος δρωμένοις
καὶ τὰς σφαγὰς φέροντος ἀνδρειοφρόνως
καὶ τῶνδε χάριν τῷ θεῷ κατειδότος.
καὐτὸς τέλος τέθνηκεν ἀδίκῳ κρίσει.
Οὗτος τεσσαράκοντα Χριστοῦ μαρτύρων
νεὼν τελειοῖ φαιδρύνας ὑπερλίαν,
πρὸς Τιβερίου κτίσεως πρὶν ἠργμένης.

Φωκᾶς ὁ τύραννος ἔτη η'.

Φωκᾶς τυραννεῖ τοῦ βασιλείου κράτους,
ἀνὴρ ἀποφράς, αἱμοχαρὴς καρδία,
τύραννος ὠμὸς καὶ φιλαίματος κύων,
γυναικομανὴς καὶ φίλοινος καὶ πότης,
αὐταρχίας ὄνειδος ἢ μᾶλλον λύμη,

1292 παγγενῇ V

teritarum impetrat iniuriarum. horum gestorum talis fuit exitus. exin exercitus motu seditioso imperatorem acclamavit Phocam, qui fretus armis Byzantium veniens (1290) stemmate ornatur manu archipraesulis. mox pretium operae facturum se putavit, si Mauricii genus omne perimeret. quamobrem de mandato cruenti animi, Phocae tyranni inquam scelestissimi, (1295) (mitto enim quicquid intermedium exstitit) principis uxor liberique gladio caeduntur. aderat spectans Mauricius caedemque heroico tolerabat animo, gratiam immo deo ob eandem agens. (1300) ipse ad extremum nece iniusta periit.

Rex hic quadraginta Christi martyrum templum absolvit ornans mirifice, quod Tiberius struere coeperat.

Phocas tyrannus an. 8.

Phocas tyrannice regnum occupavit, (1305) nefarius homo, sanguinarius animus, saevus tyrannus, cruoris canis appetens, mulierosus, comissator, ebriosus, imperii dedecus vel magis exitium, prosperitatis

τῶν Ῥωμαϊκῶν ἀφανιστὴς πραγμάτων,
ὑπηκόων δήμιος ἀλάστωρ φθόρος,
ὕδατι πυρὶ καὶ θαλάσσῃ καὶ ξίφει
οἴκτιστα τοὺς μὲν ἐκδιδούς, φεῦ τοῦ πάθους·
τῶν δ' αὖ μέλος μέρος τι σώματος τέμνων
περινοστεῖν ὄνειδος εἴα τῷ βίῳ
οὗ ῥαθυμίᾳ συνεχεῖ τ' οἰκουρίᾳ
ἑῷα Πέρσαι κατέδραμον χωρία,
ἐπῆλθον ὅπλοις Καππαδοκίας ὅροις
καὶ Γαλατίας καὶ Παφλαγόνων τόποις,
κοίλης Συρίας, τῆς ὅλης Ἀρμενίας,
λεηλατοῦντες καὶ μέχρι Χαλκηδόνος,
Παλαιστίνην δὲ καὶ τόπους τῆς Φοινίκης
τοῖς ὑφ' ἑαυτοὺς συνέταξαν χωρίοις.
τὸ δ' Ἀβάρων στράτευμα πάλιν ἐν δύσει
χώρας δυτικὰς κατέκειρε καὶ πόλεις.
ἡ στρατιὰ δ' ἔφθαρτο Ῥωμαίων μάχαις,
λοιμός τε λιμὸς κατέτρυχε τὰς πόλεις,
ἀμετρία κρύους τε καὶ κτηνῶν φθίσις,
κακὰ διωλύγια, ποικίλα πάθη.
τὸ κατ' Ἀντιόχειαν δ' Ἑβραίων φῦλον

1314 haec Phocae verissima vituperatio prorsus infirmat fidem laudativae inscriptionis his annis in Romano foro detectae sub columna honori eius regnantis ab assentatore dicata, quae est huiusmodi: † *opt*imo clementis. *felicissim*oque principi, domino N. *Focae*, *imperator*i perpetuo, a d͞o coronato, triumphatori semper augusto, Smaragdus ex praepos͞. sacri palatii ac patricius et exarchus Italiae, devotus eius clementiae, pro innumerabilibus pietatis eius beneficiis et pro quiete procurata Ital. ac conser*vat*a libertate hanc *statuam pietat*is eius, auri splend*ore mican*tem, huic sublimi colu*mnae ad* perennem ipsius gloriam imposuit ac dedicavit die prima mensis August. indict. und p͞c. pietatis eius anno quinto. M.

Romanae eversor, (1310) carnifex populi, daemon, et labes, aqua igne mari gladio perdens alios tristissime, proh miseriam! alios imminutos corporis partibus sinens ignominiam suam circumferre. (1315) dum hic ignave desidet domi, eoas incursarunt provincias Persae: armis pulsarunt fines Cappadocas, Galatarum terras et Paphlagonum; ex Coelesyria cunctaque Armenia (1320) praedas egerunt usque Chalcedonem: tum Palaestinam et fines Phoenicios in provinciam Persicam redegerunt. at in occidente Abarorum exercitus terras atque urbes populabatur. (1325) Romanae vires proeliis sunt accisae, urbes afflixit fames cum pestilentia, vis nimia frigoris et iumentorum lues, malorum cohors immensa et multiformis. tum etiam Antiochiae Iudaicus populus (1330) sedi-

στάσιν κινοῦσι καὶ μάχην χριστωνύμοις,
καὶ δρῶσι πολλοὺς εὐσεβῶν ἔργον ξίφους,
μεθ' ὧν Ἀναστάσιον αὐτῆς ποιμένα,
καὶ νεκρὸν αὐτοῦ τῷ πυρὶ δεδωκότες.
οὕτω κακῶν τις Ἰλιὰς πάντ' ἐκλόνει,
καὶ κυμάτων σύρροια, καθάπαξ φάναι,
λαιλάψ τε δεινὴ καὶ καταιγὶς καὶ ζάλη
καὶ τρικυμία πνευμάτων ἀντιπνόων
ἐφιλονίκουν τῷ βυθῷ καταδῦσαι
αὐταρχίας ὁλκάδα τῆς ἐγκοσμίου,
ναύαρχον οὐκ ἔχουσαν οἰακοστρόφον.
οὕτω κακῶς πάσχοντος Αὐσόνων κράτους
στρατηγὸς Ἡράκλειος Ἀφρικῆς τότε,
στόλῳ πεπλευκὼς εἰς βασιλίδα πόλιν,
ἥττησε Φωκᾶν, συμπλακεὶς τῷδ' εἰς μάχην,
καὶ τόνδε κτείνας παραλαμβάνει κράτος.

Ἡράκλειος ἔτη λα'.

Φωκᾶ φθαρέντος, ὡς ἔφην, αὐτοκράτωρ
Ἡράκλειος πέφηνεν, ἀριστεὺς μέγας,
ἄλλος τις ὄντως Ἡρακλῆς κατὰ σθένος,
οὐ θηρίων γῆν ἐκκαθαίρων ἀλόγων,
οὐδ' Εὐρυσθέως προσταγαῖς εἴκων βίᾳ,
ἀλλ' ἀπελαύνων ἐκδιώκων μακρόθεν
πόρρω τε τιθεὶς γῆς ὅλης Ῥωμαΐδος

1345 τὸ κράτος V

tiosa pugna Christianos appetiit, permultasque piorum vitas gladio messuit; in his pastorem urbis Anastasium, cuius etiam cadaver igni tradidit. sic malorum Ilias quatiebat omnia. (1335) prorsus veluti quidam concursus fluctuum, turbo, procella, maris aestuatio, gravis tempestas flatuum adversariorum, certabant profundo mergere mundani imperii navigium, (1340) navarcho destitutum, qui clavum regeret. cum res Romanae ita laborarent, Africae per id tempus dux Heraclius, armatam classem appellens ad urbem regiam, Phocam conserto proelio debellavit; (1345) quo occiso sibi imperium vindicavit.

Heraclius an. 31.

Phoca sublato, ut dixi, imperator processit Heraclius, ingens heros, alter reapse Hercules propter vires, nec vero terram purgans brutis beluis, (1350) neque Eurysthei mandata coactus faciens, verum expellens longissimeque persequens Romanisque finibus procul submovens,

Χριστοῦ δυνάμει, σταυρικῇ παντευχίᾳ,
ὡς θῆρας ἄλλους ἀγρίους φιλαιμάτους
ἢ παλαμναίους καὶ θρασεῖς κύνας λύκους,
Πέρσας ἀναιδεῖς ἁρπαγαῖς κεχρημένους.
ὃς ὢν στρατηγὸς καρτερόψυχος μάχαις
καὶ ζηλοτυπῶν πατρίων νόμων χάριν
κλέους τε τοῦ πρὶν Αὐσόνων κραταρχίας,
πολλοὺς ἀνατλὰς καὶ μεγάλους κινδύνους,
ὑπερμαχεῖ κάλλιστα Ῥωμαίων ὅρων
εἰς πίστεως σύστασιν εὐσεβοφρόνων,
εἰς ἀντέρεισιν εὐαγῶν Χριστοῦ νόμων
εἴς τε πλατυσμὸν τοῦ κράτους σχοινισμάτων
ἐπάνοδόν τε Ῥωμαϊκῶν πραγμάτων.
λεηλατοῦντος τηνικαῦτα Χοσρόου
Περσῶν κρατάρχου πάντα τῆς ἕω μέρη,
καταδραμόντος καὶ Παλαιστίνης ὅρους,
θεοῦ πόλιν τε τὴν Σιὼν ἡλωκότος,
χριστωνύμων ἔφθαρτο πλῆθος μυρίον,
ἐς μυριάδας ἐννέα ποσούμενον,
τὸ μὲν θερισθὲν τῶνδε πρὸς μάχῃ ξίφει,
τὸ δ' αὖ φονευθὲν Ἑβραίων κακουργίᾳ·
ὠνούμενοι γὰρ αἰχμαλώτους δυστρόπως
μικρᾶς τιμῆς οὗτοί γε πρὸς τῶν βαρβάρων
ὑπῆγον εὐθὺς τῇ τομῇ φεῦ τοῦ ξίφους.
Πέρσαι δὲ Σιὼν ποιμένα, θεῖα ξύλα
ἐς Περσίδ' ἀπήγαγον αὐτῶν πατρίδα.

1371 *μυριάδων ἐννέα ποσουμένων* V

Christi virtute crucisque panoplia, feras alias saevas et sanguinarias (1355) dirosque lupos atque canes rabidos, impudicos nempe Persas ac direptores. hic cum dux esset in proeliis strenuus et patriarum legum amore flagrans, dum veterum imperii gloriam revocat, (1360) multis magnisque implicuit se periculis, fines Romani orbis protexit strenue, orthodoxorum dogmata confirmavit, pro sanctis Christi legibus arma movit, proque dilatandis etiam imperii finibus, (1365) prorsus ut rem Romanam restitueret. tunc autem Persidis regnatore Chosroë eoas ubique terras depraedante, fines quoque invadente Palaestinos, ita ut Theopolim ipsam Sionem ceperit, (1370) Christicolarum periit immensus numerus, milia hominum scilicet nonaginta, partim in ipso proelio gladiis caesa, partim dolo Hebraeorum pessum data. quippe hi captivos fraudulenter emptos (1375) tenui repensa barbaris pecunia, protinus gladiis, pro dolor! conficiebant. barbari Sionis pastorem sacrumque lignum in Persidem abduxerunt, patriam suam. haec imperator audiens

ταῦθ' ὁ κρατῶν γνοὺς πυρπολεῖται καρδίαν,
στράτευμ' ἀποχρῶν μηδαμῶς κεκτημένος
μηδ' αὖ δαπάνην χρημάτων ἀναλόγων
εἰς ἀντιπαλάμησιν ἐχθρῶν βαρβάρων.
ὅμως δὲ καὶ χρήματα καὶ στρατοῦ στῖφος
καὶ τὰ πρὸς ἐξόπλισιν εὖ ἀπαρτίσας,
τὰ μὲν πρὸς οἴκων ἱερῶν χάριν δάνους
τὸν δ' ἐκ θεμάτων συναγείρας ὡς δέον,
κατὰ Χοσρόου σὺν θεῷ νίκης δότῃ
μετὰ στρατιᾶς ἐμβάλλει τῇ Περσίδι.
θεοῦ τὸ λοιπὸν ἐμπνέοντος τὸ σθένος
περιφανῆ τρόπαια, γενναίας νίκας
ἐκεῖ παρὼν δέδρακε κατὰ βαρβάρων·
ἔκτεινε καὶ γὰρ βαρβάρων πλείστας ἴλας,
ἤλασε λείαν καὶ λαφυραγωγίαν,
δῃῶν ἐρημῶν πυρπολῶν τὰ βαρβάρων.
ταῦτ' ἐν χρόνοις ἓξ Ἡράκλειος ἀνύσας,
ξύλα τε σεπτὰ καὶ Σιὼν ἀρχιθύτην
Ἱερουσαλὴμ ἐγκαταστήσας πόλει,
πρὸς βασιλίδα καθυποστρέφει πόλιν,
ἐν ἑβδόμῳ κάλλιστα χαίρων τῷ χρόνῳ,
ὑμνούμενος στόμασιν ἀστῶν μυρίων,
ὀφθεὶς ἀριστεὺς γεννάδας νικηφόρος.
Οὗτος βασιλεὺς ἐξομαρτῶν ποιμέσιν,
ἢ μᾶλλον εἰπεῖν μισθίοις τε καὶ λύκοις,
ἐκ συγχυτικῶν οὐ καθαρῶν ναμάτων

augebatur, (1380) nempe militum numero pauciore instructus, item pecuniae auxilio destitutus, quominus hostem barbarum propulsaret. mox tamen opes numerosumque exercitum armorumque apparatum apte instruens, (1385) pecunia e templis mutuata gratis, collecto de provinciis idoneo milite, adversus Chosroëm deo victorioso fretus cum exercitu in Persidem facit impetum. exin vigorem animis subdente deo, (1390) victorias nobiles, splendida tropaea rex illic praesens rettulit de barbaris. occidit enim hostium catervas plurimas, praedam abegit, manubias abstulit, strage igne vastitate attrivit barbaros. (1395) his Heraclius patratis intra sexennium, post sanctum lignum cum Sionis praesule Hierosolymis rursus collocatum, ad regiam urbem septimo revertitur mirifica laetitia redundans anno, (1400) hymnis innumeris celebratus populi, heros et victor praedicatus nobilis.

Hic rex quibusdam pastoribus obnoxius vel potius mercenariis, immo et lupis, ex his synchyticis impurisque fontibus (1405) perni-

ἀνατροπὴν ποτίζεται βδελυκτέαν.
ἐφ᾽ οὗ Μουχούμετ λαοπλάνος καὶ φέναξ,
φύλαρχος αἰσχρὸς Ἀγαρηνῶν ἀθέων
καὶ μυσταγωγὸς ἀθεμίτων ὀργίων,
φθισίβροτος λύμη τις ἐξέφυ βίῳ·
ὃς ὢν γυναικὸς Περσίδος θὴς πλουσίας,
ἀνὴρ γόης ἄσημος, ἀτίμου γένους,
σύνευνον ἔσχε τήνδε κακοτεχνίας·
εἶτα φύλαρχος καὶ διδάσκαλος πλάνος
οὐκ οἶδ᾽ ὅπως γένοιτο τῶν ἐκ τῆς Ἄγαρ.
οὗτος προϊὼν ἐξ Αἰθρίβου χωρίων
ὑποστρέφοντι βασιλεῖ νικηφόρῳ
προσῆλθεν αἰτῶν χῶρον εἰς κατοικίαν·
καὶ παραλαβὼν κατέδραμε Συρίαν,
καὶ Ῥωμαϊκῶν κατακρατεῖ χωρίων.

Κωνσταντῖνος ὁ υἱὸς Ἡρακλείου ἔτος α΄.

Τοῦ δ᾽ Ἡρακλείου τὸν βίον λελοιπότος
Κωνσταντῖνος παῖς ὀρθόφρων ἔσχε κράτος·
μεθ᾽ ὃν σὺν υἱῷ Ἡρακλωνᾷ Μαρτίνα,
ὧν γλῶσσαν ἡ μὲν τέμνεται μάλ᾽ ἐνδίκως,
Ἡρακλωνᾶς δὲ τοῦ προσώπου τὴν ῥῖνα,
φυγὴν κατακριθέντες ἐνδικωτάτην.

1405 *ποτίζει* V 1412 *κακοτεχνίαις?* 1422 scilicet Martina noverca sustulit veneno Constantinum privignum, invasitque tyrannidem cum Heraclona filio; cuius sceleris iustas poenas mox dedit. M.

ciem perpotavit exsecrabilem. sub eo Mahumetus, populi seductor fallax, turpis atheorum princeps Agarenorum, nefandae religionis antecessor, ad hominum exitium orbi innotuit. (1410) feminae hic ditis Persidis cum esset famulus, impostor, homo obscurus, stirpe ignobili, hanc habuit tori sociam et malitiae. exin evasit princeps doctorque nugax nescio quo pacto apud Agarae posteros. (1415) idem progrediens ex Aethribi regionibus imperatori post victoriam reduci occurrens, sedem ad incolendum petiit; qua mox impetrata Syriam incursavit et Romanorum terris potiri coepit.

Constantinus Heraclii filius an. 1.

(1420) Postquam Heraclius finem vitae imposuit, Constantinus filius regnavit orthodoxus; post quem Martina cum Heraclona filio. sed enim matri merito lingua exciditur, turpiter Heraclonas truncatur naribus, (1425) uterque exsilio multatur iustissimo.

Κώνστας ὁ υἱὸς αὐτοῦ ἤτοι ὁ ἔγγονος Ἡρακλείου ἔτη κζ΄.

Εἶτα κατάρχει τοῦ κράτους τῶν Αὐσόνων
Κώνστας, διώκτης εὐσεβεστέρου μέρους,
Κωνσταντίνου παῖς, ἔγγονος δ' Ἡρακλείου,
τἆλλα μὲν οὐκ ἄχρηστος ὀφθείς τις κράτωρ,
σέβας δ' ἀχρεῖος οἰοφυσίτης τάλας,
ὃς ἐκδιώκων ὀρθοδοξούντων μέρος
καὶ Μάξιμον δ' ἤλασε τὸν θεηγόρον
σὺν τοῖς μαθηταῖς καὶ Μαρτῖνον τὸν πάπαν.
ὅμαιμον αὑτοῦ κτείνας οὗτος ὁ κράτωρ
μισητέος κέκριτο καὶ βδελυκτέος,
καὶ μᾶλλον οἷς δέδρακε κακῶς ἁγίους.
διατριβὰς οὖν ἐκλιπὼν Βυζαντίδος
πρὸς Σικελίαν τὴν μεγίστην ἐκπλέει,
καὶ Συρράκουσαν ἔσχεν εἰς κατοικίαν.

Κωνσταντῖνος ὁ Πωγωνάτος ἔτη ιζ΄.

Τούτου σφαγέντος καὶ μεταστάντος βίου
Κωνσταντῖνος παῖς εὐσεβής, Πωγωνάτος,
παραλαβὼν ἴθυνε τὴν κραταρχίαν,
ἀνὴρ ἀγαθός, ὀρθοδοξίας φίλος,
ὅστις πατρῴαν κακοδοξίαν λύων
ἤθροισε σεπτῶν πατέρων θεῖον στῖφος,
συνέδριον κάλλιστον ὀρθοδοξίας,
ἐπί γε Χριστοῦ δογματισάντων ἅμα

Constans Constantini filius Heraclii nepos, an. 27.

Exin Romanorum obtinet imperium Constans, piarum persecutor partium, Constantini filius, nepos Heraclii, ceteris usibus non malus imperator, (1430) dogmate sed pravus, monophysita miser; qui dum negotium facessit orthodoxis, Maximum quoque theologum expulit cum suis discipulis cumque Martina papa. cum vero et proprium fratrem occidisset, (1435) invisus plane evasit et abominabilis; tum praesertim quia sanctos iniuria affecerat. ergo Byzantii degere iam non sustinens ad insularum maximam Siciliam venit, et Syracusis stabilem sedem fixit.

Constantinus Pogonatus an. 17.

(1440) Cum violenta Constans obiisset nece, Constantinus pogonatus, praedicti filius, delatum ad se imperium coepit regere, vir bonus, dogmatis recti amans; qui ut patris haeresim solveret, congregavit (1445) venerabilium patrum divinum coetum, pulcherrimum synedrium orthodoxiae; qui definierunt in Christo fuisse simul duas voluntates na-

διττὰς θελήσεις καὶ φύσεις ἡνωμένας,
καὶ καθελόντων πάντας οἱοφυσίτας.
τούτου κρατοῦντος Ἀγαρηνῶν τις στόλος
τῇ βασιλίδι προσβαλὼν ταύτῃ πόλει
ἐβόσκετο ξύμπαντα τὸν πέριξ τόπον,
ἦρος μὲν ἱστὰς χαλεπὰς ναυμαχίας,
ὥρμιστο χειμῶνος δὲ τοῖς νεωρίοις
τοῖς τῆς Κυζίκου μέχρι ἑβδόμου χρόνου.
ἐπεὶ δὲ τετρύχωτο μήκει τοῦ χρόνου,
πλοῖά τε συντέτριπτο τούτου τὰ πλέω,
ὀφλισκάνων γέλωτα καθυποστρέφει,
καὶ κατὰ τὴν κέλευθον ἅπας ἐφθάρη
λαίλαπι δεινῇ τῇ θεοῦ συνεργίᾳ.
πρὸς τοῖσδ' Ἀβάρων στρατιὰ φρικαλέα
ἐπῆλθε ταύτῃ τῇ βασιλίδι πόλει,
φρίσσουσα τοῖς δόρασι καὶ πανοπλίαις,
καὶ πᾶσα κατέφθαρτο Ῥωμαίων σθένει,
τῶν νεκριμαίων βαρβάρων ποσουμένων
ἐς χιλιάδας τριάκοντα τὰς ὅλας.
ὑγρόν τε πῦρ εὕρητο τούτοις τοῖς χρόνοις
Σύρου παρά του τέκτονος Καλλινίκου.

Ἰουστινιανὸς ὁ Ῥινότμητος ἔτη ι'.

Εἶτ' Ἰουστινιανὸς ἦρξε τοῦ κράτους,
Κωνσταντίνου παῖς, εὐσεβὴς κατὰ σέβας,

1451 hinc atque ex aliis locis similibus satis apparet chronologum Ephraemium fuisse vel patria Byzantinum vel saltem incolatu. M.

turasque unitas duas, cunctisque valedixerunt monophysitis. (1450) hoc imperante quaedam Agarenorum classis ad hanc adnavigans urbem regiam populabatur omnem circa locum, vere quidem acres committens naumachias, hieme se subducens ad navalia (1455) Cyzici; atque id septennio factitavit. sed cum iam lapsu temporis attrita esset confractaeque laborarent pleraeque naves, ridicula iam classis reversa est. tum universa in cursu pessum ivit (1460) turbine gravi, vi conspirante dei. insuper Abarorum formidabilis exercitus ad hanc urbem accessit regiam, lanceis horridus et cataphracto milite. attamen universus Romanis viribus (1465) succubuit, tot cadentibus in acie barbaris ut triginta milium summa collecta fuerit. ignem quoque Graecum his temporibus Syrus invenit artifex Callinicus.

Iustinianus Rhinotmetus an. 10.

Deinde Iustinianus regnare coepit, (1470) Constantini filius, reli-

φρονῶν μὲν ὀρθά, πλὴν δ' ἀπηνὴς εἰς ἄγαν.
οὗτος Σθλαβικῶν βαρβάρων ἀποκρίνας
ἡβῶντας ἄνδρας, ὁπλίτας ῥωμαλέους,
φονικὸν ἐκπνέοντας Ἄρην ἐν μάχαις,
ἐς χιλιάδας τρὶς δέκ' ἀριθμουμένους,
νέον συνεστήσατο σύνταγμα φίλον,
λαὸν περιούσιον αὐτὸ καλέσας·
ἐφ' ᾧ γεγηθὼς καὶ πεποιθὼς μειζόνως
κατ' ἀντιπάλων ἐστράτευσεν Ἀῤῥάβων,
σπονδὰς λελυκὼς τὰς πρὸς αὐτοὺς ἀδίκως.
ἐπῆλθε τοίνυν σὺν στρατιᾷ βαρβάροις
σύγχυσιν ὅρκων ἐν λύπῃ ποιουμένοις.
στρατὸς δ' Ἀῤῥάβων ἀντεπήγετ' αὖ πάλιν
σπονδῶν γραφὴν ἔνορκον ἐκκρεμαμένην
κοντοῦ φέρων, σφῶν στρατιᾶς ἡγουμένην.
καὶ συῤῥαγείσης καρτερᾶς δεινῆς μάχης
ἀποστατῆσαν ἐκ φάλαγγος τῆς νέας
τὸ πλεῖστον αὐτῆς, χιλιάδες δὶς δέκα,
προστίθεται κάκιστα τοῖς ἀντιπάλοις.
ἐντεῦθεν αἰσχρῶς βασιλεὺς ἡττημένος,
μόλις φυγὼν κίνδυνον, ἀνθυποστρέφει·
καὶ τηνικαῦτα, φεῦ ἀπανθρώπου τρόπου,
τοὺς ἐκ νέου τάγματος ἐκλελειμμένους
πάντας μαχαίρας τῇ τομῇ καθυπάγει.
καὶ βάρβαροι μὲν τοῦ κατείργοντος σπάνει
ἑῷα πάντα κατέδραμον χωρία,

1485 ἡγουμένης V

gione sincerus, dogmate rectus, sed crudelis admodum. hic e barbaris Sclavis delectu habito puberes iuvenes, bellatores validos, cruentum Martem in proeliis spirantes (1475) conscripsit, milia triginta scilicet, novum exercitum carum praecipue, quem appellavit populum eximium; quo delectatus confidensque maxime bellum suscepit adversus Arabes, (1480) pace cum ipsis dirempta inique. barbaros igitur armis est aggressus, qui abruptum foedus aegre ferebant. Arabum copiae vicissim processerunt iurati foederis scriptum suspensum (1485) conto gestantes primis in ordinibus. mox obstinato acrique conserto proelio, novae phalangis defecit subito pars maior, scilicet viginti mille, seque foedissime adiunxit hostibus. (1490) quamobrem turpiter victus imperator, aegre periculo elapsus, revertitur. tunc autem, eheu inhumanum animum! novae phalangis partem residuam gladiorum ictibus cunctam subiecit. (1495) barbari autem prohibente nemine eoas cunctas incursabant

αὐτὸς δ' ἀπησχόλητο κτίσμασι δόμων,
ἐνδιατρίβων τοῖς βασιλείοις δόμοις,
τοῖς πᾶσι βαρὺς δυσαχθὴς δεδειγμένος.

Λεόντιος ἔτη γ'.

ὅθεν μισηθεὶς ἀπελήλαται κράτους
ἐπιφυέντος τῷδε τοῦ Λεοντίου
καὶ κράτος ἁρπάσαντος εὐχερῶς δόλῳ,
ὃς τοὺς φυλακαῖς ἐγκαθειργμένους λύσας,
μεθ' ὧν ἐθάρρει δράματος συνιστόρων
ἄλλων τε πολλῶν, ἐκτελεῖ δεδογμένα,
καὶ καθελὼν ἄνακτα τὸν πρὶν τοῦ θρόνου,
τεμών τε ῥῖνα τοῦ προσώπου καινίδι,
εἰς Χερσῶνα πέπομφεν ἔμφρουρον πέλειν.
Οὕτω κρατοῦντος τοῦ κράτους Λεοντίου
στόλος πεπλευκὼς Ἀρράβων ἐθναρχίας
ὅρους Ἀφρικῆς κατέκειρε καὶ πόλεις.
καὶ πέμπεται δὴ πρὸς βασιλέως στόλος
εἰς ἀντιπαράταξιν ὑπεναντίων,
ὃς συρραγεὶς ἥττητο βαρβάροις μάχῃ
καὶ παλινοστῶν πρὸς Κρητῶν νῆσον φθάνει,

Ἀψίμαρος ἔτη ζ'.

ἔνθ' Ἀψίμαρόν τινα συναποστάτην
ἀνεῖπον ὡς ἄνακτα τῆς Ῥωμαΐδος·

1507 ea belle Ephraemius confirmat vocabulum *καινίς*, quod ab antiquioribus lexicis abest, quodque Herodianus nuper editus Epimer. p. 63 explicat *μάχαιρα*. M.

partes. ipse struendis domibus dabat operam, in regiis palatiis tempus conterens, gravis iam omnibus et intolerabilis.

Leontius an. 3.

igitur invisus imperio deiicitur Iustinianus, Leontio rebellante doloque facili potentiam arripiente. namque carceribus detentos liberans hos adiutores habuit facinoris, aliosque multos rei perficiendae socios. quare priorem throno regem detrahens, eumque naribus ense inhoneste truncans, ad Chersonem urbem custodiendum misit.
Sic ad Leontium delata re publica, classis profecta ex Arabum dicione populabatur fines urbesque Africae. vicissim igitur mittitur a Caesare classis quae hostibus adversetur. haec autem proelio cum barbaris conserto vincitur, et rediens Cretae tenet littora.

Apsimarus an. 7.

illic Apsimarum, defectionis socium quendam, Romani dominum im-

μεθ' οὗ πόλιν φθάνουσι τὴν βασιλίδα,
καὶ καθελόντες τὸν Λεόντιον θρόνου
φρουρᾷ καθειργνύουσι μεστῇ πικρίας,
πρόσθεν τεμόντες τοῦ προσώπου τὴν ῥῖνα.
ἦν δ' Ἰουστινιανὸς ἐν τῇ Χερσῶνι,
ὅθεν διαδράς, ἱέραξ ὡς ἐκ βρόχων,
πρὸς Βουλγάρων ἄρχοντα διέπτη τάχος,
καὶ πείσας αὐτὸν δωρεαῖς δαψιλέσιν,
ὑποσχέσει κήδους τε καὶ χωρῶν δόσει,
σὺν βαρβαρικῇ στρατιᾷ φθάνει πόλιν·
καὶ νυκτὸς ὁλκὸν ὑπόγειον εἰσδύσας
ἐντὸς δι' αὐτοῦ γίγνεται Βυζαντίδος,
καὶ πάλιν ἀπείληφε τὴν κραταρχίαν,
κτείνας τὸν Λεόντιον σὺν Ἀψιμάρῳ,
ἀμοιβαδὸν πρὶν κεκρατηκότας κράτους.

Πάλιν ὁ Ῥινότμητος ἔτη ϛ'.

ἀμύνεται δὲ καί τινας τῶν ἐν τέλει.
Οὗτος τρέφων ἔναυσμα μήνιδος χόλου
πόλει Χερσῶνος καὶ προσοίκοις Χερσῶνος,
ζητοῦσιν αὐτὸν ἀνελεῖν πεφευγότα,
ἐκ τῶνδ' ἀνῆψε θυμικὴν σφοδρὰν φλόγα
εἰς τῶνδε πυρπόλησιν, εἰς ἐρημίαν.
στρατιὰν οὐκοῦν εὐτρεπίσας μυρίαν
καὶ ναυτικὸν στράτευμα σὺν βαρεῖ στόλῳ,
ἐφ' ὧν ἐφίστα καὶ στρατηγῶν δυάδα,

perii creant; quicum ad urbem regiam properantes throno Leontium protinus deturbant, (1520) eumque duro carcere concludunt, naribus prius de facie praecisis. Iustinianus interim Chersone urbe profugiens, veluti accipiter laqueo, ad Bulgarorum regem raptim advolat; (1525) quo magnis sibi donis conciliato, oblatis etiam nuptiis et terris aliquot, cum barbarico exercitu ad urbem venit, arcanumque aquaeductum noctu permeans intra Byzantii moenia recipitur. (1530) sic ergo rursus imperium adipiscitur, Leontio cum Apsimaro interfectis, qui alternatim antea regnaverant.

Rhinotmetus iterum an. 6.

exin et senatores interfecit aliquot.

Tum ultricis irae fomitem corde gerens (1535) contra Chersonem contraque huius finitimos, qui se extorrem perdere coniuraverant, nunc demum excitavit ingentem flammam, ut eos igne redigeret in solitudinem. igitur comparato ingenti exercitu (1540) cum maritimo milite et classe gravi, duobus etiam praepositis ducibus,

πρηστῆρας ἐκπέπομφε κατὰ Χερσῶνος,
φειδὼ κελεύσας μηδενὸς λαβεῖν ὅλως
οἷς ἡ πόλις πέφυκε κατοικουμένη,
κτεῖναι δὲ πάντας ὡς προβάτων ἀγέλην,
κτείνοντας ἐκτέμνοντας, ὢ τραγῳδίας,
πιμπρῶντας αὐτούς, ἐκθερίζοντας ξίφει.
οἱ μὲν πόλιν ἔπλησαν οὕτω τοῦ φόνου
μύσους τ' ἐναγοῦς καὶ στεναγμῶν καὶ γόων,
σωροὺς ἀναστήσαντες αὐτῇ πτωμάτων,
ὡς σφίσιν ἐντέταλτο, φεῦ φεῦ τοῦ πάθους,
οὐδ' ἀνεκτὴν ὄμμασιν ἡμέροις θέαν,
πάντας ἀφειδῶς ὑπάγοντες τῷ ξίφει,
μόνης ἀώρου νηπίων ἡλικίας
καὶ μειρακίσκων συμπαθῶς πεφεισμένοι.
ὁ δὲ κρατῶν γνοὺς νηπίων σωτηρίαν,
Φάλαρις ἢ Ἔχετος, Ἡρώδης πλέον,
κύων ὁ φιλαίματος ἐξώργιστό πως
οἷς ταῦτα μὴ γένοιντο πάρεργον σπάθης·
καὶ μηνιῶν ἦν, καὶ στελεῖν ἄλλον στόλον
δράσοντα τὴν δῄωσιν ἠπείλει τάχος.
ταῦτ' ἄρα λαὸς Χερσῶνος λελειμμένος
στολός τε παρὼν ἐκ βασιλέως τότε
ἀποστατήσας Φιλιππικὸν Βαρδάνην
εὐθὺς ἀνευφήμησαν ὡς βασιλέα·
μεθ' οὗ καταπλεύσαντες ἧκον εἰς πόλιν,
καὶ συλλαβόντες ἐκθερίζουσι ξίφει
κάραν φονουργὸν κράτορος σὺν τῷ γόνῳ.

fulgurum instar contra Chersonem misit, mandans ut nemini prorsus parcerent, quotquot in urbe cives habitarent, (1545) sed cunctos ritu pecudum interficerent, mactando, iugulando (heu tragoediam!) urendo flammis, gladiis demetendo. illi sic iussi caede repleruut urbem infandis caedibus et luctu et gemitibus, (1550) exstruxeruntque in urbe ingentem cumulum aggestis cadaveribus (pro miseriam!), intolerandum mitibus spectaculum, cunctis inclementer trucidatis civibus. ex his infantium tantum acerba aetas (1555) ac puellorum meruit clementiam. at ubi rex cognovit servatos pueros, Phalaris alter, Echetus, Herodes, canis immo cruentus, ira excanduit, quod haec mantissa caedi non accesserit. (1560) iamque furebat, et statim novam classem exitii causa missurum se minabatur. interim tamen reliquus Chersonis populus cum classe regia tunc ibi praesente, conversis armis, Philippicum Bardanem (1565) subito motu Caesarem acclamarunt; quo duce ad urbem regiam navigantes, Iustiniano potiti, gladio demetunt eius crudele caput et filii pariter.

Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἔτη β΄ ς΄.

Οὕτω μὲν ἔσχε Φιλιππικὸς τὸ κράτος,
δοκῶν μὲν εἶναι ῥητορικὸς ἐν λόγοις,
ἐπήβολος λόγων τε καὶ μαθημάτων,
καὶ πρός τι πᾶν εὔχρηστος ἐν συνουσίαις,
πρὸς δ' αὖ περιδέξιος ἐν συντυχίαις,
ἀδέξιος πάμπαν δὲ πρὸς τὰ πρακτέα,
τὴν γλῶσσαν αὐχῶν μὴ ςυνᾴδουσαν λόγοις.
οὗτος πεπωκὼς συγχυτικῶν ναμάτων
ἔσπευδε τάλας ἀκυρῶσαι καθάπαξ
σύστημα σεπτῶν πατέρων θεηγόρων
ἕκτης κυρωτὸν συνόδου θεοκρίτου
ματαιότητος δυσσεβεῖ συνεδρίῳ,
τινὶ μοναχῶν αἱρετικῆς φρατρίας
αἰτοῦντι χάριν τῆς προγνώσεως τίνων
τοῦ κράτος ἕξειν ἀθέτησιν συνόδου.
ἐφ' οὗ Μυσῶν στράτευμα Θρᾴκης χωρία
ἤλασε λείαν καταδραμὸν μυρίαν,
φθάσαν πρὸ τειχῶν ἄστεως βασιλίδος.
οἱ δ' Ἀγαρηνοὶ τὰ μέρη τὰ καθ' ἕω
λεηλατοῦσι καὶ σκυλεύουσιν ὅπλοις.
οὕτως ῥᾳθύμως πλημμελῶς ἀρχὴν στρέφων,
μᾶλλον δὲ κοινὰ πράγματα καταστρέφων
εἰλικρινῆ τε δόγματα διαστρέφων,
ἐν συσσιτίῳ συσχεθεὶς τοῖς ἐν τέλει
ἔσβεστο λύχνους ἀξίως τῶν ὀμμάτων.

1575 ita codex; quae lectio improbabilis videtur. M.

Philippicus Bardanes an. 2 mens. 6.

Atque ita imperium obtinuit Philippicus, (1570) vir sermone quidem admodum rhetoricus, doctrinis atque literis eruditus, omni consilio abundans in colloquiis, praeterea satis dexter in variis casibus, sed tamen ad gerendas res ineptus, (1575) vana lingua praeditus haud factis consentanea. cum hic synchyticos fontes ebibisset, statim heu miser abrogare voluit impio stultorum synedrio haereticorum augustum patrum theologorum coetum, (1580) qui divinam sextam synodum approbaverant. namque is partium haereticarum monacho praedicti imperii mercedem promiserat, petenti sextae synodi abrogationem. sub eo Moesorum turmae Thracios fines (1585) ablata incursaverunt praeda innumera, ipsius regalis urbis usque ad moenia. tum et Agareni terras Orienti obversas omni re corrasa armati diripuerunt. ergo dum hic Caesar pigre maleque gerit (1590) imperium, vel rem publicam dum potius subruit et simul recta dogmata perverti curat, a senatoribus captus in convivio lumine oculorum merito orbatus fuit.

Ἀναστάσιος ὁ καὶ Ἀρτέμιος ἔτος α', οἱ δὲ ἔτη β'.

Εἶτα παρῆλθεν εἰς διοίκησιν ὅλων
ἀρχήν τε βασίλειον πρωτασηκρῆτις,
σοφός τις ἀνὴρ καὶ μαθημάτων ἴδρις,
ἀποστολικῶν δογμάτων ἐπαινέτης,
πρὸς δ' αὖ πατρικῶν, φίλος ὀρθοδοξίας,
ἠσκημένος πράγματα καλῶς διέπειν
Ἀναστάσιος, Ἀρτέμιος παιδόθεν·
ὃς Ἰωάννην αἱρετικὸν ποιμένα
καθεῖλεν εὐθύς, Γερμανὸν δὲ τὸν μέγαν
μετατεθῆναι πρὸς θρόνον Βυζαντίδος
ἐκ Κυζίκου κέκρικε σὺν ἀρχιθύταις.
οὗτος στόλον πέπομφε κατ' ἐχθρῶν στόλου
ὅρους κακοῦντος Φοινίκης καὶ Συρίας,
ναύαρχον εἶναι προστεταχὼς τοῦ στόλου
θεοῦ μεγάλης λευίτην ἐκκλησίας,
αὐτὸν τιμήσας γενικὸν λογοθέτην,
ὃς ἐκπεπλευκὼς εὐμαρῶς ἄχρι Ῥόδου
ἐλλιμενίζει τοῖς νεωρίοις Ῥόδου.
ἐπεὶ δὲ συνήθροιστο ταγμάτων στῖφος
καὶ ταγματάρχαι πρὸς σύναρσιν τοῦ στόλου,
ὡς ἦν βασιλεῖ προστεταγμένον τόδε,
βίαν ἐπῆγε τοῖς στρατηγοῖς λευίτης,
πρὸς ἀπόπλουν σφᾶς ὀργίλως παροξύνων.
οἱ δὲ στασιάζουσι πάντες εὐθέως,
καὶ λευίτην σφάττουσιν ἀφειδῶς ξίφει,

***Anastasius*, *qui et Artemius*, *an.* 1, *vel ut alii aiunt*, *an.* 2.**

Deinde summa rerum fuit concredita (1595) regali cum fastigio sapienti viro protasecretis, doctrinarum cato, qui apostolorum itemque patrum dogmata collaudans apprime amabat orthodoxiam, ad rerum quoque regimen recte exercitus, (1600) nunc Anastasius nomine, Artemius olim. hic pastorem haereticum Ioannem statim deposuit, Germanumque magnum ad Byzantinam censuit transferendum sedem e Cyzico cum pastorum consilio. (1605) idem et classem misit adversus hostium classem Phoeniciae Syriaeque vastantem littora. navarchum autem classi praeposuit magnae diaconum ecclesiae, quem honore generalis decoravit logothetae. (1610) is feliciter navigans Rhodum usque, illic in navalibus portum tenuit. cum autem convenisset robur militum cum tribunis, qui classem apte regerent, tum demum ut in mandatis a rege habuerat, (1615) diaconus duces coepit violenter iracundeque cogere ad navigandum; qui simul omnes statim conspirantes crudeliter diaconum gladio

καὶ πρὸς πόλιν φθάνουσιν Ἀτραμυττίου,
ἔνθα Θεοδόσιον πρακτόρων ἕνα
τῶν δημοσίων εἰσφορῶν εἰληφότες,
ἄνδρα πρὸς ἀρχὴν μηδ᾽ ὅλως πεφυκότα,
ἀγροῖκον ὄντως, ἰδιώτην παντάπαν,
ἄκοντ᾽ ἀνηγόρευσαν εἰς βασιλέα·
ὃ γνοὺς Ἀναστάσιος ᾤχετ᾽ αὐτίκα
καὶ Βιθυνῶν Νίκαιαν καταλαμβάνει.

Θεοδόσιος ὁ Ἀτραμυττηνὸς ἔτη β'.

ὁ δ᾽ αὖ Θεοδόσιος φθάσας τὴν πόλιν
εἴσεισιν ἐντός, ἀναδείκνυται κράτωρ,
καὶ παραλαβὼν προκρίτους γερουσίας,
οἷς καὶ συνῆπτο Γερμανὸς ἀρχιθύτης,
εἰς Νίκαιαν ἥκουσι πρὸς βασιλέα,
ἃ συμβεβήκει δεικνύοντες ὡς ἔπος.
ὁ δ᾽ αὖ μετημφίαστο καρεὶς τὴν κόμην,
μοναδικῷ τάγματι κατειλεγμένος·
καὶ καθαρῶς εἴληφε τὴν σκηπτουχίαν
νέος Θεοδόσιος ἔξω κινδύνων,
χρηστὸς μὲν ἀνήρ, εὐμενὴς ὑπηκόοις,
ἡδὺς γεραρὸς καὶ σεμνὸν φέρων βίον,
εἰς δ᾽ αὖ μεταχείρισιν ἀρχικὴν ὅλως
ἢ διέπειν πράγματα πλημμελὴς πάνυ·
ὃς κληρικὸς κέκαρτο λιπὼν τὸ κράτος
μετά τε βραχὺν τῆς βασιλείας χρόνον.

caedunt. deinde ad Adramyttium profecti urbem, (1620) ibi Theodosium quendam exactorem publicorum vectigalium deprehendentes, virum imperando plane ineptum, affatim rudem, merum idiotam, et quidem reluctantem, acclamant Caesarem. (1625) re comperta Anastasius discessit protinus, Bithynamque urbem Nicaeam insedit.

Theodosius Adramyttenus an. 2.

Theodosius autem Byzantium properans, intra receptus creatur imperator. tum vero assumptis electis senatoribus, (1630) quibuscum praesul quoque Germanus erat, Nicaeam simul cuncti ad regem veniunt, ut fama est, rem actam nuntiantes. is autem statim veste mutata comam radit, coetuique iungitur monastico. (1635) sic legitimam accepit potestatem novus Theodosius extraque pericli aleam, indole vir bona, subditis benivolus, suavis, venerandus, castis moribus; sed ad regendos tamen imperio populos (1640) et res administrandas plane futilis. quare se sponte exauctorans fit clericus post modicum in imperio exactum tempus.

Λέων ὁ Ἴσαυρος ἔτη κδ΄.

Τυραννικῶς δὲ κατακρατεῖ τοῦ κράτους
ὁ θηριώδης ἐξ Ἰσαυρίας Λέων,
ἀνὴρ ἀποφράς, δυσσεβὴς κακεργάτης,
ἀνήμερος θὴρ καὶ δαφοινός τις δράκων,
ἀσπὶς ἰὸν τρέφουσα θανατηφόρον,
Τελχίν, Ἐριννύς, Κέρβερος ψυχοφθόρος,
ἢ βασιλίσκος ἐμφυσήματι μόνῳ
βροτοὺς ἀναιρῶν καὶ παραπέμπων ᾅδῃ,
λύσσης μανίας ἐμπεπλησμένος κύων,
ἐπωνύμως λέοντι πάντα δεικνύων,
προσηγορίαν, ὡς δὲ θηριωδίαν
καὶ βλέμμα καὶ κίνημα καὶ φονουργίαν·
ὃς πρῶτος ἠθέτησε τιμὴν εἰκόνων,
καὶ τοῦ τιμᾶν ἔπαυσε Χριστοῦ τὸν τύπον,
ἰνδάλματα φεῦ καλέσας τὰς εἰκόνας,
ὡς αἱρετικῶν ἀσεβῶν διδαγμάτων
θησαυροφυλάκιον αὐχῶν καρδίαν,
ἀνὴρ ἀγροῖκος, σκαπανεύς, ὀνηλάτης,
πρόσθεν βίον βάναυσον ἕλκων ἐκ νέου·
εἶτ᾽ αὐτοκράτωρ, ὢ θεοῦ τῶν κριμάτων,
καὶ βασιλεὺς δέδεικτο τῆς Ῥωμαΐδος,
οὐ μᾶλλον ἢ τύραννος ἀνθρωποκτόνος.
τῷδ᾽ ἐντυχόντες ἄνδρες Ἑβραίων δύο,
γόητες ἄκρως μαγικὴν ἠσκημένοι,
ἐξ Ἀῤῥάβων ἄρχοντος ἐκπεφευγότες,
ὀφθέντες ὡς φένακες αὐτῷ καὶ πλάνοι

Leo Isaurus an. 24.

Exin imperium corripuit tyrannice ferinus ille ex Isauria Leo, (1645) scelestus homo, haereticus et maleficus, belua crudelis et draco sanguinarius, aspis venenum alens exitiosum, magus, Erinnys, Cerberus, animarum pestis, vel basiliscus afflatu solo (1650) mortales perimens atque demittens Orco, rabie atque furore concretus canis, cuncta leonis nomini prae se ferens congrua, ferinum ingenium animi, intuitum, gestum, homicidiariam manum. (1655) primus hic imaginibus abrogavit honorem, vetuitque coli Christi crucem, imagines habens heu in idolorum loco. nimirum hic haeresibus scelestissimis arcam veluti praebuit pectus suum, (1660) rusticus vir, fossor, agaso, qui a puero vecturas onerum corpore suo fecerat. is deinde imperator (o dei iudicia!) et rex creatus est Romanarum rerum, immo potius tyrannus homicida. (1665) huic olim occurrentes Iudaei duo praestigiatores, magiae periti apprime, ab Arabum principe extorres facti, cui impostores planique

διατριβὰς ἔχοντι κατ' Ἰσαυρίαν,
νέῳ βαναύσῳ καὶ πένητι καθάπαξ
προεῖπον αὐτῷ τὸ κράτος Ῥωμαΐδος.
τοῦ δ' ἀφορῶντος πρὸς τύχην καὶ τὴν τέχνην,
προρρήσεώς τ' ἔκβασιν μὴ δεδεγμένου,
οἱ δ' ἰσχυρῶς ἔφασκον ἐκβῆναι τάδε,
ᾔτουν τε πίστεις, εἰ πέρας πεφασμένοις
ἔψοιτο, τυχεῖν τούσδε καταθυμίων.
καὶ δὴ προαχθεὶς ὀμνύει σφίσιν νέος
ἦ μὴν ἁμαρτεῖν οὐδαμῶς αἰτουμένων
καιροῦ διδόντος τὴν ἔκβασιν τῶν λόγων.
ἐπεὶ δ' ἐπιβέβηκε τῶν σκήπτρων Λέων,
δυὰς Ἑβραίων τῷ κρατοῦντι προστρέχει,
ἀναμιμνήσκει τῶν προϋπεσχημένων,
αἰτεῖ σεβαστῶν ἀθέτησιν εἰκόνων.
καὶ πείθεται βασιλεὺς δοῦναι χάριν
ἄχαριν ὄντως καὶ λίαν ψυχοφθόρον
Ἰουδαϊκῇ δυάδι τρισαθλίᾳ,
νέμει τε ταύτην. ὢ ξένων ἀκουσμάτων,
καινῆς τραγῳδίας τε δυσηχεστάτης.
τοῦ χριστομαχεῖν ὧδε λοιπὸν ἠργμένος
πάντα ταραχῆς ἀναπιμπλᾷ καὶ ζάλης·
ἐπεισπεσὼν γὰρ ὡς λέων βρυχητίας
ἐκκλησίᾳ κλήρῳ τε πιστῶν ἀγέλῃ
ποίμνην κατεσπάραξε Χριστοῦ ποιμένος,
καὶ μάρτυρας ἔδειξεν αὐτῷ μυρίους,

1684 *πείθεται δὴ β.?*

visi erant, huic, inquam, in Isauria degenti adhuc, (1670) adulescenti baiulo et prorsus pauperi, Romani imperii sceptrum praedixerunt. is cum fortunam suam artemque inspiceret, vaticinationem veridicam non putabat. illi vehementer rei exitum promittebant, (1675) fidemque postulabant, si facta congruerent dictis, ut voti sui compotes ab eo fierent. ergo permotus iuvenis iuratam fidem obtulit, fore ut illi impetratis gauderent, si vaticinii exitum tempus afferret. (1680) cum ergo sceptrum reapse obtinuit Leo, ad imperatorem accurrunt Iudaei duo, admonent promissorum, petuntque ab eo ut venerandas imagines tolli curet. annuit imperator ut beneficium (1685) maleficum vere, animabus exitiosissimum, par Iudaeorum tristissimum impetraret; idque concedit. o rem auditu absurdam! o tragoediam novellam et ingratissimam! sic ergo persequendi initium faciens (1690) omnia tumultu replet ac turbatione. nam furialiter aggressus, ceu leo rugiens, ecclesiam clerum fideliumque ovile, gregem pastoris dilaceravit Christi, et martyres exhibuit

αἵματος ἄχρι καλῶς ἠγωνισμένους
ὑπὲρ σεβαστῆς εἰκόνος τοῦ δεσπότου·
μεθ' ὧν σοφῶν σύστημα διπλῆς ἑξάδος
ἀνδρῶν λογάδων καὶ διδασκάλων λόγων
σὺν σφῶν προέδρῳ, πρακτέων παραινέτῃ,
οἰκουμενικῷ τὴν τιμὴν διδασκάλῳ,
Χριστοῦ παριστᾷ μάρτυρας πυριφλέκτους,
αὐτῷ δόμῳ φύλαξι παντοίων βίβλων
συγκαταφλέξας σφᾶς ἀφειδῶς ἀθέως.
καὶ Γερμανὸν δὲ ποιμενάρχην τοῦ θρόνου,
τῷ δυσσεβεῖ δόγματι μὴ πεπεισμένον,
ἐλάσας ἀντέστησε τῇ ποίμνῃ λύκον.
ταῦτ' ἄρα Ῥώμη πρεσβῦτις τῆς πρὸς νέαν

1702 en alterum Byzantinae bibliothecae incendium sub Leone Isaurico, post primum quod accidit sub Basilisco (v. 1007). quo iam minus miremur tot auctores sempiterno exitio periisse. M.

1706 his lectis, quae ob Germani patriarchae constantiam orthodoxiamque collaudandam, atque ob Leonis Isaurici imperatoris crudelissimam haeresim obiurgandam dicit noster Ephraemius, puderet, credo, si viveret, Cavaeum doctissimum anglicanum, qui (script. eccl. ed. a. 1720 p. 408) de Germano agens ita scribere ausus est "*integro quadriennio Germani pertinaciam patienter tulit clementissimus imperator* (Leo Isauricus); *cum vero nullis monitis, nullis documentis ad sanam mentem et obedientiam decretis Caesareis ac synodicis praestandam adduci posset, anno demum 730, habita synodo, sede patriarchali motus est.*" sed ita nimirum loqui solent homines, cum praeiudicato partium studio iactantur. ecce enim Cavaeus idem, pontificiae auctoritatis, ut tum tempora erant, odio imbutus, in praefatione quoque, p. XXI, insulsum errorem ex aliena ridicula relatione hausit. quia enim in bibliothecae Vaticanae publicis legibus illud quoque mandatum est, ut a peritis scriptoribus antiqui codices, si qui carie vel alio chartarum vitio vehementius laborant, diligenter et fidelissime exscribantur, atque ita tum vetus exemplar tum novum iuxta custodiatur, id cum suo relatore Cavaeus ad impiae fraudis suspicionem oblique convertit, quasi nos adeo corrumpendis auctoribus indulgeamus ut ei rei proprium etiam munus et conductos stipendio homines decreverimus. quo dicto nihil imprudentius, nihil gravi auctore indignius esse potest. M.

ipsi plurimos, (1695) qui strenue usque ad sanguinem certaverunt pro veneranda domini sui imagine. in his coetum duodecim sapientium ac docendis literis praepositorum, cum suo praesule et vitae moderatore, (1700) quem magistri oecumenici ornabat dignitas, Christi combustos martyres effecit, cum bibliotheca librorum instructissima diris impiisque flammis eos absumens. Germanum quoque praesulem primarium (1705) irreligioso dogmati haud assentientem expulit, et pro eo lupum obtrusit gregi. iccirco Roma senior adversus novam dissociavit com-

διαρραγεῖσα φιλίας κοινωνίας,
αὐχοῦσα Γρηγόριον ἔνθεον θύτην,
τὴν χριστομάχον ἐξελέγχοντα πλάνην,
εἰρηνικὰς τίθησι σπονδὰς πρὸς Φράγγους
ἐκ Γερμανικῶν βαρβάρων κατηγμένους,
ἐλεύθερον θέλουσα πνεῖν τὸν ἀέρα.
Τούτου κρατοῦντος στρατιά τις Ἀρράβων
μυριάριθμος ναυτικῆς ναυαρχίας
πεζῆς τε λοιπῆς, προσβαλοῦσα τῇ πόλει,
λεηλατοῦσα κατέκειρε τὰ πέριξ·
ἣ πᾶσα κατέφθαρτο τῷ θεοῦ σθένει.

Κωνσταντῖνος ὁ Κοπρώνυμος ἔτη λγ΄.

Τεθνηκότος Λέοντος λαμβάνει κράτος
Κωνσταντῖνος παῖς, ἢ σκύμνος μᾶλλον φάναι,
ἐπώνυμον σχὼν τὴν κοπρώνυμον θέσιν,
ἀνὴρ γόης μάγος τε, κακῶν ἐργάτης,
τῶν δαιμονικῶν μυσταγωγὸς ὀργίων,
τῆς δυσσεβείας κυκεὼν ἢ πλημμύρα
καὶ παντοδαπῆς ἀμάρα δυσπιστίας,
οὐχ ἧττον ὀφθεὶς κακοδοξίας τάλας
κληροῦχος ἤπερ πατέρων αὐταρχίας,
πιστῶν ἐλατήρ, εὐσεβῶν ἀναιρέτης,
οἷς προσκυνητὸς χαρακτὴρ ἦν δεσπότου.
τούτῳ δι᾽ ἃ πέπρακτο κακῶν καὶ πλάνην

1709 intellige Gregorium II. M. 1730 malim κακῶς. M.

munionis vincula, cum praesideret ipsi Gregorius divus, (1710) qui obiurgato nequicquam iconomacho pacifica pactus est cum Francis foedera, populo barbaris oriundo Germanicis, liberumque aërem respirare maluit.

Leone regnante Arabum exercitus (1715) innumerus, partim mari classe vectus partim pedester, Byzantio appropinquavit praedandoque totam nudavit viciniam. is tamen universus dei virtute periit.

Constantinus Copronymus an. 33.

Leone exstincto excepit potestatem (1720) Constantinus filius vel potius catulus, qui Copronymi cognomine distinctus est, vir praestigiator magus et maleficus, daemoniacorum magister mysteriorum, haereseon malus cinnus et colluvies, (1725) errorum omnium scatebra vel sentina; haud minus falsi dogmatis infaustus heres quam regiae dignitatis patri factus; fidelium exagitator, piorum carnifex, quotquot Christi domini crucem adorabant. (1730) hic ob sua maleficia atque haeresim

καὶ θηριώδη καὶ φονουργὸν κακίαν
ὄντι μισητῷ πᾶσιν ἐνδίκῳ τρόπῳ,
τῷ δ' Ἀρταβάσδῳ κουροπαλάτῃ πλέον,
ἀνδρὶ στρατηγῷ σὺν τῷ βουληφόρῳ,
τῇ δ' εὐσεβείᾳ μᾶλλον ἠγλαϊσμένῳ,
καττύεταί τις ἐν θέματ' Ὀψικίου,
κατ' Ἀρράβων στράτευμα κινοῦντι τότε,
ἐνέδρα δεινὴ πρὸς στρατιᾶς ἐγκρίτων
πρωτουργὸν Ἀρτάβασδον ἐξευρηκότων·
ἣν γνοὺς ὁ κρατῶν ἐκδιδράσκει τὸν μόρον
ἵπποις ταχυπτέροις τε καὶ προθυμίᾳ.
ἡ δὲ στρατιὰ καὶ λοχαγοὶ ταγμάτων
ἀνεῖπον Ἀρτάβασδον ὡς βασιλέα,
μεθ' οὗ κατειλήφασι τὴν Κωνσταντίνου.
ἧς ἀσμένως ἔντοσθεν ἐλθών, ὡς δέον,
φημίζεται στόμασιν ἀστῶν ὡς ἄναξ,
ἀνακτορικῆς τυγχάνων εὐφημίας.
εὐθὺς δ' ἀνεστήλωσε Χριστοῦ τὸν τύπον,
καὶ προσκυνεῖν δέδωκεν αὐτὸν ὡς θέμις.
ἐφίσταται δὲ καὶ Κοπρώνυμος πόλει
τὸ πρὶν ἀπαιτῶν ἀδεῶς ἔχειν κράτος·
ἐπεὶ δ' ἀπηγόρευον ἅπαντες τόδε,
πρὸς ὅπλα χωρεῖ καὶ μάχας ἐμφυλίους,
καὶ δρᾷ τι κακὸν ἀστικοὺς καὶ τὴν πόλιν,
εἰσπλεῖν σιτηγοὺς κωλύσας νῆας ἔσω,
ἀφ' οὗ πολίταις βουλιμιᾶν συνέβη.

1734 *στρατηγικῷ?* 1751 *ἀναπαιτῶν* V

atque ob ferinum cruentumque ingenium iustum cunctorum odium in se converterat, Artavasdi potissimum curopalatae militari civilique dignitate insignis, (1735) sed pietate magis exornati. ergo versanti in provincia Opsicii Copronymo, cum Arabes bello premeret, insidiae graves a copiarum summatibus struuntur duce Artavasdo facinoris. (1740) re comperta imperator necem effugit equis velocibus et experrecto animo. tum vero exercitus ordinumque duces imperatorem creant Artavasdum; quicum ad urbem Constantini veniunt. (1745) libenterque in eam receptus Artavasdus merito civium vocibus rex salutatur, eique tanquam domino fit acclamatio. is autem erexit statim Christi crucem colendamque exhibuit prout decebat. (1750) sed et Copronymus urbi supervenit pacifice postulans recipere imperium; quod dum communi voto cuncti pernegant, is arma movet civileque bellum, statimque insigni cives damno afficit (1755) frumentarias naves accessu prohibens, ex quo fa-

ἐπεὶ δ' ἐπεισέφρησε συγκλονῶν πόλιν
σὺν στρατιᾷ τε μηχαναῖς τε καὶ δόλῳ,
συνίσταται μάχη τις ἐξ ἑκατέρων
ἀντιστατοῦντος αὐτοκράτορος νέου.
ἀλλὰ κριμάτων τὴν ἄβυσσον κυρίου
τίς ἂν ἱκανῶς ἐξιχνιάσειέ πως;
νίκην ἀπηνέγκατο τύραννος μάχῃ,
ἥττητο δ' Ἀρτάβασδος αἰσχρῶς ὀρθόφρων,
καὶ συσχεθεὶς ἔσβεστο λύχνους ὀμμάτων
σὺν υἱέσιν αἴσχιστα διττοῖς. ὢ δίκης.
ἄλλοι τε πλεῖστοι τῶν ἐπισήμων πάλιν
κακοῦ παραπέλαυσαν ἐκ Κοπρωνύμου.
Οὗτος βδελυρὸς ἀσεβὴς συναλίσας
ἀνιέρων σύστημα μισθίων λύκων,
ὁμοφρόνων οἱ καὶ πλέον κακοφρόνων,
ὃ σύνοδον κέκληκεν, ὢ θεοῦ νόμοι,
οἰκουμενικὴν ἑβδόμην, ὢ τῆς πλάνης,
ἐπ' ἀθετήσει τῶν σεβαστῶν εἰκόνων,
θεῖον Βλαχερνῶν καταλαμβάνει δόμον.
ἐπ' ὀκρίβαντος δ' ἀναβὰς τολμητίας
φωνῇ τορῷ τε καὶ χερὶ βδελυκτέᾳ
ὡς φατνιάρχην δεικνύει Βυζαντίδος
Κωνσταντῖνον τάλανα Συλαίου λύκον.
τελῶν δ' αὐτοῦ τὴν ἀθεμιτουργίαν,
εἶτα μετ' αὐτοῦ ποιμένων τ' ἀνιέρων,
πάντων ὁρώντων καὶ κλυόντων, ἐν φόρῳ

1763 ἀπηνέγκαται V 1780 τελέσας?

mes gravissima urbi accidit. sed postquam urbis moenia subiit quatiens exercitu machinis et artificio, utrimque pugna accenditur, dum Copronymo (1760) omni resistit ope imperator novus. sed iudiciorum domini quis abyssum scrutari satis poterit? superior commisso proelio discedit tyrannus, turpiter vincitur Artavasdus pius, (1765) captusque orbatur miserrime utroque lumine cum duobus filiis. heu supplicium! insuper et alios optimates plurimos malis suppliciis perdidit Copronymus.

Impius hic maledictusque congregans (1770) turbam de mercenariis profanis lupis, concordi vel excordi potius mente praeditis, quos appellavit synodum (o dei leges!) septimam oecumenicam (o imposturam!) ob augustas imagines abolendas (1775) ad sanctum Blachernense processit templum; ibique inscenso impudenter ambone, elata voce, impia protenta dextera, Byzantinae urbis antistitem declarat Constantinum infaustum Sylaei lupum; (1780) peractaque illic impia caeremonia, cum illo aliisque episcopis profanis, cunctis in foro audientibus videntibusque,

τὴν προσκύνησιν καὶ τιμὴν τὴν εἰκόνων
ἀπηγόρευσε δυσσεβῶς, ὢ μανίας,
καθυποβαλὼν ἀφρόνως ὁ μαινόλης
ἀραῖς ἀναθέματος ἄνδρας ὀλβίους,
σοφὸν Γερμανόν, Γεώργιον Κυπρόθεν,
τοὺς ποιμενάρχας τῆσδε τῆς Κωνσταντίνου,
πρὸς δ' αὖ Ἰωάννην τε τὸν Δαμασκόθεν.
οὗτος διωγμὸν ἀσεβῶς φρικαλέον
κατ' εὐσεβούντων προσκυνητῶν εἰκόνων
ὡς χριστομάχος ἀνακινήσας τάλας
πάντας ἐκάκου, καὶ πλέον ῥακενδύτας,
μεθ' οὗ Στέφανον Ἀνδρέαν μονοτρόπους
μάρτυρας ἀπέφηνε Χριστοῦ δεσπότου,
ἄλλους τε πλείστους σὺν μονασταῖς μιγάδας.
Τούτου τυραννεύοντος ἐν Παλαιστίνῃ
κἀν τῇ Συρίᾳ καὶ βασιλίδι πόλει
σεισμὸς μέγιστος καὶ κλόνος γῆς συνέβη,
δι' οὗ βροτῶν ἔφθαρτο μυρίον στῖφος.
ἄλλη φθορά τε καὶ φθισίβροτος νόσος
ἐπεισπεσοῦσα κατέτρυχε τὰς πόλεις,
ὡς μὴ δυνατὸν ἐκνομίζεσθαι τάχα
τὸ πλῆθος ἅπαν τῶν νεκριμαίων φθάνειν.
χειμών τε πάντων βαρύτατος καὶ μέγας
ἐπεισπεπαικὼς τῇ βασιλίδι πόλει
πολλὴν ἐνειργάσατο ταύτῃ τὴν λύμην,
ὡς κρυσταλλωθῆναί γε τῷ πολλῷ ψύχει

1783 τῶν? 1794 ὧν? 1797 τυραννοῦντος V

venerationem honoremque imaginum abrogat hic haereticus. o vesaniam! (1785) stulte etiam subiecit furiosus homo maledictis anathematis sanctos viros sapientem Germanum, Georgium Cyprium, qui Byzantii huius pastores fuerant, ac Ioannem insuper Damascenum. (1790) idem scelestus persecutione horribili commota adversus cultores imaginum, tristissimi christomachi persona induta, cunctos vexabat, praesertim saccophoros; quos inter Stephanum et Andream monachos (1795) Christi domini martyres effecit, aliamque plurimam cum monachis catervam.

Eo regnante tyrannice Palaestinam, tum etiam Syriam et ipsam urbem regiam maximus terrae motus agitavit, (1800) isque mortalium numerum ingentem hausit. praeterea morbus pestilens exitiosus, late per orbem grassans, afflixit urbes; nec porro narranti mihi supputare exstinctorum lue hominum licet numerum. (1805) summa etiam hiems et gravissima, quotquot fuerunt, regiae urbi ingruens permultum huic detrimentum

κρύει τ' ἀμέτρῳ συμπιληθῆναι πάλιν
θάλατταν αὐτὴν καὶ ποταμῶν ἀπλέτους,
ὡς τόνδε πορθμὸν τὸν πρὸ τῆς Κωνσταντίνου
βατὸν πέλειν ἅπασι τοῖς ἠρημένοις
ταλασιουργοῖς κτήνεσιν ἀχθηφόροις,
καὶ πᾶσιν ἁπλῶς τοῖς ποσὶ κεχρημένοις.
θαλφθέντος ἀέρος δὲ χειμῶνος λύσει,
ἐπιδιδούσης ἐξ ἔαρος ἀλέας,
τὸ κρυσταλλῶδες συνεχὲς διερράγη,
καὶ πνεῦμα σφοδρὸν τμήματα τῶν κρυστάλλων
πολυπλέθροις νήσοις τε καὶ βουνοῖς ἴσα
ἐπῆγε τείχει καὶ προσήρασσεν πόλει,
καὶ πλεῖστα κατήρειψε τειχέων τότε.
ταῦτα μὲν οὕτω συνέκυρσε τῇ πόλει
Κοπρωνυμοῦντος κατέχοντος τοῦ κράτους.

Λέων ὁ υἱὸς αὐτοῦ ὁ ἐκ Χαζάρας ἔτη ε'.

Οὗπερ καταστρέψαντος ἀσεβῶς βίον
τούτου Λέων παῖς ἔσχε τὴν κραταρχίαν,
Χαζάρας ἐκφὺς τῷ πατρὶ Κωνσταντίνῳ,
ἀνὴρ πονηρός, Λιβυκόν τι θηρίον,
κληροῦχος ἀρχῆς καὶ πατρῴας μανίας·
ὃς πρῶτον ἄρξας εὐσεβεῖν ὑπεκρίθη,
τὸν θῆρα δ' ὑπέκρυψεν ἔνδον καρδίας,
ἀλωπεκῆς δ' ἔνδυμα καὶ σχῆμα φέρων
πᾶσι δοκῶν ἦν εὐσεβὴς χρηστὸς κράτωρ,
καὶ μᾶλλον οἷσπερ φιλότιμον τὴν χέρα

attulit: frigoris enim vis intolerabilis dura constrinxit glacie et constipavit (1810) cum ipsum mare tum fluvios vastissimos. quare et hic portus Cpoleos gradu cuique calcabilis evasit, lanigeris pecudibus atque onerariis iumentis, cunctisque demum pede utentibus. (1815) mox tepescente post solutam hiemem aëre flatibus veris advenientis, gelida crusta dissilire coepit: tum ventus vehemens gelida fragmenta, insulis amplis collibusque paria, (1820) impulit in muros urbique allisit; quare tum corruit maxima pars moenium. atque has rerum vices est experta urbs, dum imperium teneret Copronymus.

Leo filius Copronymi ex Chazara an. 5.

Illo claudente sine paenitentia vitam, (1825) imperii sceptrum filius excepit Leo, quem Chazara peperit patri Constantino, improbus vir, immo Libyca quaedam belua, heres paterni regni et furoris simul. hic sub primordiis se simulavit pium, (1330) ferinum ingenium mente repostum celans. vulpinam ergo vestem et speciem gerens, vulgo habebatur

παρεῖχε πᾶσι δαψιλῶς ὑπηκόοις,
αὐτῷ κρατύνων τοῦ κράτους τὰς κρηπῖδας
καὶ μνώμενος χρόνιον εὔνουν τὸ κράτος.
ὧνπερ χάριν τίνοντες αὐτῷ καὶ σχέσιν
ξύγκλυδες ἅμα καὶ στρατηγοὶ ταγμάτων
ᾐτοῦντο παῖδα τοῦδε τὸν Κωνσταντῖνον
ἀνακτορικῆς τυγχάνειν εὐφημίας.
ὁ δ' ἐμπεδοῦν ἅπαντας ὅρκοις ἠξίου
ἦ μὴν ἑαυτοῦ παρεκτὸς καὶ φιλτάτου
καὶ τοῦδε σειρᾶς καὶ γένους κατηγμένων
μηδ' ἂν ἑλέσθαι κράτορ' ἄλλον σφᾶς ὅλως.
καὶ πᾶς τις εἶξε τοῖς παρανόμοις λόγοις·
ὅθεν τόμος γέγραπτο μεστὸς ὁρκίων.
τῆς εὐσεβείας οὗτος ἐκδὺς τὸ δρᾶμα
θῆρα τὸν ἐντὸς ἀπογυμνοῖ τοῖς ὅλοις·
καί τινας εὑρὼν προσκυνητὰς εἰκόνων
ἄνδρας τιμίους, εὐγενεῖς ψυχὴν δέμας,
αἰκίζεται κάκιστα καὶ καθειργνύει.

Εἰρήνη σὺν τῷ υἱῷ Κωνσταντίνῳ. καὶ Κωνσταντῖνος μόνος. καὶ Εἰρήνη πάλιν μόνη. ἔτη κα'.

Τούτου καταστρέψαντος ἐν τάχει βίον
Εἰρήνη κρατεῖ σὺν γόνῳ Κωνσταντίνῳ,
ἀνδρεία γυνή, φύσιν εὐλογημένη,
εἰρηνικὴν διδοῦσα τοῖς πᾶσι δόσιν,
δῶρον θεοῦ σθένος τε τῆς κραταρχίας,

bonus piusque princeps, praesertim quia munifica cunctis manu subditis large dona conferebat, (1835) sibi confirmans regni fundamentum diuturnamque a benivolentia potentiam. quare ut gratiae amorisque indicium facerent populus simul et duces exercituum, rogarunt ut huius filius Constantinus (1840) imperatorium consequeretur nomen. is autem precatus est ut iurati omnes lege sancirent ne praeter se quemquam, praeterque filium suum et huius posteros, ad imperatoriam veherent dignitatem; (1845) nemoque repugnavit sermoni improbo. lex ergo conditur plena iuratis formulis. tum Leo pietatis fictam abiiciens speciem ferinum animum revelavit omnibus; nactusque aliquot cultores imaginum (1850) viros illustres, corpore animoque nobiles, excruciatos pessime inclusit carcere.

Irene cum Constantino filio. deinde solus Constantinus. iterum Irene sola. summa annorum 21.

Leone paulo post amittente vitam regnat Irene cum Constantino filio, virili animo mulier et benedicta, (1855) largiens universo populo pacis munus, ipsa dei donum et publicae rei robur, Iaël altera et De-

Ἰαὴλ Δεβώρα τε, σώτειρα κράτους,
ὡς ἀρρενόφρων καθελοῦσα παντάπαν
τὴν χριστομάχον εἰκονομάχων πλάνην
ἐν συνοδικῇ πατέρων θείων κρίσει.
καὶ πρὶν μὲν αὕτη σὺν Κωνσταντίνῳ γόνῳ
ταῖς εἰκόσιν ἦν ἀποδιδοῦσα σέβας
καὶ τὴν σχετικὴν προσκύνησιν, ὡς δέον·
ὡς δ' ἐγκρατὴς γένοιτο τῆς μοναρχίας,
ἐκκλησίας ἥνωσεν ἀλλήλαις ὅλας,
περιελοῦσα σκανδάλων τὰς αἰτίας.
Ταράσιον γὰρ τῶν περιδόξων ἕνα,
τῶν δογμάτων πρόμαχον ὀρθοδοξίας,
πρωτασηκρῆτις, συγκλητικὸν ἀξίαν,
ἐν ἐκλογῇ τε πατέρων θεοκρίτων
καὶ κανονικῇ συνοδικῇ τε κρίσει
εἰς πατριαρχῶν ἀναβιβάζει θρόνον·
κἂν τῇ Νικαίᾳ πατέρων θειγόρων
συνηλικυῖα σύνοδον πανταχόθεν
τοὺς ἀθετοῦντας προσκύνησιν εἰκόνων
ἀναθέματι παρέπεμψεν ἐνδίκως,
ἐκκλησίᾳ δ' ἔνειμε νόμον τὸν πάλαι,
ἀγλαΐαν κάλλος τε, σεπτὰς εἰκόνας.
Ταύτης κρατούσης ἐν μακρῷ τείχει Θρᾴκης
ἀνὴρ ὀρύττων κατὰ τύχην σκαπάνος
ἐντυγχάνει λάρνακί τινι λιθίνῃ
νεκρὸν φερούσῃ, γράμματ' ἐγγεγλυμμένῃ

1880 σκαπανεὺς? cf. v. 1660. 1882 ἐγγλυμμένα V

bora et imperii salus; quae delevit fortiter ubique iconomachorum haereticum errorem (1860) per synodicum sanctorum patrum iudicium. ipsa iampridem cum Constantino filio imaginibus cultum adhibebat, easque debito honore prosequebatur. deinde vero consecuta imperium (1865) cunctas ecclesias inter se sociavit, scandali causa procul ablegata. Tarasium enim, perillustrem hominem, orthodoxorum dogmatum defensorem, protasecretis et gradu senatorem, (1870) venerandorum patrum suffragiis canonicoque synodi iudicio patriarchalem evehit ad sedem. tum Nicaeae patrum theologorum universale congregans concilium (1875) eos qui imaginibus cultum negabant perculit iusto fulmine anathematis, ecclesiae vetus institutum reddidit, lucem, splendorem, sanctasque imagines.

Hac imperante, in longo Thraciae muro (1880) nescio quis fossor, dum terram forte subruit, quandam offendit arcam lapideam, corpore incluso, literisque insculptis, quae aiebant Christum de Maria

λέγοντα Χριστὸν Μαρίας ἐκ παρθένου
μέλλειν τεχθῆναι, καὶ θεὸν τοῦτον σέβειν,
ἐπὶ δ' ἀνάκτων Εἰρήνης Κωνσταντίνου
πάλιν ἰδεῖν ἥλιον αὐτὸν ἀκτῖσιν.
Καὶ πυρκαϊᾶς συμβάσης ὀλεθρίας
ἀνακτόρων κέκαυτο τῆς ἐκκλησίας
Θωμαΐτης κάλλιστος ἔκλαμπρος δόμος,
ὃς ἔνδον εἶχεν ἐντεθησαυρισμένα
ὡς Μωσαϊκὰς καὶ θεογράφους πλάκας
τὰ χρυσογλώττῳ πατέρι γεγραμμένα
σεπτὰ σχεδιάσματα γραφῆς ἐνθέου,
ἔκφανσιν ἀνάπτυξιν αὐχοῦντα ξένην,
ἅτινα συμπέφλεκτο. φεῦ τῆς ζημίας.
Καὶ δρᾶμα συνέστηκεν ἐκ σκευωρίας
τῆς τε στρατιᾶς καὶ λοχαγῶν ταγμάτων
ἐν βασιλίδι συναλισθέντων πόλει
κατὰ κρατούντων Εἰρήνης Κωνσταντίνου,
οἷσπερ συνηρίθμητο καὶ Μωσηλέ τις,
ἀνὴρ στρατηγὸς δεξιὸς πρὸς μάχας,
ἄνακτ' ἀνειπεῖν Καίσαρα Νικηφόρον,
τοῦ Κωνσταντίνου πατρόθεν θεῖον μέγαν·
ὃ φωραθὲν πέπαυκε τὴν τυραννίδα,
τῶν δραματουργῶν καὶ συνιστόρων ἅμα
δίκην τισάντων σκέμματος τὴν ἀξίαν·
ὁ Μωσηλὲ δὲ καὶ Νικηφόρος Καῖσαρ
τὴν ὀμμάτων πήρωσιν ἔσχον εἰς δίκην.

1892 συγγεγραμμένα V   1901 πρὸς τὰς μάχας?

virgine naturum, seque hunc ut deum venerari, (1885) sub Constantino autem atque Irene rursus se radios solis visurum.

Exin damnificis flammis excitatis ecclesiae in patriarchio deflagravit pulcherrimum aedificium splendidumque (1890) nomine Thomaites, in quo repositae Mosaicarum instar tabularum patris Chrysostomi scripturae erant, eximiae scilicet commentationes, quae sacra biblia mire declarabant. (1895) has absumpsit ignis. proh perniciem!

Tum etiam motus seditiosus exstitit a militibus ordinumque ducibus in urbe regia conspirantibus adversus Irenem et Constantinum. (1900) horum in numero Moselus quidam erat, dux militaris, belli peritus; hique acclamabant Caesarem Nicephorum, qui Constantini magnus erat patruus. re deprehensa tyrannis oppressa est, (1905) criminis auctoribus et consciis simul debitas moliminis poenas luentibus. Moselus autem et Caesar Nicephorus lucem oculorum merito amiserunt.

Ὁ Κωνσταντῖνος σὺν προϊόντι χρόνῳ
θαρρῶν ἑαυτῷ πραγμάτων τὴν φροντίδα,
κοινωνίας ἔπαυσε μητέρα κράτους,
καὶ δείκνυται μόναρχος, οὐ καλῶς δράσας,
ὃ συμφορᾶς ἤνεγκε τῷ βίῳ βάρος
καὶ δρᾶμα πικρὸν ἀκοαῖς εὐγνωμόνων,
πᾶσαν τραγικὴν ἐκνικῶν τραγῳδίαν,
αὐτῷ δὲ τῷ δράσαντι φωτὸς ζημίαν.
αὕτη γὰρ οὐ φέρουσα πράως τὴν λύπην
φιλαρχίας ἔρωτι καὶ κράτους σχέσει,
παιδὶ σκύφον κίρνησι μεστὸν πικρίας
καὶ κυκεῶνα θανάτου πεπλησμένον,
συνίστορας ἔχουσα καὶ ῥέκτας δόλου
οὓς δωρεαῖς ἔπεισεν ἁβραῖς καὶ λόγοις,
τοὺς ταγματάρχας στρατιᾶς τούς τ' ἐν τέλει,
δι' ὧν συνέσχε καθελὼν τόνδε κράτους
καὶ φωτὸς ἠμαύρωσεν αὐτοῦ τὰς κόρας.
φεῦ οἷα ποιεῖς καὶ τυρεύεις, ὦ φθόνε,
Τελχῖνα συνέριθον αὐχῶν κακίας,
ἢ δαιμόνων κάκιστον ἀνθρωποκτόνον.
τόθ' ἥλιος φῶς, μὴ φέρων βλέπειν μύσος,
ἀμυδρὸν ἐξέλαμπε καὶ βεβυσμένον,
τὰς ἡμέρας δρῶν νυξὶ παρεικασμένας,
καὶ τοῦτο πολλῶν ἡμερῶν παρατάσει.
Οὕτω μὲν αὖθις Εἰρήνη κραταρχίαν
καὶ πραγμάτων πρόνοιαν ἔσχεν ἀφόβως·

1909 συμπροϊόντι V   1913 συμφορᾷ V

Sed Constantinus procedente tempore (1910) curam rei publicae uni sibi vindicans, communione imperii matrem submovet, fitque contra fas monarcha. quae res malorum mundo cohortem peperit ingratumque facinus piis auribus, (1915) quod quamvis tragicam vicit tragoediam, reumque ipsum oculis cassum dedit. Irene enim doloris impatientia et recipiendi imperii amore percita calicem filio parat sane amarum, (1920) mulsumque miscet morte temperatum, conscios habens doli ac ministros, quos muneribus ceperat et promissis, duces exercituum et senatores; quibus adiuta filium imperio deiicit (1925) eique exstinguit lumina oculorum. heu, quid non cogis homines, ambitio, maleficiorum socium praebens fascinum! te nihil habent daemones exitiosius. tunc sol tantum non sustinens videre crimen (1930) nonnisi hebetem lucem obscuramque emisit, diesque exhibuit noctibus persimiles; atque ita manserunt tenebrae ad plures dies.
Sic ergo imperium rursus ad Irenem rerumque arbitrium, metu remoto,

τοῦ δ' Ἀδριανοῦ πάπα θανόντος Ῥώμης
αἰδοῖος ἀνὴρ καὶ σεβάσμιος Λέων
προεδρίαν εἴληφε ταύτης ἐννόμως.
ὃν στασιασταὶ συλλαβόντες ἐκ φθόνου
ὄμματ' ἐλωβήσαντο τοῦδ' οὐκ εἰς βάθος,
σφήλαντος αὐτοῖς τοῦ θεοῦ τὰς ἐλπίδας·
ὅθεν Καρούλῳ προσρυεὶς ῥηγὶ Φράγγων,
τούτου συνάρσει λαμβάνει πάλιν θρόνον
καὶ τοὺς ὑβριστὰς ἀνταμύνεται δίκῃ.
ὃν καὶ διαδεῖ βασιλικῇ ταινίᾳ,
ἀναγορεύσας αὐτοκράτορα Ῥώμης·
ἀφ' οὗ κατέσχον βάρβαροι Φράγγοι Ῥώμην,
ἐκ Γερμανῶν ἕλκοντες ἄνωθεν γένος,
ὡς ἀνόπιν εἴρητο συγγράφοντί μοι.
Ἰταλίας μὲν τοῖς ὅροις εἰσεφθάρη
πρῶτον γένος σφῶν, ἐκλιπὸν τὴν πατρίδα,
καὶ τὴν Ἰταλῶν τοῖς ὅπλοις κατατρέχον
Ῥώμην μεγαλώνυμον ἠνία πλέον.
τοῦ δ' Ἰσαύρου Λέοντος ἄρχοντος κράτους
καὶ δυσσεβοῦντος, ὡς ἔφη φθάσας λόγος,
Ῥώμης παλαιᾶς ὁ πρόεδρος καὶ θύτης
ἀποστατήσας Γρηγόριος ἐνθέως
ζυγοῦ τε κράτους ἱερᾶς κοινωνίας
ἔξωθεν ὄντι σπένδεται Φράγγων γένει,
καὶ τὴν πρὸς αὐτοὺς συγκαταλύει μάχην.
ἐπὶ δ' ἀνάκτων Εἰρήνης Κωνσταντίνου
Ῥώμης Λέων ἔντοσθεν αὐτοὺς εἰσάγει

rediit. (1935) iam Hadriano papa Romae mortuo, vir venerabilis honorandusque Leo pontificalem rite occupavit sedem; cui seditiosi invidique homines oculum haud letaliter vulnerarunt, (1940) spe sua, volente sic deo, frustrati. is vero ad regem Francorum Carolum confugit, huiusque ope recepit sedem, maleficisque meritam inflixit poenam. quare is Carolum stemmate regali ornavit, (1945) eumque Romae imperatorem fecit. hinc tenuerunt Romam Franci barbari, qui Germanorum genere oriundi erant, quod me superius memini iam scribere. gens haec olim sua relicta patria (1950) fines Italiae primitus ingressa est, eamque armis sus deque concursans inclytae praesertim Romae molesta erat. sed enim imperante Leone Isaurico haeresimque fovente, ut iam diximus, (1955) Romae veteris primas et sacerdos Gregorius ab se reppulit divinitus iugum imperii et sacram communionem, et cum externo genere Francorum, omisso bello, pacem foedusque iniit. (1960) denique sub Irene Constantinoque regibus intra Romana moenia Francos Leo,

καὶ ταινιοῖ Κάρουλον, ὡς ἔφην ἄνω,
κἀντεῦθεν ἦρξαν τῆς ὅλης Ἰταλίας.
Κάρουλος οὗτος ἀξιωθεὶς τοῦ στέφους
ἔστειλε πρέσβεις πρὸς κρατοῦσαν Εἰρήνην,
γάμους ἑαυτῷ μνώμενος βασιλίδος,
καὶ τῇδε τυχὸν στερκτέους πεφηνότας.
καὶ τάχ' ἂν ἦκε πρὸς πέρας τὰ τῶν γάμων,
εἰ μὴ μέγα τις ἐν βασιλείοις σπάδων,
ᾧ κλῆσις Ἀέτιος, ἰσχύων τότε,
κῆδος τὸ πρὸς Κάρουλον ἴσχυσε σβέσαι,
πάντα κινήσας λίθον, ὡς παροιμία,
τῷ παρενεῖραι τῇ κραταρχίᾳ θέλειν
Λέοντα κασίγνητον ἄνευθεν φόβου.

Νικηφόρος ὁ γενικὸς ἔτη θ', ἕτεροι δὲ η'.

Ὅθεν βασιλὶς τοῖς ὅλοις μισουμένη
ἔκπτωσιν ὑπέμεινε τῆς μοναρχίας,
ἄλλου παρεισφρήσαντος αὐτῇ σὺν δόλῳ,
τοῦ λογοθέτου γενικοῦ Νικηφόρου,
ἀνδρὸς μιαροῦ, κακοήθους τοὺς τρόπους,
ἐρασιχρηματου τε καὶ φιλαργύρου,
πάσης ταμείου κακίας ἀπληστίας,
ἔφορκον ἀβέβαιον αὐχοῦντος τρόπον.
οὗτος τεμὼν ὅρκια τῇ βασιλίδι
δῆλον τιθείσῃ χρημάτων ἀποκρύφων

post v. 1974 codex mendose habet in titulo rubricato ο 'τον Γενικοῦ. sed emendatur a textu mendum marginis. M.

Carolo coronato, ut dixi, excepit; qui sic totius Italiae evaserunt domini. Carolus post receptam coronam regiam (1965) legatos misit ad Irenem principem, ut sibi conciliaret eiusdem nuptias; quae res ipsi reginae valde placuit. et nuptiae quidem fortasse peragendae erant, nisi in aula regali spado quidam, (1970) nomine Aëtius, tunc praecipue praepotens, affinitatem Caroli impedivisset omnem, ut est in proverbio, movens lapidem; nempe ut tutius Leonem fratrem suum, quod ipsi erat in votis, imperio obtruderet.

Nicephorus generalis an. 9, *vel ut alii aiunt, an.* 8.

(1975) Ergo regina Irene invisa omnibus amissionem imperii perpessa est, alio per fraudem occupante sceptrum, generali nempe logotheta Nicephoro, viro nefando, praedito malis moribus, (1980) pecuniae cupido atque opum amasio, omni malitia pleno, avarissimo, instabili periuroque et mente et lingua. hic obligata imperatrici fide opes re-

θησαυρὸν ἁβρόν, τῇδέ που κεκρυμμένων,
ἄχαρι μηδὲν μηδαμῶς πεπονθέναι,
ἐπείπερ ὑπέδειξεν αὐτῷ μυρία,
εἰς νῆσον ἐξόριστον ἐκπέμπει βίᾳ
ἐπωνυμίαν Πριγκίπου κεκτημένην.
εἶτα μετατίθησιν εἰς νῆσον Λέσβον,
ὅρκων ἑαυτοῦ μηδένα τιθεὶς λόγον·
ἔνθα περαίνει τὸν δρόμον τούτου βίου.
πανσπερμία δ᾽ ὢν παντοδαπῆς κακίας,
ἀπληστίας μάλιστα τῆς ὀλεθρίας,
κακῶν ὑπῆρξεν εὑρετὴς τελεσμάτων,
καπνικαλλήλεγγυον εἴσπραξιν νόθον
ἐπινοήσας, συντριβὴν ὑπηκόοις.
Καὶ τοῦτο δεῖγμα τῆς ἑαυτοῦ κακίας,
ὡς ἐκπλέου γένοιτο γεῦμα τοῦ πίθου.
ἀνὴρ παλιγκάπηλος, ἀφνειὸς πάνυ,
πρὸς τοῦδε κληθεὶς ἐκβιάζεται λέγειν
ἀριθμὸν αὐτῷ τοῦ προσόντος χρυσίου·
καὶ φάμενον τὸν οὐκ ἀληθεύειν φάναι.
"τοίνυν ἐπιθεὶς σὴν κεφαλῇ μου χέρα
ὄμνυε" φησὶ "κατὰ ταύτης εἰς τόσα."
ὁ δ᾽ ἕδρα βληθεὶς δειλίᾳ τὴν καρδίαν,
εἰπὼν δεκάκις χρυσίου λίτρας δέκα,
ἃς καὶ κομισθῆναί γε προστάττει τάχος·
ὧνπερ δέκα δοὺς εἶχε λοιπὰς ὁ κράτωρ,
"οὐ δεῖ τοσούτου" φάμενος "σοὶ χρυσίου."

conditas sibi revelanti, (1985) thesaurum grandem quem seposuerat, nihil molestum fore experturam, postquam illa ostendit auri acervum, protinus exsulem pepulit in insulam quam vulgo nomine indigitant Principis. (1990) inde ad aliam insulam Lesbum transtulit, nulla sacramenti ratione habita, ubi illa vitae suae cursum clausit. ipse concretus homo malitia omnigena, sed avaritia in primis pestifera, (1995) novorum tributorum inventor exstitit, velut illegitimae capnicae pensionis, excogitatae subditis molestissime.

Age iam proferam improbitatis specimen, ut gutta totius dolii gustus sit. (2000) vir dardanarius et apprime dives a rege accersitus effari cogitur quantam auri vim gestaret in loculis. is dicit; rex verum dixisse negat. "porro tuam" inquit "capiti meo manum (2005) imponens, iura per hoc quantum habeas." is paruit, animum quatiente metu, dixitque centum auri se habere libras: quas ilico ad se afferri rex mandavit; datisque decem, reliquas rex retinuit, (2010) "haud opus est tanto tibi" dicens "auro."

Οὗτος κατ' ἐχθρῶν ἐκστρατεύσας Βουλγάρων
λεηλατούντων δυτίκ' ἄττα χωρία,
μάχην συνῆψε καρτερὰν ἀντιπάλοις,
καὶ πρῶτον εὐτύχησε κατὰ βαρβάρων,
εἶτα νικᾶται κτείνεται πρὸς τῇ μάχῃ.
προσκτείνεται δὲ μυριάριθμον στῖφος
ἀνδρῶν στρατηγῶν, εὐγενῶν, τῶν ἐν τέλει·
τῆς δὲ στρατιᾶς οὐδ' ἀριθμήσαιτό τις.

Σταυράκιος ὁ υἱὸς αὐτοῦ ἔτος α', οἱ δὲ μῆνα.

Τούτου πεσόντος Βουλγάρων ἀρχηγέτης
τεμὼν κεφαλὴν καὶ λαβὼν τῆσδ' ὀστέον,
καὶ τοῦτο καλῶς σκευάσας χρυσαργύρῳ,
ἐχρῆτο λοιπὸν ὡς κύλικι, φεῦ μύσους,
ἐν φιλοτησίαις τε καὶ συσσιτίοις,
ἐπεγγελῶν ἄναξι Ῥωμαίων τάχα
κἀπὶ κατορθώματι κομπάζων μέγα.
καὶ Σταυράκιος δ' ἐν μάχῃ τετρωμένος,
παῖς τις δυσειδὴς ἀφελὴς Νικηφόρου,
ἀβέλτερός τε καὶ φρονήσεως ἄτερ,
βραχύ τι βιοὺς ἀπολείπει τὸν βίον,
φαντασίαν σχών, οὐκ ἀλήθειαν κράτους.

post v. 2018 in titulo rubricato scribitur per compendium μῆ, nihilque additur, ita ut videatur intelligendus mensis unus. attamen Zonaras regnanti Stauracio duos attribuit menses cum sex diebus. M.

Hic suscepta in Bulgaros expeditione, qui regiones hesperias incursabant, gravem cum hostibus pugnam commisit; et primum quidem barbaris superior fuit, (2015) mox victus vitam amisit in proelio. periit simul caterva plurima ducum, nobilium et senatorum. nam gregariorum numerum nemo iniverit.

Stauracius Nicephori filius an. 1, vel ut alii aiunt mense 1.

Caeso Nicephoro rex Bulgarorum (2020) caput abscidit, eiusque compagem osseam argento auroque affabre exornatam dein habuit pro scypho (heu piaculum!) in laetis coetibus atque conviviis, irridens scilicet Romanorum reges (2025) et suae victoriae plaudens magnopere. tum et Stauracius in proelio sauciatus, Nicephori invenustus et simplex filius, quin immo insipiens et intellectu carens, brevi superstes, mox vitam amisit, (2030) regni specie, non regno potitus.

Μιχαὴλ ὁ Ῥαγκαβαῖος ἔτη β΄.

Τούτου θανόντος ἀναδείκνυται κράτωρ
λαμπρὸς Μιχαὴλ τοὐπίκλην Ῥαγκαβαῖος,
ἀνὴρ τιμήεις, χαριεστάτη φύσις,
χρηστὸς τρόπους πρᾶός τε, καλῶν ἑστία,
φιλευσεβής τις, ἀγαθῶν μυρμηκιά,
ὑπέρμαχος κράτιστος ὀρθῶν δογμάτων.
οὗτος λογάδας ἀρετῆς λόγου φίλους
εὑρών, μοναχῶν τῆς μονῆς τοῦ Στουδίου,
Πλάτωνα Θεόδωρον ἅμ' ὁμογνίῳ
Θεσσαλονίκης Ἰωσήφ, καθειργμένους
ὡς ποιμενάρχῃ τῷ σοφῷ Νικηφόρῳ
μὴ συμμετασχεῖν ἀξιοῦντας μηδ' ὅλως
κοινωνίας θείας τε καὶ μυστηρίων
ἅτ' ἐκ λαϊκῶν εἰς πανύψηλον θρόνον
τῶν πατριαρχῶν ἀθρόως ἀνηγμένῳ,
καὶ τοῖσδε λοιπὸν ἐμμένειν ἠρημένους,
σπεύσας συνάπτει ποιμένι καὶ ποιμνίῳ.
ἀνδρῶν δὲ πολλῶν καινίσαι τὴν μανίαν
τὴν κατὰ σεπτῶν εἰκόνων πειρωμένων,
συσχὼν τινας σφῶν σωφρονίσας τ' αἰκίαις
ἔπεισε πάντας εὐσεβεῖν Χριστοῦ τύπον.
καί τινα δ' εὑρὼν τῶν μοναχῶν αὖ πάλιν
τῆς μητρανάνδρου παρθένου τὴν εἰκόνα
κακῶς ἀποξέσαντα, φεῦ τῆς μανίας,
γλώσσης ἀπεστέρησεν εὐθὺς ἐνδίκως.

2035 *μυρμήκια* codex, non *μυρμηκιά*. M. 2044 *πανύξηλον* V

Michael Rhancabaeus an. 2.

Stauracio exstincto successit imperator illustris Michael dictus Rhancabaeus, vir honorabilis, indoles gratissima, probis moribus, mitis, honestatis ara (2035) et religiosus bonae rei thesaurus, rectorum dogmatum defensor optimus. hic cum videret virtute ac literis insignes homines de Studii coenobio, Platonem, Theodorum cum fratre suo (2040) Thessalonicensi Iosepho, clausos carcere, quia patriarchae sapienti Nicephoro communicare prorsus recusabant sacra in synaxi atque mysteriis, quoniam laicus homo ad eximiam sedem (2045) patriarcharum subito pervenerat, atque in hoc proposito firmiter haerebant, curavit statim ut gregem pastori adiungeret. cum vero multi renovare insaniam adversus sacras molirentur imagines, (2050) ipse aliquot captis poenaque coërcitis, cunctos ad colendam adegit crucem. monacho rursus quodam deprehenso, qui deiparae virginis imaginem male dedolaverat, proh vesaniam! (2055) hunc statim lingua merito privavit.

Καὶ Μιχαὴλ δὲ στρατιὰν συναλίσας
κατὰ Μυσῶν ἔξεισι δῃούντων Θρᾴκην,
καὶ συγκροτήσας τὴν μάχην φρικαλέαν
ἧτταν ἀπηνέγκατο, Βούλγαροι νίκην,
Λέοντος ἥττης αἰτίου πεφηνότος,
ἐξ Ἀρμενίας, στρατιᾶς στρατηγέτου,
ἔρωτ᾽ ἐρῶντος δριμύτατον τοῦ κράτους.
συρρήξεως οὖν συμπεσούσης καὶ μάχης
αὐθαίρετος ῥίψασπις ὤφθη σὺν δόλῳ,
αὐτός τε φεύγων καὶ στρατιὰν προτρέπων
αὐτὸν μιμεῖσθαι προτροπάδην τε τρέχειν.
οὕτω περιέβαλεν αἰσχύνην κράτει·
ἔπειτ᾽ ἀποστὰς ἀναζώννυται κράτος.
καὶ γνοὺς Μιχαὴλ ὁ φιλοχρίστου τρόπου
ἑκὼν ὑπεξίστατο τῆς κραταρχίας,
πέμψας τυράννῳ τὰ παράσημα κράτους,
αὐτὸς δ᾽ ὑπεκστὰς γίγνεται μελαμφόρος.

Λέων ὁ Ἀρμένιος ἔτη ζ΄.

Οὕτω μὲν οὗτος σκῆπτρα λαβὼν κατέχει
σκαιὸς Λέων, θὴρ ἄλλος ἐξ Ἀρμενίας,
Ἱεροβοὰμ ἄλλος ὑπάρξας νέος,
κάκιστος ὄντως οἰκέτης καὶ δραπέτης
ἐκ Σολομῶνος δεσπότου βασιλέως
ἀποστατήσας καὶ δόλον προσαρτίσας,
μᾶλλον δ᾽ ἀποστὰς καὶ νοσήσας ἐσχάτως
κακὴν ἐπανάστασιν ἅμ᾽ ἀποστάσει,

Deinde Michael conscripto exercitu Moesos aggreditur Thraciam vastantes; cumque se horridae pugnae implicuisset, vincitur ipse, Bulgari triumphant. (2060) iam causa cladis fuit sine dubio Leo Armenia oriundus, dux copiarum et obtinendi sceptri summe cupidus; qui calente proelii discrimine sponte per dolum parmulam abiecit, (2065) fugiens ipse copiasque adhortans ad suam praecipitem imitandam fugam. sic conciliavit imperio infamiam. postea rebellans purpuram sumpsit. at Christi mores imitatus Michael, (2070) re cognita, imperio ultro se abdicavit, missis tyranno dignitatis insignibus; ipseque secedens fit atratus monachus.

Leo Armenius an. 7.

Sic iste quidem sceptrum occupavit, scaevus leo, nova belua ex Armenia, (2075) alter Hieroboam, vere novellus, pessimus famulus et fugitivus, a Salomone domino suo rege deficiens structis insuper insidiis, immo rebellans, paransque animo (2080) scelestum bellum, nedum

ὕφαλος ἀνήρ, ὀργιλώτατος, φέναξ,
μῆνιν ἐναύων εἰς φρυκτώρησιν πάθους
καὶ καταπυρπόλησιν οἷς ἔδρα χόλον,
ὄψις στυγνός τις, συννεφὴς τὰς ὀφρύας,
ἄπιστος ἦθος, ποικίλος χαμαιλέων,
κακόν τι τερμέριον εὐσεβῶν στίφει,
βαρὺς κολαστὴς μικρὰ προσκεκρουκόσι,
τοῖς προσκυνηταῖς εἰκόνος Χριστοῦ πλέον.
πλὴν πρὸς μάχας ἦν γεννάδας, τολμητίας,
θυμουργός, ὀξύς, ἀρεϊκὸς καθάπαξ,
κοινῶν τε διοίκησιν εὖ ἠσκημένος·
καὶ γὰρ στρατεύσας κατὰ Μυσῶν βαρβάρων
κατατρεχόντων γῆς ὅρους Ῥωμαΐδος
περιφανὲς τρόπαιον ἵστᾳ καὶ νίκην,
λείαν Μυσῶν θεὶς τὰ κατὰ σφᾶς, ὡς λόγος.
πρὸς δ' αὖ δικαίου καὶ νόμων ἦν τις φύλαξ,
πράγματα δημόσια καλῶς διέπων·
οὐ χρημάτων γὰρ ὠνίους ἐθναρχίας
ἢ ταγμάτων γε προυτίθει στρατηγίας,
ἢ κοινὰς ἀρχὰς πραγμάτων τε φροντίδας
ἀνδράσιν ὑπῆν μὴ πεφυκόσι νέμων,
πάσας δὲ τιθεὶς σὺν λόγῳ τε καὶ κρίσει
ἀρχαιρεσίας καὶ διοικήσεις ὅλων.
τοὺς δ' ἁρπαγαῖς χαίροντας εἶργεν ἐννόμως·
καὶ γάρ ποτ' ἀνδρὸς γαμετὴν πενεστάτου
τῶν τινὸς ἁρπάσαντος εὐγενεστάτων,
ἐπεὶ τιμωρὸς ὤπτο μηδ' ὅλως κλύων

apostasiam; subdolus homo, iracundus, fallax, confovens iram ad obsidendum facinus, ad consumendum quos odio haberet, trux vultu, adducto tristis supercilio, (2085) infidis moribus, varius chamaeleon, noxium piorum coetui portentum, gravis culparum levium punitor, maxime si quis Christi typum coleret; in pugnis tamen animosus, audax, (2090) promptus, actuosus, mavortius affatim, rei quoque publicae regendae prudens. hic armis sumptis contra Moesos barbaros, qui Romanas terras incursabant, tropaeum insigne post victoriam struxit, (2095) spoliis opimis, ut aiunt, relatis. iusti praeterea legumque custos publicam rem praeclare dirigebat; neque venales pretio praefecturas vel militares obtulit ducatus, (2100) neque civiles item magistratus viris commisit muneri ineptis, sed cum ratione rectoque iudicio officia attribuit et procurationes. raptores autem legibus coërcuit: (2105) nam et uxorem viri pauperrimi cum summas quidam sibi vindicasset, quoniam praefectus haud admissis precibus tam scelestum facinus non vindica-

ὕπαρχος οὕτω πράγματος παρανόμου,
αὐτὸς δι᾽ αὐτοῦ τὸν βιαστὴν εὐθύνει,
τὸν δ᾽ ὕπαρχον πέπαυκε τῆς λειτουργίας.
ἀλλ᾽ ἀποδεκτέα μὲν ὑπάρχει τάδε·
ἡ δ᾽ αὖ σεβάστων μανία κατ᾽ εἰκόνων
ἅπαν ὑπερβέβηκεν εἶδος κακίας.
ἔστεργε καὶ γὰρ ᾗ συνεσχέθη πλάνῃ,
εἰς ἥνπερ ἐμπέπτωκεν ἠπατημένος
πρὸς ἀμονάχων δυστρόπων λαοπλάνων,
οἷς μυσταγωγοῖς χρώμενος παραινέταις
ὡς δῆθεν ἀπόρρητα φράσειν εἰδόσιν
καρποῦ τε τοῦ πνεύματος ἠξιωμένοις,
καὶ τῶνδ᾽ ἀλιτήριος εἴξας τοῖς λόγοις,
ἀνανεοῖ κάκιστα τὴν ἐσβεσμένην
ἐκ συνοδικῆς ἀποφάσεως πλάνην,
καὶ πνεῖ σφοδρόν τι καὶ λεόντειον τάλας
κατ᾽ ὀρθοδόξων εὐσεβῶν Χριστοῦ φίλων.
καὶ ποιμενάρχην τὸν σοφὸν Νικηφόρον,
τὸ δόγμ᾽ ἀνατρέποντα τὸ βδελυκτέον,
τίθησιν ἐξόριστον ἐκβαλὼν θρόνου
εἰς Προικόνησον νῆσον Ἑλλησποντίων.
εἰς ἣν διαπόντιος ἦν ἐσταλμένος,
καὶ κατὰ τὸν πλοῦν, ὢ τεραστίου λόγου,
τῷ πνεύματι γνοὺς τὴν κέλευθον ἁγίου
Θεοφάνης πόρρωθεν, ἔνθεος λύχνος,
μονῆς προεστὼς τῆς κατ᾽ Ἀγρὸν κειμένης,
θυμιάμασιν ἡμμέναις τε λαμπάσιν

verat, ipse imperator puniit raptorem, (2110) praefectum autem officio spoliavit. atque in his quidem laude dignus Leo. sed enim odio sanctarum imaginum omnem excessit malitiae limitem. quippe hunc errorem valde amplectebatur, (2115) in quem inciderat fuco deceptus a pseudomonachis impiis impostoribus, qui ipsi in sacris aderant consiliarii, ceu nempe eventuum arcanorum conscii et sancti spiritus munere exornati. (2120) quamobrem horum instinctus sermonibus impius princeps pessime resuscitat synodico exstinctam decreto haeresim, gravem leoninamque iram spirans adversus orthodoxos pios Christophilos. (2125) et archipraesulem doctum Nicephorum, qui abominando dogmati resistebat, sede depositum pellit in exsilium ad Proeconesum insulam Hellesponticam. ad quam dum navi deportatus ducitur, (2130) mirum in cursu contigit prodigium. nam sancti viri cognito spiritaliter itinere dius Theophanes, procul licet, qui monasterio praeerat in agris posito, et ture et facibus incensis magnum (2135) prosequebatur veluti salutans

προὔπεμπεν οἷον δεξιούμενος μέγαν.
ὁ δ' ἐκ κελεύθου προσκύνησιν ἦν νέμων
τῷ τὴν προπομπὴν ηὐτρεπικότι φίλῳ.
ὡς εἰκὸς οὐκοῦν, θαυμασάντων ναυτίλων
καὶ "τίνι προσκύνησιν" εἰπόντων "νέμει;"
ἦ δ' ὃς προαθρῶν "γεννάδᾳ Θεοφάνει,
ὁμολογητῇ καὶ μοναχῶν προστάτῃ
ἀσκουμένων κάλλιστα κατ' Ἀγρὸν μέγαν."
Οὗτος κατασχὼν Μιχαὴλ τραυλὸν θέσιν,
τῶν τινὰ λαμπρῶν καὶ περιφανεστάτων
καὶ πρόσθεν οἱ φίλων τε καὶ τιμωμένων,
ἐν φυλακῇ τίθησι καὶ καθειργνύει·
εἶτα κατακέκρικεν αὐτοῦ καὶ μόρον
τὸν διὰ πυρὸς ἡ μιαρὰ καρδία.
καὶ τάχ' ἂν ἐξήνυσεν αὐτὸν αὐτίκα,
εἰ μὴ βασιλὶς εὐνέτις ἦν ἐνστάτις.
ἐπεὶ δ' ἀφείθη, καλέσας συνωμότας
συνίστορας δέσμιος οὓς ᾔδει τάχος,
σὺν σφίσι τῷ Λέοντι κάττυει λόχον.
οἳ καὶ κατ' ὄρθρον παραβυσθέντες λάθρα
τοῖς βασιλείοις παπίου συνεργίᾳ,
ἐν κληρικῶν σχήματι καὶ ξιφηφόροι,
ὡς δῆθεν ἀνοίσοντες ᾠδὰς ὀρθρίας,
σφάττουσι τὸν Λέοντα τοῖς ξιφιδίοις
ἐν τῷ νεῷ ψάλλοντα σὺν κληρουμένοις,
θείᾳ τραπέζῃ προσπεφευγότα φόβῳ,

virum. vicissim de nave hic cernuus adorabat amicum, qui transeuntem se honorabat. igitur nautis iure demirantibus, et quemnam adoraret sciscitantibus, (2140) "inclytum" inquit "vaticinans, Theophanem confessorem et monachorum praesidem, qui sanctum asceterium in agro incolunt."

Deinde Leo balbum Michaelem, splendidum virum ex optimatium numero, (2145) quem hactenus amicum in aula habuerat, vinctum carceri tradit custodiendum; mox etiam immiti animo decernit ipsi luendum igne supremum supplicium. et sine mora rem transacturus erat, (2150) nisi regina coniux intercessisset. ergo hic dimissus vinculis coniuratos advocat, notos sibi rei regendae socios, quibuscum Leoni statim struit insidias. hi sub auroram introgressi clanculum (2155) in aulam regiam, papiae favore, sub clericali veste succincti gladiis, ceu matutinis canticis daturi operam, armis eductis Leonem confodiunt psallentem in ecclesia inter clericos; (2160) qui territus ad divinum altare confu-

ἐκεῖ βιαίως τὸν βίον λελοιπότα
ἔνθα περ ἐξέβρισεν ἀσεβῶς τάλας.
Πρὶν ἢ δὲ ταῦτα συμπεσεῖν, ὦπται τάδε.
ἔδοξε μητρὶ τοῦ Λέοντος κατ᾽ ὄναρ
ναῷ Βλαχερνῶν εἰσδῦσαν παρεστάναι
γυναῖκα καταθρεῖν κοσμίαν, βασιλίδα,
λευχειμονοῦσιν ἀνδράσι τιμωμένην
δορυφορουμένην τε σὺν εὐταξίᾳ·
τὸ δάπεδον δὲ πλῆρες αἱμάτων βλέπειν,
πρὸς δ᾽ αὖ ἀκοῦσαι τῆς δορυφορουμένης
σκεῦος λεγούσης μητρὶ τοῦ βασιλέως
νέμειν πιεῖν αἵματος ἐμπεπλησμένον·
πόσιν δὲ τῆσδε παντελῶς ἀρνουμένης
γυναῖκα φάναι "σὸς δὲ παῖς οὐχ αἱμάτων
υἱόν θεόν μου προσκυνοῦντας κἀμέ γε
τίθησι πλήρεις, μαστιγῶν παρανόμως;"
ἐδεῖτο παιδὸς τοιγαροῦν στεφηφόρου
λῆξαι μανίας, μὴ κακόν τι καὶ πάθῃ·
ἀλλ᾽ ἦν ἀπειθὴς μητρικαῖς συμβουλίαις.

Μιχαὴλ ὁ τραυλὸς ἔτη θ΄.

Οὕτω σφαγέντος τοῦ Λέοντος ὡς ἔφην,
τραυλὸς Μιχαὴλ ἀναδείκνυται κράτωρ,
ἔτι σιδήρῳ τοὺς πόδας καθειργμένος
ἀναγορευθεὶς βασιλεὺς αὐτοκράτωρ·

2162 ἐξύβρισεν? 2166 γυναῖκ᾽ ἀθρόον?

giens in eo violentam pertulit necem loco, quem violaverat haereticus infelix.

Quae priusquam accideret, hoc visum accidit. mater Leonis conspexit per somnium (2165) in Blachernensi templo adstantem sibi feminam exornatam in regium morem, quam circumstabat cum decenti ordine candidatorum manipulus virorum. sed pavimentum redundabat sanguine. (2170) insuper audiit dicentem mulierem ut regis matri scyphus ad bibendum cruore plenus exhiberetur. qua talem potum prorsus respuente, mulier respondit "nonne filius tuus (2175) divinum filium meum et me colentibus plagas imponit praeter fas cruentas?" ipsa rogavit igitur regem filium scelus ut omitteret, ne quid mali accideret: verum hic maternis haud paruit monitis.

Michael balbus an. 9.

(2180) Sic interfecto, ut diximus, Leone Michael balbus procedit imperator; qui pedes adhuc pedicis conclusos gestans ad regium devenit

εἶτ' εἰς μεγάλην προσδραμὼν ἐκκλησίαν
παρ' ἀρχιθύτου γίνεται στεφηφόρος.
ἄνωθεν οὗτος εἷλκε σειρὰν τοῦ γένους
ἐκ Φρυγίας μέν, ἄστεος δ' Ἀμορίου,
ἐκφὺς πενιχρῶν ἀπόρων τε πατέρων,
ἀνὴρ ἀποφράς, δυσσεβής, πιστῶν λύμη,
βαρὺς τιμωρὸς ὀρθοδοξούντων μέρους,
πάρδαλις οἷον ποικιλόχροος σέβας,
ἄλλος χαμαιλέων τις ἀμείβων χρόας,
τῆς αἱρετικῶν παντοδαπῆς κακίας
πανσπερμία τις παμμιγὴς βδελυκτέα,
Ἀθιγγάνοις τε καὶ χριστομάχοις φίλος,
Σαδδουκαίοις μάλιστα τοῖς τρισαθλίοις
ἄλλῃ τε λοιπῶν αἱρετικῶν φρατρίᾳ.
ἔστεργε τὰ σάββατα καὶ νουμηνίας·
μέλλοντ' ἀγαθὰ καὶ παλίνδρομον βίον
καὶ τῶν προφητῶν διέσυρε τὸ στῖφος.
οὐκ ᾤετ' εἶναι δαίμονας τὸ παράπαν.
τὸν Ἰούδαν ἔφασκεν εἶναι δεκτέον.
μὴ κατὰ καιρὸν ἐκτελεῖσθαι κατ' ἔθος
πάσχα τὸ σωτήριον ἀπεφλυάρει.
πορνείαν ὠνόμαζεν οὐχ ἁμαρτίαν,
οὔτ' ἄλλο κακῶν, φιλόποινος καρδία,
θεόν τ' ὀμνύναι τῶν ὅλων παρηγγύα
ὡς μὴ τρισυπόστατον ὑμνῶν τριάδα.
οὗτος βαρὺς ἔπνευσεν εὐσεβῶν μέρει,

2199 πάλιν δρόμον V

fastigium; statimque ad magnam progressus ecclesiam (2185) ab archipraesule stemma regni accipit. hic sui trahebat generis originem urbe ex Amorio Phrygia in provincia, genitus infimis sine re parentibus. ipse vir nequam, haereticus, fidelium (2190) pestis, et carnifex partis orthodoxae; secta tam varius quam corium pardaleos, alter quin adeo discolor chamaeleon, haereticorum omnigenae malitiae cinnus atque colluvies abominabilis, (2195) Athinganis christomachisque favens, ac Sadducaeis potissime tristissimis aliisque insuper sectis haereticis, sabbata observabat et neomenias, futurae vitae bona et resurrectionem (2200) et prophetas omnes irridebat; daemonas prorsus nullos esse putabat; Iudam dicebat esse laude dignum; praeter suum tempus paschalem ritum a nobis celebrari blaterabat; (2205) scortationem negabat in culpis ponere vel quicquam esse mali furiosus homo; deum sic iurare summum suadebat, tanquam trium hypostaseon non sit trias. hic mo-

καθυποβαλὼν αἰκίαις σφᾶς ἀγρίαις
καὶ φυγαδείαις καὶ τελευταίοις μόροις
ὑπὲρ σεβαστῶν προσκυνητῶν εἰκόνων.
πρὸς τοῖσδε καθείργνυσι φωστῆρας δύο,
Εὐθύμιον Σάρδεων σὺν Μεθοδίῳ,
τύπτει τ' ἀφειδῶς μαστιγῶν πολλῶν βάρει·
ὧν Εὐθύμιος εὐψύχως φέρων πόνους
ἐναποθνήσκει βασάνοις, λαβὼν στέφος,
καθείργνυται δὲ Μεθόδιος μακρόθεν.
Ἄνακτι τῷδε Θωμᾶς τις ἀποστάτης
ἐπιφυεὶς ὅπλοις τε καὶ βαρεῖ στόλῳ
πορθῶν ἐδῄου τὰ πέριξ Βυζαντίδος,
καὶ τοῦτ' ἐπὶ μήκιστον οὐ καλῶς ἔδρα·
ὅμως δίκην ἔτισε συσχεθεὶς τάλας,
διπλοῦν ὑποστὰς ὧν ἔδρασε τὸν μόρον.
Τούτου κρατοῦντος Ἀγαρηνῶν τι γένος,
οἴκησιν ἴσχον δυτικὴν Ἰβηρίαν,
ἀρχῷ προσῆλθεν ἀξιοῦν ἀποικίαν
σφίσι παρασχεῖν εἴς τινα θέσθαι τόπον,
τοῦ δὴ κατ' αὐτοὺς ἐστενωμένου τόπου
καὶ μὴ σθένοντος σφῶν φέρειν συνοικίαν.
καὶ πείθεται φύλαρχος αὐτῶν τοῖς λόγοις,
καὶ τούσδε λαβὼν ἐξέπλευσε σὺν στόλῳ,
λαφυραγωγῶν πυρπολῶν νήσους ὅλας
καὶ πειρατικῆς ἀναπιμπλῶν ναυτίας.

2212 ὑπερσεβάστων προσκυνητάς?

lestus erat partibus orthodoxis, (2210) quas cruciatibus diris exercebat nec non exsiliis et supremis suppliciis propter augustarum cultum imaginum. praeterea comprehendit insignes duos, Sardium episcopum Euthymium cum Methodio, (2215) multoque et gravi verbere cecidit. in his Euthymius, fortiter dolores ferens, stemma lucratus moritur in cruciatu; Methodius remotum in carcerem ablegatur.

Regnanti huic Thomas rebellis quidam (2220) hostis exortus, armis et classe gravi cunctam Byzantii diripiebat viciniam; idque permulto malum duravit tempore. sed ad extremum captus infelix Thomas factorum suorum duplam persolvit poenam.

(2225) Sub hoc item rege Agarenorum quaedam tribus, occiduam incolens Iberiam, principem suum precibus fatigabat ut se in coloniam duceret ad alias terras, quoniam artiore nunc habitabat loco, (2230) qui iam non caperet incolarum numerum. paruit tribulium princeps sermonibus, impositoque in navibus populo insulas coepit depraedari, incendere, mareque opplevit piraticis navigiis. (2235) cumque

ἐπεὶ δὲ καθώρμισε τριήρεις Κρήτῃ,
τὸ πάμφορον δ' ἔβλεψε νήσου καὶ θέσιν
εὖ κράσεως ἔχουσαν ἄλλων θ' ὡρίων,
φλέγει μονωθεὶς πάντα πυρὶ τὸν στόλον·
καὶ τοῦ κατ' αὐτὸν ναυτικοῦ πεφλεγμένου
καρδίαν οὐχ ἥκιστα καύσεως στόλου,
καὶ γαμετῶν καὶ φιλτάτων μεμνημένου,
"νῦν ὑμῖν ὧδε χῶρος εἰς κατοικίαν,
γάλα μέλι ῥέουσα γῆ τις" ἀντέφη,
"ἥνπερ κατοικήσατε συσχόντες, φίλοι,
καὶ φίλτατα κτήσεσθε γήμαντες τάχα."
ἐκ τοῦδέ λοιπὸν Ἰσμαὴλ ἰσχυρὸν γένος
νῆσον κατέσχον καὶ τὰ τῆς νήσου κράτη.

Θεόφιλος ὁ υἱὸς αὐτοῦ ἔτη ιβ'.

Ὁ Μιχαὴλ δὲ τὸν βίον καταστρέφει
λιπὼν τὸ κράτος παιδὶ τῷ Θεοφίλῳ,
σέβας μὲν οὐ τρέφοντι καλὸν ἐκ νέου,
ἀλλὰ πατρῴας δυσσεβείας καὶ κράτους
ὀφθέντι κληρούχῳ τε καὶ διαδόχῳ,
μᾶλλον δὲ πολλῷ καὶ βασιλικῷ μέτρῳ
νικῶντι, καθά φασι, τὸν φυτοσπόρον
τῆς δυσσεβείας διαπύρῳ μανίᾳ,
ἣν προσκυνηταῖς ἐμπνέων ἦν εἰκόνων,
στάθμῃ δὲ δίκης ἀρρεποῦς πεφυκότι,

2246 Ἰσμαηλιτῶν γένος?

appulisset ad Cretam triremes, miratus insulae uberem naturam, temperiem aëris, commoditates ceteras; remotis arbitris classi subiecit ignem. post id, cum socia turba dolore arderet (2240) haud minus quam incendio flagrabant naves, propter uxorum ac pignorum memoriam, "nunc" ait princeps "vobis heic est manendum in regione quae lacte et melle fluit; quam ut occupetis oro vos, amici, (2245) ductisque uxoribus pignora procreetis." tempore ex illo Ismaëlis populus fortiter insulam eiusque arces tenuit.

Theophilus Michaelis filius an. 12.

Mortali Michael vita discedens imperium filio tradidit Theophilo, (2250) qui religione a pueris imbutus prava paternae visus est potentiae simul haereseosque heres et successor; immo copioso regioque modulo, ut in proverbio est, patrem superans, (2255) impietatis suae fervidum furorem contra cultores imaginum spirans. ceterum iuris incor-

καὶ τῶν νόμων φύλακι τῶν εὖ κειμένων.
καὶ τῶνδε μαρτύριον ἃ μέλλω φράσειν.
Λαμπρῶν τις ἀνήρ, σύγγονος βασιλίδος,
κλῆσιν Πετρωνᾶς, δρουγγάριος ἀξίαν,
ἐν γειτόνων γύναιον οἰκοῦν ἠδίκει
τῷ τὰς διαίτας τῶν δόμων ὑψοῦν μέγα
τῷ δωματίῳ προξενεῖν τοῦδε βλάβην.
ὃ καὶ προσῆλθε βασιλεῖ τούτου πέρι·
ὁ δ᾽ αὖ κελεύει Πετρωνᾷ λῦσαι βλάβην.
ἀλλ᾽ οὗτος αὖθις ἀδικῶν οὐκ ἀνίει.
πρόσεισι γυνὴ τῷ στεφηφόρῳ πάλιν
καταβοῶσα τῆς βίας δρουγγαρίου·
τὴν ἀδικίαν ἐκτραγῳδεῖ σὺν γόοις.
στείλας βασιλεὺς ἐξετάζει τὴν δίκην,
καὶ γνοὺς Πετρωνᾶν ὑπόδικον αἰτίαις
αἰκίζεται μάστιξιν αὐτὸν ἐννόμως,
καὶ στηλιτεύει φανερῶς ἐν τῇ πόλει,
καὶ συγκατασπᾷ τὰς διαίτας ἐκ βάθρων,
καὶ τῇ γυναικὶ τὰς ὕλας διανέμει.
Καὶ φορτίδα δὲ τῶν ἀγωγίμων πλέαν
ἰδὼν προκύψας ἐκ βασιλείων δόμων
ἐξ ἐμπορίας κατάρασαν ἀρτίως,
καὶ βασιλίδος τυγχάνειν γνοὺς φορτίδα,
ἔμφορτον αὐτὴν τῷ πυρὶ καταφλέγει,
μὴ δεῖν βασιλεῖς ἐμπορεύεσθαι λέγων,

rupti tenax iustarumque legum custos erat; cuiusce rei proferam testimonia.

(2260) Illustris vir imperatricis frater, nomine Petronas, dignitate drungarius, adversus vicinam feminam iniurius erat, cum exstruendis altius cubiculis illius domum detrimento afficeret. (2265) mulier igitur regem invocavit, qui iussit a Petrona damnum refici. hic de sua nihil remisit iniustitia. accessit ergo ad regem mulier iterum, contra drungarii vim expostulans, (2270) suamque iniuriam clamitans questa est. tunc rex submissis qui rem cognoscerent, ubi Petronam crimini affinem scivit, flagris in eum rite animadvertit, et sic punitum publice in urbe exposuit; (2275) tum aedificium a fundamentis subruit, iussitque feminae materiem attribui.

Insuper onerariam plenam mercibus navem conspicatus e regia domo, quae nuper a mercando reversa fuerat, (2280) ut hanc reginae coniugis esse audiit, ipsam cum mercibus igne consumpsit; quia reges, inquit, haud decet mercari nec dardanariorum vitam

μήτ' οὖν παλιγκάπηλον ἀνύτειν βίον,
μοίρᾳ δ' ἰδιώτιδι ταῦτ' ἀφιέναι,
ὡς ἂν ἀφορμὰς συμπορίζωνται βίου.
Ἀλλ' ὡς δικαίου διάπυρος ἦν φίλος,
οὕτως ἐπαχθὴς καὶ δύσοργός τις λίαν
τιμωρὸς ὑπῆν εὐσεβεῖν ᾑρημένοις.
ἐλύττα καὶ γὰρ κατὰ σεπτῶν εἰκόνων,
καὶ προσκυνητὰς ἱερῶν μορφωμάτων,
ἄνδρας ἁγίους, ἀγγελικοὺς τὸν βίον,
ὡς δυσμενεῖς τε δυσσεβεῖς στυγητέους
πάσαις ἐκάκου τῶν λυπηρῶν ἰδέαις,
μηδὲν προλείπων εἶδος ἀπανθρωπίας,
ᾔκιζετ' ἀπήλαυνε κατεπυρπόλει,
εἱρκτῇ ζοφώδει κατέκλειε δεσμίους,
βυθοῖς ἐδίδου καὶ μακραῖς κακουχίαις,
ἔστιζεν ὄψεις. ὢ ξένης τιμωρίας.
καὶ ταῦτα ποιῶν ἐκμανῶς Σατὰν λάτρις
αὐτῷ δοκῶν ἦν τὰ θεῷ πράττειν φίλα
ἢ καὶ λατρείαν τῷδε δεκτὴν προσφέρειν,
ᾗ φησὶ Χριστὸς ἐν λόγοις εὐαγγέλοις.
ταῦτ' ἄρα πλείστους ἐνθέως ἠνδρισμένους
καὶ χριστομάχον τοῦδ' ἐλέγξαντας πλάνην
μόρῳ παραδοὺς μάρτυρας ἀπειργάκει.
ἄλλοι δ' ἐναπέμειναν ἀλεῖπται βίῳ,
οἷς Μεθόδιος συνάριθμος τυγχάνει
καὶ Θεοφάνης σωφρόνως στιγματίας,

sequi, sed privatorum id conditioni relinquere, (2285) ut hinc tuendae vitae copiam habeant.

At quantum iusti fervidus amans erat, tantundem gravis iracundusque erat adversus verae religionis asseclas: sacrarum etenim odio imaginum (2290) imbutus, quicunque his adhibebant honorem, sanctos vitaque angelica viros praeditos, velut hostes impios abominabiles, omni affligebat molestiarum genere, nullam omittens saevitiae speciem. (2295) cruciabat igitur, pellebat in exsilium, urebat, caeco vinctos tenebat carcere, mergebat aquis, longis urgebat poenis, faciem compungebat. o supplicium novum! quae patrans hic furiosus satanicola (2300) sibi videbatur rem deo acceptam facere ipsique gratum exhibere famulitium, ut ait Christus in sermone evangelico. sic ergo plurimos decertantes fortiter scelestamque huius arguentes haeresim, (2305) morte damnatos efficiebat martyres. aliquot tamen martyrii hortatores supervixerunt, in quibus Methodius, Theophanesque

καὶ ζωγράφος Λάζαρος καυθεὶς τὰς χέρας,
αἷς εὐχερῶς ἔγραφεν εἰκόνας πάλιν.
Θεόφιλος σχεῖν σύζυγον βίου θέλων,
κοινωνὸν ἅμα τοῦ κράτους καὶ τοῦ λέχους,
χορὸν συνῆξε παρθένων πολλαχόθεν,
καλῶν ἁπασῶν, ὄψιν εὐπρεπεστάτων·
ἐν αἷσπερ ἐξέλαμπε τῶν ἄλλων πλέον,
οἷος σελήνης πλησιφαοῦς τις κύκλος,
σώματος ὥρᾳ, λαμπρότητι τοῦ γένους
καὶ μαρμαρυγαῖς τῶν λόγων Εἰκασία.
χρυσοῦν τι μῆλον ἀμέλει φέρων ἄναξ
περιπολῶν ἦν τὸν χορὸν τῶν παρθένων,
μνῆστρον σκοπῶν δοῦναί τι τοῦτο φιλτάτῃ.
ὡς οὖν θεᾶται παριὼν Εἰκασίαν,
κάλλους περιττοῦ θαυμάσας κόρην ἔφη
"διὰ γυναικὸς φαῦλα πάντ' ἀπερρύη."
ἡ δ' ἠρέμ' ἀντέφησεν εὐστόχως ἄγαν
"ἀλλ' ἐκ γυναικὸς πηγάζει καὶ βελτίω."
ὁ δ' αὖ παρῆλθε θαυμάσας τὴν παρθένον,
καὶ δοὺς τὸ μῆλον παρθένῳ Θεοδώρᾳ,
χώραν ἐχούσῃ πατρίδα Παφλαγόνων,
πλὴν εὐπατριδῶν πατέρων κατηγμένῃ,
κοινωνὸν αὐτὴν ἄγεται κράτους λέχους,
τὴν Εἰκασίαν παραβλέψας, ὡς ἔφην.
ἣ μὴ τυχοῦσα κοσμικῆς σκηπτουχίας

2316 *οἷα?*

honesto compunctus stigmate, et pictor Lazarus, qui perustis manibus (2310) belle tamen rursus pingebat imagines.

Iam Theophilus appetens vitae sociam, imperii simul torique participem, chorum undecunque collegit virginum, quarum etsi nulla non erat formosissima, (2315) inter has tamen magis emicabat, qualis est lunae cumulatus orbis, venusto corpore et generis splendore, sermonisque etiam dignitate Icasia. aureum ergo pomum manu gerens (2320) chorum virgineum rex circumibat, ut hunc gratissimae daret arrhabonem. ut autem vidit in transitu Icasiam, formam eximiam mirans puellae, ait "cuncta obvenerunt mala per mulierem." (2325) illa submisse, sed prudenter admodum, "atqui ex muliere meliora manant" ait. rex admiratus virginem praeteriit; pomoque tradito virgini Theodorae, patriam quidem habenti Paphlagoniam, (2330) sed de patriciis genitae parentibus, hanc simul imperii torique participem fecit, praeterita, ut iam dixi, Icasia; quae ubi

οὐ νυμφίου τε γηγενοῦς βασιλέως
πλουτεῖ νοητὸν παντάνακτα νυμφίον
καὶ βασιλείας οὐρανῶν κληρουχίαν,
μονάσασα δὲ καὶ μονὴν δειμαμένη
ἠσκεῖτ' ἐν αὐτῇ, προσλαλοῦσα ταῖς βίβλοις·
ἧς μεστὰ συγγράμματα χαρίτων ἔφυ.
Ἡ δὲ βασιλίς, ἡ θεοῦ θεία δόσις,
στέργουσα κρύβδην εἰκόνας σεβασμίας
κατεῖχεν ἔνδον εὐλαβῶς κιβωτίου,
μανίαν ἐκκλίνουσα τοῦ συνευνέτου
ἥνπερ προσῆγε προσκυνηταῖς εἰκόνων.
καὶ δή ποτ' αὐτῆς προσκυνούσης εἰκόνας
αἴσχιον ἀνδράριον αὐτοῦ Θερσίτου,
παράφορον νοῦν καὶ παρακεκομμένον,
ἀνακτόροις ἄθυρμα ψυχαγωγία,
ἠρώτ' ἐπιστὰν "τί τάδ' ἔστιν, ὦ μάνα;"
οὕτω γὰρ ὠνόμαζε τὴν βασιλίδα.
ἡ δ' ἀφελῶς εἴρηκε "καλὰ νινία."
ἐκεῖθεν οὖν ἔδραμε πρὸς βασιλέα
ἐκεῖνο τἀνθρώπιον, ὡς εἴθιστό οἱ.
ὁ δ' ἤρετ' ἐξ ὅτου περ ἥκει καὶ πόθεν·
τὸ δ' ἐκ μάνας ἔφησεν ἥκειν ἐνθάδε,
καὶ τήνδε καλὰ προσκεκτῆσθαι νινία.
συνεὶς βασιλεὺς εἰκόνας τὰ νινία,
θυμοῦ πνέων ἄπεισι πρὸς βασιλίδα
καὶ λοιδορεῖται καὶ καθικνεῖται λόγοις.

2345 εἰκόνων V   2354 ἤρετο et ἥκειν V

mundanum non est adepta sceptrum terrenique regis nuptiis excidit, (2335) spiritalem et omnium regem sponsum lucrata est et caelestis regni sortem. monialis enim, condito monasterio, in hoc se exercuit literis dans operam; eiusque exstant pleni lepore libri.

(2340) At imperatrix, inclytum dei donum, sacras imagines clanculum colens, servabat reverenter in arca conditas, insanum odium coniugis declinans, quo cultores imaginum prosequebatur. (2345) cumque illa aliquando has ipsas coleret, homuncio quidam Thersite deformior, dementi mente praeditus et insipiens, regii palatii ludicrum ludibrium, rogavit adstans "quid hae sunt, o Mana?" (2350) hoc enim nomine reginam appellabat. illa pure respondit "sunt pulchrae pupae." protinus ad regem illinc cursu concito homuncio ille venit pro more suo. rex sciscitatur undenam ipse veniat; (2355) vesanus illinc sese redire ait, et reginam possidere pulchras pupas. rex pupas intelligens esse imagines, ira inflammatus pergit ad reginam, eamque obiurgat, compellans verbis asperis.

ἡ δ' ἦν σοφιστὴν ἀπατῶσα κακίας,
τὰς ἐν κατόπτροις ἐμφάσεις λέγουσά πως
μορφῆς ἐμῆς ἰδεῖν τε φράσαι νινία.
οὕτω θυμοῦ σβέννυσιν εἰποῦσα φλόγα.
Οὗτος βασιλεὺς Θεόφιλος πολλάκις
καὶ δι' ἑαυτοῦ καὶ στρατηγῶν ταγμάτων
ἄλλων τε πολλῶν ἀνδρικῶν εὐκαρδίων,
Μανουὴλ δ' οὐχ ἥκιστα καὶ Θεοφόβου,
μάχας κατώρθου, κτιννύων ἀντιπάλους·
ἤστην γὰρ ἄμφω δεξιὼ ῥωμαλέω
καὶ τῶν κατὰ σφᾶς οὐδενὸς λελειμμένω
εὐανδρίαις τε καὶ καλαῖς στρατηγίαις.
καὶ χεῖρα δ' εἶχε φιλότιμον, πλουσίαν,
εὐεργετικήν, φιλόδωρον εἰς ὅλους·
ὅθεν ξενῶνα καὶ φαεινὸν καὶ μέγαν
εἰς ἀνάπαυμα τῶν ξένων ἀπαρτίσας
κλῆσιν ἑαυτοῦ τῷ δομήματι νέμει,
οἶκον γυναικῶν ὄντα τὸ πρὶν ἀσέμνων.
ἥττητο δ' οὐδὲν ἀφροδισίων σφόδρα,
τῇ σωφροσύνῃ προστετηκὼς ἐκτόπως.
Ἀλεξίῳ δὲ τῷ Μωσηλὲ τοὐπίκλην,
ἐξ Ἀρμενίων Κρηνιτῶν λαμπροῦ γένους,
ἀνδρὶ στρατηγῷ γεννάδᾳ ῥωμαλέῳ,
μετὰ χαρίτων ὄψιν ἠγλαϊσμένῳ,
Μαρίαν συνῴκισε τὴν θυγατέρα,
τιμήσας αὐτὸν ἀξίᾳ τῇ Καισάρων,

(2360) ipsa cavillatorem decipiens improbum, ait se in speculo contemplantem spectra, formam suam appellasse puparum nomine. sic elocuta regis exstinxit iram.

Rex hic Theophilus saepenumero (2365) tum per se ipse tum per duces bellicos, quos multos habuit forti animo praeditos, Manuelem praesertim ac Theophobum, feliciter bellavit cum hostium caede. ambo enim erant dextri fortesque, (2370) neminique cedebant suorum temporum strenuitate vel arte imperatoria. ipse Theophilus liberalem manum munificamque omnibus porrigebat. quare etiam hospitium splendidum magnum (2375) ad peregrinos excipiendos exstruens suimet aedificio nomen indidit, quod antea fuerat scortorum lustrum. nec rei venereae prorsus erat obnoxius, sed castimoniae studebat mirifice. (2380) Alexio autem cognomento Moseli, ex Armeniorum Crinitarum claro genere, strenuo viro et duci magnanimo et venustate vultus exornato, Mariam filiam nuptiis copulavit, (2385) addito honore tituli Cae-

καὶ σὺν στόλῳ πέπομφε πρὸς Λογγιβάρδους.
φθονουμένου δὲ τοῖς κατ' αὐτὸν ἀνδράσι
καὶ τῷ βασιλεῖ γ' ἐνδιαβεβλημένου,
διαβολῶν σύζυγος ἦν ζῶσα λύτις·
ἐπεὶ δ' ἐκείνη κατέλιπε τὸν βίον,
εὐθὺς περιφάνειαν ἐκλιπὼν βίου
Καίσαρος ἀξίαν τε, συγγενεῖς, φίλους
ἄλλα τε πάντα καὶ πλέον τύρβην βίου,
τὸ κατὰ Χριστὸν ἀμφιέννυται ῥάκος,
καὶ τρίχα καρεὶς τὴν μονὴν ὑπεισέδυ
ἣν αὐτὸς ἀνήγειρε, τὴν Ἀνθεμίου·
ἐν ᾗ μονάζων καταλύει τὸν βίον.
Τοῦ δ' Ἀμορίου πατρίδος Θεοφίλου
ταῖς Ἀγαρηνῶν στρατιαῖς ἡλωκότος,
ἀπειραριθμήτου δὲ κτανθέντος στίφους,
καὶ πλῆθος ἤλω μυριάριθμον τότε
ἀχθὲν δορυάλωτον αὐτοῖς βαρβάροις,
ἐν οἷς στρατηγοὶ τῶν ἐκεῖθι ταγμάτων,
δεκὰς τετραπλῇ σὺν ἁπλῇ ξυνωρίδι,
οἳ μαρτύρων εὕραντο καὶ στέφη τέλος.
ὧνπερ χάριν πέπομφε πρέσβεις ὁ κράτωρ
ἀπαγγελοῦντας τῷ κρατοῦντι Περσίδος
δοῦναι λαβόντα λύτρα τὴν λύσιν σφίσιν
κεντηνάρια πρὸς τέτρασι δὶς δέκα.
ἀλλ' οὐ προσέσχεν ἀκοὴ φαύλη λόγοις.
ὅθεν βασιλεὺς ἐκτακεὶς μακρᾷ λύπῃ
νοσήσας ἀπέρρηξε κακῶς τὸν βίον,

sarei; misitque cum classe contra Longobardos. sed enim invidente comitatu atque apud regem calumniante Caesarem, uxor dum vixit, calumnias dispulit. (2390) sed postquam illa vitam deseruit, statim Alexius mundi se pompa abdicans, Caesarea dignitate, propinquis, caris, profanique omni tumultu saeculi, pauperem Christi exemplo saccum induit, (2395) coenobiumque tonsa coma ingressus est Anthemii, quod ipse construxerat, ibique monachus vitae confecit cursum.

Exin Amorio, Theophili patria, Agarenorum capto exercitibus, (2400) innumerabilis turba gladio periit, aliaque plurima servituti addicta ad barbaros iure belli abacta est; atque in his erant legionum duces illic bellantium quadraginta duo, (2405) qui etiam martyres denique evaserunt. hos ut redimeret rex legationem misit, significantem Persidis tyranno ut hos dimitteret acceptis redimiis centenariis quattuor cum viginti. (2410) sed verba respuerunt aures barbarae. quare imperator longo maerore affectus, contracto morbo misere ab-

πολλὰ δεηθεὶς συζύγου τῶν τ' ἐν τέλει
καθαιρέσει στέργοντας εἰκονισμάτων
τὸν Ἰωάννην λύκον, οὐχὶ ποιμένα,
ἐᾶν καθέδραν κατέχειν ἐκκλησίας.

Μιχαὴλ ὁ υἱὸς Θεοφίλου σὺν τῇ μητρὶ Θεοδώρᾳ καὶ αὖθις μόνος. ὁμοῦ ἔτη κε'.

Εἶτα κραταρχεῖ τοῦ κράτους Θεοδώρα
σὺν παιδί, βραβεύουσα γαλήνης δόσιν·
ἧς πρῶτον ἔργον κατάγειν τοὺς φυγάδας
τούς τ' ἐν φυλακαῖς ἐκλύειν καθειργμένους,
νεῖμαί τε παῦλαν τοῦ διωγμοῦ καθάπαξ.
μετὰ δ' ἀναστήλωσιν ἔσπευδε δρᾶσαι
τῶν ἱερῶν τε προσκυνητῶν εἰκόνων.
εἶτα κατάγει τοῦ θρόνου Ἰωάννην,
ἀντεισάγει δὲ Μεθόδιον ἀξίως,
οὗ προστατοῦντος ὀρθοδόξων τοῦ στίφους
καθίδρυσις γένοιτο σεπτῶν εἰκόνων
εἰς τοὐμφανές τε προσκύνησις τοῖς ὄχλοις.
τόθ' ἡ βασιλὶς ποιμεναρχῶν πληθύος,
πρὸς δ' αὖ λογάδων ἐνθέων μονοτρόπων
δεῖται λιπαρῶς τοῦ ξυνευνέτου χάριν,
ὡς ἂν ὑπ' αὐτοῖς διαλλακταῖς εὐχέταις
θεὸς βασιλεῖ Θεοφίλῳ πταισμάτων
καὶ χριστομάχου τῆς πλάνης λύσιν νέμοι,
συγγνωμονήσας ὡς συμπαθὴς δεσπότης,

2414 *στέργοντας τῶν εἰκ.* V

rupit vitam, uxorem atque optimates valde exorans ut abolendas curarent imagines, (2415) atque ut Ioannem lupum, non pastorem, ecclesiae cathedram retinere sinerent.

Michael Theophili filius cum Theodora matre, rursusque solus. summa an. 25.

Postea cum filio regnat Theodora, quae pacis reddidit imperio donum. in primis enim exsules reduxit, (2420) quique tenebantur vinculis emisit liberos, persecutionis cursum omnino inhibens. mox properavit cultui proponere sacras ac venerabiles imagines. deinde eiecto de sede Ioanne (2425) illi Methodium digne substituit, quo praesidente orthodoxis partibus augustarum imaginum fieret restitutio, easque publice populus adoraret. tunc imperatrix episcoporum coetum (2430) nec non sapientium hieromonachorum enixis precibus pro defuncto coniuge oravit, ipsis ut intercedentibus deus augusto Theophilo culparum erroris que haeretici veniam concederet, (2435) misericordia flexus ceu mitis

καὶ τῶνδε προσχὼν ταῖς λιταις εὐξαμένων,
οἷα Θεὸς φίλοικτος εὔσπλαγχνος φύσει,
ὡς πρὶν Μανάσσην ἀξιοῖ σωτηρίας.
Ὁ δ' ἐνδίκως ἔκπτωσιν ὑποστὰς θρόνου
γόης Ἰαννῆς, ἐν μονῇ που διάγων
Χριστοῦ τε μητρὸς τοῦδε λαβὼν εἰκόνας,
ὄμματ' ἀπεμαύρωσε τῶνδ' ὁ μαινόλης·
ὅπερ μαθοῦσα βασιλὶς τρισολβία,
ζήλου φλεχθεῖσα τῷ πυρὶ τὴν καρδίαν,
τοῦδ' ἐκκοπῆναι τὰς κόρας τῶν ὀμμάτων
εἰς ἔκτισιν ἔνδικον εὐθὺς ἠξίου.
ὁρμῆς δ' ἀνείρχθη ταῖς τινῶν συμβουλίαις·
πλὴν πέμψασ' ᾐκίσατο τοῦτον σκυτάλῃ,
πληγαῖς μακραῖς κόψασα τοῦδε σαρκίον.
Ταύτης κρατούσης Βουλγάρων ἀρχηγέτης,
μαθὼν γυναικὶ σὺν ἁπαλῷ τεκνίῳ
τὴν Ῥωμαϊκὴν ἡγμένην αὐταρχίαν,
σπονδῶν δράσειν σύγχυσιν ἠπείλει μέγα,
ἃς εἶχε συνθεὶς ἄνακτι τῶν Αὐσόνων
καὶ καταδραμεῖν τοὺς ὅρους Ῥωμαΐδος.
πρὸς τόνδε φάναι τὴν βασίλισσαν λόγος

2438 hunc merito recenset inter Graecorum errores Allatius in tractatu de lib. eccl. Graecor. p. 117 sqq. citatque falsae sententiae auctores Synaxarium, Nicephorum, Zonaram, Constantinum Manassem, Gennadium aliosque anonymos; quibus nunc accedit Ephraemius. perniciosum errorem ego ipse nuper refutavi in annotationibus ad orationem Blemmydae a me editam in Vaticanae collectionis secundo volumine. est autem hoc in loco ineptum Manassis exemplum, viventis scilicet hominis in terreno carcere comparatio cum anima corpore soluta infernisque poenis, quas evangelium aeternas esse affirmat, addicta. M.

dominus. horum reapse precibus aures praebens Theophilum misericors clemensque deus, ceu quondam Manassem, salute dignatus est.

Interim is qui sede merito exciderat, (2440) planus Ioannes, in monasterio degens Christi matrisque eius imaginibus forte deprehensis oculos furiosus eruit. quo audito scelere inclyta regina, zeli vicissim flammis cor perusta, (2445) impio pupillas excuti oculorum iusto talione protinus imperavit. verum quorumdam prohibita consiliis, mittens armatos scutica ministros, multis verberibus corpus illi contudit.

(2450) Hac imperante Bulgarorum dominus, audiens mulieri teneroque puero Romani imperii regimen commissum, magnopere minabatur se abrupturum foedera quae sibi cum Caesare intercedebant, (2455) et Romanos fines incursaturum. tunc huic reginam sic rescripsisse aiunt "equidem

"Θεῷ δὲ κἀγώ, συντρίβοντι τὰς μάχας,
θαρροῦσα πάντως ἀντιτάξομαί γέ σοι·
κἂν μὲν νικήσω σὺν θεῷ μαχουμένη,
μέγαν ὀφλήσεις τὸν κατάγελων ὅλοις·
εἰ δ' αὖ νικήσεις, οὐ τὸ νῖκός σοι μέγα
γυναῖκα νικήσαντι θήλειαν φύσιν."
ὡς οὖν τάδ' ἀπήγγελτο μυσαρχηγέτῃ,
ὑφῆκεν ὁρμῆς, τὴν ὀφρὺν κατασπάσας,
ἀνανεοῖ τε τὴν πρὶν εἰρήνην πάλιν.
Ἀλλὰ καλὸν πῶς πόθεν λόγῳ φράσαι
εἰς πίστιν ἧκεν εὐσεβῆ Μυσῶν ἔθνος.
γυνή τις ὄντως εὐγενὴς ἐκ Βουλγάρων,
ὅμαιμος οὖσα τοῦ Μυσῶν ἀρχηγέτου,
ἤχθη δορυάλωτος εἰς Κωνσταντίνου·
ἥ γ' ἐνδιατρίβουσα τοῖς ἀνακτόροις
βαπτίσματι πρόσεισι τῷ σωτηρίῳ,
τὸ Χριστιανῶν ἐκδιδαχθεῖσα σέβας,
καὶ γνῶσιν ἔσχε γραμμάτων Ἑλληνίων.
αὕτη λυθεῖσα παρακλήσει συγγόνου
καὶ τῷδ' ὀφθεῖσα, Χριστιανοὺς ὡς δέον
ὑπῆρχε θαυμάζουσα σεμνύνουσά τε,
καὶ τόνδε βαπτίσματος ἔνθεον χάριν
ἔπειθε λαβεῖν ταῖς καλαῖς συμβουλίαις.
ὁ δ' ἦν τέως ἄτεγκτος οὐδ' εἴκων λόγοις·
ἐπεὶ δ' ἐπεισέφρησε λοιμὸς Βουλγάροις,
οὐκ ἦν δὲ λύσις οὐδὲ φυλὴ τῆς νόσου,

2466 πῶς καὶ πόθεν? 2482 παῦλα?

cum deo proeliorum arbitro prorsus aperto Marte resistam tibi. quodsi, avente deo, superior fuero, (2460) tu quidem orbi cuncto risui eris: sin contra viceris, laus tua levidensis erit victoriam de muliere rettulisse." haec ubi relata sunt Moesorum duci, is suum impetum superbiamque fregit, (2465) pacisque veteris renovavit foedera.

Sed est praeclarum verbis iam referre quomodo gens Moesorum ad fidem venerit. femina apprime nobilis ex Bulgaris, natura soror principis Moesorum, (2470) Cpolim captiva ducta est. haec autem degens regio in palatio ad salutare lavacrum accessit, edocta Christianorum religionem simulque literis Graecis erudita. (2475) haec deinde dimissa rogante fratre, atque ad hunc reversa, Christianos, ut par erat omni verborum magnificabat honore; atque ut baptismatis gratiam reciperet, fratrem egregiis hortabatur monitis. (2480) sed is loquentem immota mente audiebat. verumtamen cum Bulgaros corripuisset pestis, nullumque ad-

θεὸς δὲ λυτὴρ ὤπτο λοιμοῦ παμφάγου,
προσχὼν γυναικὸς ταῖς λιταῖς χριστωνύμου,
ἔγνω θεοῦ δύναμιν ἄμαχον τέως,
καί οἱ σταλῆναι ποιμενάρχην ἠξίου·
παρ' οὗ σταλέντος καὶ μυεῖται κατ' ἔθος
καὶ λαμβάνει βάπτισμα τῆς ἀφθαρσίας.
οὗ χάριν ἔθνος ἐκμανὲν τὸ Βουλγάρων
ἀρχηγέτην σφῶν ἀνελεῖν τόνδ' ἠξίουν·
ἀλλὰ πεποιθὼς σταυρικῇ παντευχίᾳ
ἥττησεν αὐτοὺς συμπλακεὶς κατὰ κράτος,
καὶ τόνδε πάντες εὐσεβοῦσι τὸν τρόπον,
βάπτισμα θεῖον προφρόνως δεδεγμένοι.
  Ἕως μὲν ὑπῆν ἐγκρατὴς αὐταρχίας
ἡ Θεοδωρώνυμος, ἀνασσῶν κλέος,
εὖ εἶχε τὰ πράγματα τῇ Ῥωμαΐδι·
ἐπεὶ δ' ὑπεξίστατο παιδὶ τοῦ κράτους,
ἅπαντα πεπλήρωτο τῆς ἀκοσμίας,
σωροὺς Μιχαὴλ χρημάτων καὶ πραγμάτων
ὅλαις ἁμάξαις ἐκκενοῦντος ἀφθόνως
κώμοις μέθαις κόλαξιν, ἔργοις ἀτόποις·
ὃς ἐκ χρυσοῦ πλάτανον εὖ εἰργασμένην
γρῦπάς τε διττοὺς καὶ λέοντας αὖ τόσους
εἴδη τε πλεῖστα παντοδαπῶν κοσμίων,
εἰς κόσμον εἰς ἔκπληξιν ὄντα τοῦ κράτους,
χωνείᾳ παρέδωκεν ἐξ ἐμπληξίας.
  Ἄναξ Μιχαὴλ οὐκ ἔχων ἐξ ὀσφύος

esset remedium mali nisi deus fieret summi exitii aversor, Christianae princeps feminae preci annuens (2485) agnovit dei virtutem insuperabilem, sibique mitti postulavit episcopum; a quo superveniente initiatur rite, et lavacrum recipit incorruptionis. ob id Bulgaricus efferatus populus (2490) principem suum molitus est occidere: sed enim fretus validis crucis armis rebelles conserta princeps pugna domuit. tunc omnes vera pariter fide imbuti dium libentes baptisma receperunt.

(2495) Igitur quoad praefuit imperio reginarum gloria Theodora, Romanae res feliciter se habebant: sed postquam summa cessit potentia in filium, susque deque permisceri coeperunt omnia. (2500) pecuniae opumque Michael acervos totis, ut aiunt, plaustris effundebat, comissans, potans, inter palpones graecans. idem etiam platanum affabre ex auro factam duosque grypes et leones totidem (2505) atque aliam plurimam variam supellectilem, quae dignitati regiae ornamento erat, stulte conflavit, ut pecunia fieret.

Rex Michael, quoniam ex proprio genere non suppetebat regni

κληροῦχον ἀρχῆς καὶ διάδοχον κράτους,
ἄνακτα Βασίλειον Αὐσόνων στέφει,
συζεύξας αὐτῷ πρὸς γάμου κοινωνίαν
αὑτοῦ παλλακήν, Ἴγκερος Εὐδοκίαν.
χώρας δ' ὁ Βασίλειος ἐξέφυ πάλαι
Μακεδονίας, ἐξ ἀσήμων πατέρων
αὐτουργίᾳ τε χρωμένων γεωργίᾳ,
ἰσχυρὸς ἀνήρ, δεξιός, ῥωμαλέος,
εὐῆλιξ, ἡβῶν, εὐπρόσιτος, δασύθριξ,
ψυχὴν ἀγαθός, τὰς φρένας ἐρρωμένος·
ᾧ πολλ' ἐμνᾶτο σύμβολα κραταρχίαν
εὐθὺς ἀπ' αὐτῆς παιδικῆς ἡλικίας,
ἀφ' ὧν βράχιστα σημανῶ στιχουργίᾳ.
Θέρους βρεφικῶς τῷδ' ὑπ' ἀκτῖνα πάλαι
ὑπνοῦντι, καθὰ γηπόνων ἔθος τέκνοις,
ἐπικαταπτὰς ἀετός, θαῦμα ξένον,
σκιὰν ἀνεὶς πτέρυγας ἕδρα τῷ βρέφει.
περὶ βρέφους ἔδεισε μήτηρ ἐκτόπως,
τὸν ἀετὸν βλέψασα μὴ κατ' ἐλπίδας
σκιὰν σχεδιάζοντα τῷ βρεφυλλίῳ,
καὶ τόνδε λίθοις ἀπελαύνει μακρόθεν.
καὶ τῆσδ' ἀπούσης ὄρνις ὡς πρὶν κατέπτη,
τελῶν τὸ λειτούργημα παιδίῳ πάλιν·
καὶ πάλιν ἀπήλαυνεν ἡ γειναμένη.
καὶ τοῦτ' ἐδρᾶτο πολλάκις τῆς ἡμέρας.
Ὡς δ' ἐφήβων ἥψατο τῆς ἡλικίας,
ἀγνώς τις ὢν ἅπασιν, ἐσχάτως πένης,

successor heres, (2510) Romanorum regem Basilium creat, eique nuptiis copulat Eudociam Inceris filiam, concubinam suam. patria Basilii Macedonia fuit, ubi ex obscuris natus est parentibus, (2515) qui manu propria agrum excolebant, vir fortis, dexter, viribus praepollens, aetate florida, bene comatus, blandus, et bono animo et mente constanti praeditus. huic multa imperium portenderunt (2520) signa iam inde a teneris unguiculis, ex quibus dicam carmine pauca admodum.

Aestivo tempore radiis sub solaribus dormienti, uti mos est rusticorum liberis, advolans aquila, mirum prodigium! (2525) umbram expansis alis puero praebuit. tunc filio timuit mater vehementer, aquilam videns praeter exspectationem umbram tenello infanti suppeditantem; lapidumque iactu procul abigebat avem. (2530) matre recedente aquila rursus advolat, atque suum puero praebet ministerium. rursus hanc mater abigit; idque saepe per vices illa die factitatum fuit.

Ut vero e pueris excessit Basilius, (2535) omnibus ignotus atque egen-

βαδίσας ἧκε πρὸς πόλιν Κωνσταντίνου,
ὡς ἂν ὑπάρξας τῶν τινὸς θὴς εὐπόρων
ζωὴν τὰ συνέχοντα κτῷτο προσφόρως.
πόλιν δ' ὑπεισδὺς κατέδαρθεν ἑσπέρας
Διομήδους μάρτυρος ἐν ναοῦ πύλῃ
ὥς τις πενιχρὸς εὐτελὴς νεανίας.
ὄναρ δ' ὁ μάρτυρ ἐμφανίζεται νύκτωρ
τινὶ καθ' ὕπνους τῶν ἔσω νεωκόρων,
καί οἱ τὸν ἐκτὸς ἐγκελεύεται τάχος
εἰσαγαγεῖν ἄνακτα τῆς πύλης ἔσω.
ὁ δ' ὑπεξελθὼν καὶ Βασίλειον μόνον
εὑρὼν ὑπνοῦντα κατὰ λιτοῦ δαπέδου,
πύλην ὑπῆλθε τοῦ νεὼ καὶ τὸν δόμον,
δόξας ὄναρ φάντασμα μάταιον πέλειν.
καὶ πάλιν εἶχε τὸν νεωκόρον κλίνη,
καὶ πάλιν ὄψις ταὐτά οἱ παρηγγύα·
καὶ πάλιν ἐξέδραμε τῆς πύλης τάχος,
καὶ Βασίλειον εὗρεν ὑπνοῦντα μόνον.
ἐπεὶ δὲ τρὶς γένοιτο ταῦτα κατ' ὄναρ
καὶ σύνεσις ἦν οὐδαμοῦ νεωκόρῳ,
δηλοῖ τὸ τρίτον ἐμφανῶς μάρτυς λέγων
εἶναι τὸν ἐκτὸς κείμενον βασιλέα·
ὃν εἰσαγαγὼν ὡς δέον νεωκόρος
φιλοφροσύνης καὶ ξενίας ἠξίου.
εἶτα συνιστᾷ τόνδε τῳ τῶν ἐν τέλει,
κἀκεῖνος ᾠκείωσεν ἄνακτι πάλιν·
ὁ δ' ὕψος ἐβράβευσε τῆς κραταρχίας.

tissimus ad Constantini urbem pedester venit, ut alicui diviti navans operam vitae adiumenta sustentandae acciperet. ergo ingressus urbem dormiebat vespere (2540) in valvis templi martyris Diomedis, tamquam egenus vilisque adolescentulus. en autem martyr se conspiciendum obtulit uni ex aedituis noctu per somnium, iubens ut festinanter eum qui cubabat foris (2545) regem, reclusis valvis, introduceret. egressus ille cum Basilium solum nuda humo dormientem offendisset, in templum regressus domum se recepit, vanum se somnium aestimans vidisse; (2550) itaque in lecto rursus se composuit. sed ecce oblata species mandatum repetit. ipse celeriter ianua se proripit, et Basilium dormientem solum reperit. cumque iam tertio somnium occurrisset, (2555) neque rem aedituus prorsus intelligeret, martyr ad extremum aperte dixit eum, qui foris cubabat, esse regem. tunc introductum, ut par erat, aedituus blandis officiis recreavit et hospitio; (2560) tum cuidam optimati commendavit, qui rursus illum regi familiarem reddidit, a quo Basilius regium honorem rettulit.

Καί τις μοναχῶν, ἀρεταῖς ἐστεμμένος
μέλλοντά τ' εἰδὼς πνεύματι θείῳ λέγειν,
Κρήτην πατρίδα καὶ μονὴν κεκτημένος,
ἐκεῖσε τῷδε πρὸ κράτους ἀφιγμένῳ
προεῖπεν ἀνάῤῥησιν εὖ κραταρχίας.

Βασίλειος ὁ Μακεδὼν ἔτη ιβ΄.

Οὗτος Μιχαὴλ ἀνελὼν εὐεργέτην
καὶ βασιλευτὴν καὶ δότην τὸν τοῦ στέφους
αὐτοκράτωρ μόναρχος ὤφθη τῶν ὅπλων·
ὅθεν συνιεὶς αἰκίᾳ συνειδότος
φόνου δυσαχθὲς καὶ μιαιφόνον μύσος
ἐξιλεοῦν ἔσπευδε δεσπότην ὅλων,
ἄβυσσον ὑπάρχοντα τῆς εὐσπλαγχνίας,
ἔργοις φιλοίκτοις καὶ καλῶν εὐποιίαις·
μεθ' ὧν νεὼν κάλλιστον εὐπρεπῆ ξένον,
πολυτελὲς θέαμα, τέρψιν ὀμμάτων,
ἐν βασιλείοις καινίσας πρωταγγέλῳ
νέαν ἀποκέκληκε τόνδ' ἐκκλησίαν·
καὶ πάλιν ἄλλον Ἠλίᾳ τῷ Θεσβίτῃ,
ὃν ἐξόχως ἦν καὶ τιμῶν καὶ σεμνύνων
πομπαῖς ἑορταῖς δαψιλῶς ταῖς δι' ἔτους.
οὗτος δι' αὐτοῦ καὶ στρατηγῶν καὶ στόλου
ἐχθροὺς ὑπῆρχε κτιννύων εἴργων φλέγων,
καὶ σφῶν πόλεις ἅρπαγμα τιθεὶς τῷ κράτει.
ναοῦ σοφίας καὶ δυτικὴν ἁψίδα,

Quin adeo quidam virtute fulgens monachus, spiritu divino futurorum praescius, (2565) in Creta patria monasterium incolens, illuc venienti ante imperium Basilio veraciter praedixit regem creatum iri.

Basilius Macedo an. 12.

Hic Michaelem erga se beneficum regnique datorem postquam interfecit, (2570) solus cunctarum dominus rerum exstitit. quare conscientiae stimulis compunctus, dum scelus caedis reputat infandae, placare aggressus est communem dominum, cuius clementiae nullus est terminus, (2575) bonis operibus et largiendo egenis. tum etiam templum novum pulcherrimum, mirum gratumque oculis spectaculum, regio in palatio angelorum principi condidit, novamque appellavit ecclesiam. (2580) rursusque templum aliud Eliae Thesbitae, quem colebat praecipue per anni cursum pompis, diebus festis, honore lauto. hic per suos duces perque exercitum perdebat hostes igne gladio vinculis, (2585) urbesque illorum suo adiungebat regno. hic templi Sophiae apsidem oc-

κάμνουσαν ἤδη τῷ χρόνῳ τῷ παμφάγῳ,
ἤδρασε χερσὶ τεχνιτῶν εὐμηχάνως·
ναοῖς τε πολλοῖς γῆς κλόνῳ τεθραυσμένοις
τὴν δυνατὴν σύναρσιν εἰσῆξε σφίσιν.
πολλοὺς δ' ἐπεσπάσατο τῶν Ἰουδαίων
πρὸς πίστιν ὀρθὴν χρημάτων συνεργίᾳ.
καὶ Ῥὼς ἔθνος πρὶν κεκρατημένον πλάνῃ
Χριστῷ προσελθεῖν εὐσεβῶς δράσας ἔχει.
σταλεὶς γὰρ αὐτοῖς ἀρχιθύτης τῶν πάνυ
ἔπειθε πάντας τῷ Χριστῷ προσιέναι
εὐαγγελίῳ καὶ Χριστοῦ τεραστίοις·
οἱ δὲ πρὸς αὐτοῦ κατιδεῖν ᾔτουν τέρας
πρὸς πίστιν ὧν ἔφασκε Χριστοῦ θαυμάτων.
εὐαγγέλων γοῦν πυκτίδα θείαν λόγων
εὐξαμένου τε καὶ πυρὸς θέντος μέσον
ἄφλεκτος ὦπτο τῷ πυρὶ τῷ παμφάγῳ·
οἱ δ' ἐκπλαγέντες προστίθενται κυρίῳ,
βαπτίσματος δώρημα προσδεδεγμένοι.
Καὶ παῖδα τὸν Λέοντα, πεισθεὶς ἀτόποις
Σανταβαρηνοῦ βασκάνου συμβουλίαις,
γόητος ἀνδρός, φυλακῇ καθειργνύει.
καὶ τάχ' ἂν ἀπέσβεστο λύχνους ὀμμάτων
ὁ φίλτατος παῖς πρὸς φυτοσπόρου Λέων,
εἰ μὴ πατριάρχης τε καὶ γερουσία
λιταῖς ἀπεῖρξαν σκέμματος τὸν πατέρα.
ἔμφρουρος ἦν ὅμως δὲ μακρὸν τὸν χρόνον.

ciduam, iam laborantem temporis iniuria, artificum refecit eleganter manu; multisque aliis terrae motu dirutis (2590) delubris congruam suppeditavit opem: Iudaeos quoque multos ad rectam fidem pellexit, vitae agendae adiumentis praebitis. quin Rossos hactenus errori deditos ad religionem Christi curavit trahere. (2595) egregius etenim missus ad hos episcopus suasit cunctis ut ad Christum accederent, Christi evangelica narrans miracula. tum Rossi postulabant signum cernere, quod narratarum rerum fidem faceret. (2600) ergo verbi evangelici divinum librum episcopus cum precibus in ignem misit; hunc autem vis flammarum non laesit vorax. qua re attoniti dominum sunt secuti Rossi, et baptismi munus susceperunt.

(2605) Exin Leonem filium Basilius, Santabareni absurdis consiliis obsequens, invidi pravique viri, in custodiam tradidit. et quidem oculos forte amissurus erat dilectus filius Leo mandato patris, (2610) ni patriarcha cum conscriptis patribus precibus fregissent parentis consilium. sed tamen iamdiu in vinculis manebat Leo.

δήμῳ δὲ κοινῆς ἠγμένης πανδαισίας
πτηνὸν μιμηλόν, ψιττακός, ζῷον λάλον,
Λέον Λέον κέκραγε συχνῶς ἐν πότῳ,
καὶ συσσίτους δείκνυσι πλήρεις δακρύων.
καὶ προσπεσόντες λιπαρῶς τῷ δεσπότῃ
ἐξιλεοῦνται τῷ πατρὶ τὸν υἱέα·
καὶ σπένδεταί οἱ καὶ πάλιν νέμει κράτος.
Θηρῶν ἐλάφῳ βασιλεὺς ἐντυγχάνει
ὑπερφυεῖ τε καὶ λίαν κερασφόρῳ,
ἐφ' ὃν ξιφήρης κατέτεινε τὸν δρόμον,
καὶ φθὰς ἐπῆρε τὸ ξίφος, πλῆξαι θέλων.
ὁ δ' ἀνθυποφθὰς τοῖς κέρασι σφαγέα
ἄρας ἀπῄει κατὰ δυσβάτων τόπων.
καί τις προλαβὼν ἐξομαρτούντων νέων
ζώνην τεμὼν σέσωκε τὸν βασιλέα·
ὃς σῶστρα καλὰ τῷ σεσωκότι νέμει
τομὴν κεφαλῆς. φεῦ δίκης τῆς ἀδίκου.

Λέων ὁ σοφὸς ἔτη κε'.

Βασιλείου δὲ τὸν βίον λελοιπότος
διάδοχος παῖς ἀναδείκνυται κράτους
Λέων, σοφίας κοσμικῆς πάσης ἴδρις,
τῆς τετρακτύος τῶν σοφῶν μαθημάτων,
καὶ μαντικῆς αὖ τῆς ἀπορρήτου πλέον,
τῆς δι' ἐπῳδῶν καὶ δρόμου τῶν ἀστέρων

2634 αὐτῆς V

ecce autem praebito publice convivio psittacus, avis loquax et imitatrix, (2615) Leonis inter epulas nomen coepit ingeminare convivisque expressit lacrimas; qui ad genua domini flagitanter proni reconciliarunt denique filium patri, qui Leoni dignitatem cum gratia reddidit.

(2620) Rex aliquando venans in cervum incidit eximia magnitudine celsisque cornibus, quem statim instructus armis cursu appetiit; iamque occisurus erat elato gladio, cum ille contra irruens hostem cornibus (2625) sublatum in avios locos fuga abripuit. sed enim comes iuvenis praevertens cursu regem praeciso balteo neci eripuit; qui sane egregium servatori praemium contulit, abscisso capite. pro iniustitiam!

Leo sapiens an. 25.

(2630) Exstincto Basilio successor heres filius imperii habenas tractandas cepit Leo, mundanae sapientiae nullius inscius, quadriga doctrinarum apprime exercitus, arcana divinandi praesertim arte, (2635) quae fit incantationibus cursuque siderum, quaeque peritis cuncta futura pan-

μύσταις διδούσης τὴν πρόγνωσιν τῶν ὅλων.
τἆλλα μὲν οὗτος εὐσεβὴς ἦν ὀρθόφρων,
κοινῶν τε διοίκησιν ἦγεν ὡς δέον·
τετραγαμίᾳ δ' ὡμιληκὼς συζύγων
καὶ πρὸς νόμων κώλυμα μὴ φέρειν λέγων
κυδοιμὸν ἐντίθησι προστάταις νόμων,
καὶ ποιμενάρχην ἐνστάτην δεδειγμένον
ποίμνης ἐλαύνει καταγαγὼν τοῦ θρόνου.
πρώτην δὲ τιμῶν συζύγων βασιλίδα,
τὴν μακαριστὴν Θεοφανὼ τὴν πάνυ,
ἄγχιστα ναοῦ κηρύκων ἀποστόλων
νεὼν ἀνιστᾷ τῇδε τῶν ἐξαισίων,
ἐν ᾧ σορὸν τίθησιν αὐτῆς λειψάνων.
καὶ πάλιν ἄλλον καινίσας θεῖον δόμον
Χριστοῦ πάλιν ζῷῳ γε Λαζάρῳ φίλῳ
ἐν τῷδ' ἐθησαύρισε κἀκείνου δέμας
καὶ Μαγδαληνῆς Μαρίας τῆς ὀλβίας.
πρὸς τοῖσδ' ἀνιστᾷ καὶ μονὴν Κωνσταντίνῳ
ἐν ταῖς νοσσιαῖς, τῷ Παφλαγόνι γένος
καὶ θηλυδρίᾳ, πλὴν δ' ὅμως πεφιλμένῳ,

2636 profecto rei divinatoriae artique astrologorum vanissimae male deditus fuit Leo; cuius rei testem me videre memini codicem perantiquum insignem, e Byzantina aula, ut puto, profectum, in quo mendacis perniciosaeque artis praecepta copiosissime traduntur. ex eo nimirum codice fragmenta tria Iuliani Laodicensis nuper ego edidi. nota quoque sunt oracula, quae Leonis imperatoris nomen prae se ferunt. M.
2646 locutionem *nuntius apostolus*, quae est in editione Eusebii Mediolanensi p. 70, reprehendit ut incredibilem abiiciendamque iudicavit in suis animadversionibus doctus quidam vir Italus. sed ecce tibi *κῆρυξ ἀπόστολος nuntius apostolus* apud Ephraemium. quare sic reapse legerat olim interpres Armenius etiam apud Eusebium. M.

dit. hic ceteroquin pius et orthodoxus rem dirigebat aequo iure publicam: sed tamen quartis celebratis nuptiis, (2640) nec legum hac in parte frenum patiens, tumultu perturbavit custodes iuris; et patriarcham adversantem sibi grege procul pepulit detractum throno. tum ut suam primam coniugem reginam (2645) Theophanonem mortuam honoraret, delubro proximam apostolorum aedem huic exstruxit ingentis molis, ibique reliquias eius in arca posuit. rursusque aliam instaurans sacram aedem (2650) amico Christi redivivo Lazaro, ibidem corpus eius clausit loculo, nec non beatae Magdalenae Mariae. coenobium insuper struxit Constantino Paphlagoni in eo loco qui nidus dicitur, (2655) turpi viro sed tamen dilecto sibi; quem coma tonsa iussit esse monachum,

ὃν ἀποκείρας πρῶτον εἰς ῥακενδύτην
λόγοις προαχθεὶς Σαμωνᾶ τοῖς βασκάνοις,
εἶτ' ἐκδύσας ἄμφια τὰ μονοτρόπων
ἀξίᾳ τιμᾷ τοῦ παρακοιμωμένου·
ᾧ καὶ μονὴν ἤγειρε τὴν εἰρημένην.
Τόνδ' ἐν νεῷ μάρτυρος ὄντα Μωκίου,
ἑστῶτα δ' ἀγχοῦ κιγκλίδος θείου δόμου
δορυφορίας βασιλικῆς ἡγμένης
κατὰ κάρας ἔπληξεν ἀνήρ τις βάκτρῳ·
καὶ τάχ' ἂν αὐτὴν συνέτριψεν ἐσχάτως,
εἰ μὴ προσαρράξαν γε βάκτρον λυχνίᾳ
τὸ πλεῖστον ἀφῄρητο βιαίας ῥύμης.
ὃ συμβὰν εἰργάσατο θροῦν τοῖς ἐν τέλει·
προήγορος δὲ κἂν μονοτρόποις μέγας
Μάρκος παρὼν ἔφησε τῷ στεφηφόρῳ,
ὁ συνυφήνας τῷ μεγάλῳ σαββάτῳ
μέλος τετραῴδιον εὐφυεστάτως,
"ἐκ τοῦ παρόντος ἐς νέωτ' ἀραρότως
δέκατον ἄρξων, βασιλεῦ, ἴσθι χρόνον."
καὶ σύνδρομον γένοιτο τοὖργον τῷ λόγῳ.

Ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ μῆνας ιγ'.

Λέοντος ἀρχὴν καὶ βίον λελοιπότος
ὅμαιμος Ἀλέξανδρος ἔσχε τὸ κράτος,
ἀνὴρ ἀσελγής, ἐκδεδιῃτημένος,
ἄθυρμ' ἐρώτων, ἀκολασίας φίλος,

verbis instinctus Samonae invidentis; postea detracta monachali veste cubicularii honore condecoravit (2660) illum cui monasterium, ut dixi, struxerat.

Exin imperatorem in templo martyris Mocii versantem, dum regii satellites cancellis propinquant divinae domus, nescio quis fuste percussit in capite; (2665) quod quidem illi prorsus confregisset, nisi pendenti lychno illisus fustis multum de vi letali perdidisset. atque id proceres valde turbavit facinus. fatidicus autem et clarus inter monachos (2670) Marcus, qui panxit carmen tetraodium sabbati magni pervenusto metro, forte ibi praesens regem sic est affatus "tempore ex hoc certum te esse volo decem adhuc annos fore regnaturum;" (2675) fuitque verbis eventus consonus.

Alexander Leonis frater mens. 13.

Leone deserente cum vita imperium, frater obtinuit sceptrum Alexander, vir impudicus perditisque moribus, servus libidinum, inconti-

κώμοις μέθαις χαίρουσα χοιρώδης φύσις,
ῥέκτης κρυφίων Ἀφροδίτης ὀργίων,
φαύλοις ἀγύρταις, ἀνδράσιν εὐτραπέλοις
τριωβολιμαίοις τε χειρίζων κράτος·
ὅστις κατωρχήσατο τῆς κραταρχίας,
ὡς συγγόνου πρόρρησις, ἓν γ᾽ ἔτος μόνον,
μῆνας δεκατρεῖς δυστυχεστάτους φέρων.

Κωνσταντῖνος ὁ υἱὸς Λέοντος ὁ πορφυρογέννητος σὺν τῷ πενθερῷ αὐτοῦ Ῥωμανῷ τῷ Λακαπηνῷ, ὁμοῦ ἔτη κϛ΄.

Τούτου καταστρέψαντος αἰσχρῶς τὸν βίον
Κωνσταντῖνος, βλάστημα πρῶτος πορφύρας,
Λέοντος υἱός, παραλαμβάνει κράτος,
νέος κομιδῇ τυγχάνων ἡλικίαν.
σὺν μητρὶ διέποντι τῷδε τὸ κράτος
ἐπιφυείς τις Ῥωμανὸς ἐκ Λακάπης,
πέλων στολάρχης δρουγγάριος ἀξίαν,
ἀπεστάτησε τοῦ νέου στεφηφόρου·
ὅρκοις φρικαλέοις δὲ συνθήκαις θ᾽ ἅμα
εἰς βασιλείας προσδεχθεὶς κοινωνίαν,
ὡς συνανάσσῃ τῷ νέῳ στεφηφόρῳ
καὶ κηδεμὼν ᾖ τοῦ νέου καὶ τοῦ κράτους,
καὶ τῷδε τηρήσει τὴν κραταρχίαν
ὡς κλῆρον ὄντως πατρόθεν δεδεγμένῳ,
οὐ πάντ᾽ ἐφυλάξατο τῶν συγκειμένων,

2691 τὸ om V   2699 συντηρήσει?

nentiae deditus, (2680) comissator, ebriosus, ingenium brutum, atque arcanorum Veneris orgiorum assecla. improbis hic scurris circumforaneis vilibusque rem gerendam tradebat publicam. qui postquam in imperio debacchatus est (2685) anno, ut frater praedixerat, haud plus uno, mense misere interiit tertio decimo.

Constantinus Leonis filius porphyrogenitus cum socero suo Romano Lacapeno an. 26.

Ubi Alexander turpiter vitam clausit, Constantinus purpurae germen primum, Leonis filius, imperium obtinuit, (2690) aetatem prorsus teneram adhuc degens. cum is cum matre rei praesideret publicae, Romanus quidam, Lacapenus patria, dux exercituum munere drungarius, fefellit puero regnatori fidem. (2695) mox ad regni societatem admissus fuit, non sine gravi iureiurando pactoque inito fore ut conregnaret cum rege puero, imperiique et pueri simul tutelam gereret, atque huic incolumem servaret potentatum, (2700) cuius reapse heredem pater fecerat. sed non servavit Lacapenus foedera: quin adeo filios tres desi-

ἀλλ' υἱέας τρεῖς εἰς βασιλέας στέφει,
αὐτῷ ἀπεκλήρωσε κοινῶν πραγμάτων
φροντίδα πᾶσαν καὶ διοίκησιν κράτους.
τέως δὲ συνίθυνε καὶ Κωνσταντῖνος
τῷ πρεσβύτῃ καὶ νεωτέροις κράτος.
καὶ μακρὸς ἐξήνυστο τῷ μέσῳ χρόνος,
πρὸς εἴκοσιν ἓξ παραρρυέντων χρόνων.

Κωνσταντῖνος μόνος ἔτη ιέ.

καὶ τηνικαῦτα συλλαβὼν Κωνσταντῖνος
ὡς νουνεχῶς τε καὶ λίαν ἐπηβόλως
φίτην τε παῖδας ἄνακτας παρεγγράφους
καθεῖλεν ἀρχῆς καὶ μοναρχεῖ τοῦ κράτους.
ὑπῆρχε δ' οὗτος εὐσεβής τις ὀρθόφρων,
μηδὲν νεοχμῶν τῶν ἐθῶν ἐκκλησίας,
εἴκων δὲ ταύτῃ καθὰ μητρὶ φιλτάτῃ,
ὑπερμαχῶν τε δογμάτων τῶν ἐνθέων,
καὶ πάντα ποιῶν πρὸς φυλακὴν τῶν νόμων.
ἦν ἐν μεθέξει καὶ σοφῶν μαθημάτων
παιδεύσεώς τε τῆς θύραθεν εἰς ἄκρον·
ὧν καὶ προμηθεὺς ὦπτο συνεῖναι βίῳ,
τῆς σφῶν ἐπιστήμης γε τάξας τεχνίτας.
πλὴν εἶχεν ἅττα μὴ προσήκοντα κράτει·
αὐταρχίαν γὰρ μαλακῶς ἦν ἰθύνων,
ὡρᾶτο καὶ δύσοργος ἡμαρτηκόσιν,

2706 τῷ τε πρ.?

gnavit Caesares, sibique vindicavit publicarum rerum curam universam imperiique regimen. (2705) interim tamen Constantinus quoque cum sene eiusque liberis imperabat. atque ita tempus lapsum est diutinum; viginti enim et sex fluxerunt anni.

Constantinus solus an. 15.

tunc demum comprehensos Constantinus (2710) cauto artificio idoneoque tempore patrem cum filiis, regibus insitivis, dominio exuit solusque imperium tenuit. hic pius erat et orthodoxo animo, et nihil in ecclesiae institutis innovans, (2715) immo huic dilectae ceu matri obediens, et divinorum dogmatum defensor, et iuris observantiam in primis exigens. idem doctrinis praeditus sapientibus profanisque literis eximie instructus, (2720) harum quoque gessit semper patrocinium, quibus et tradendis magistros praeposuit. tamen indignae imperio dotes inerant: namque rem publicam socorditer regebat, nimis irascebatur

πρὸς δ' αὖ κολαστὴς ἀπαραίτητος σφίσιν.
ἀρχαιρεσιάζων δὲ βουλάς τ' ἐκφέρων,
ἀρχαῖς τε κοιναῖς καὶ στρατηγίαις ὅλαις
ἄνδρας ἐφίστα μηδαμῶς πεφυκότας,
ἀναξίους δὲ καὶ μοχθηροὺς εἰσάπαν,
ἀρχὰς ἁπάσας χρημάτων δρῶν ὠνίους.
Τούτου Ῥωμανῷ συνανάσσοντος τότε
εἰκὼν ἀχειρότευκτος Χριστοῦ δεσπότου,
ἐν χειρομάκτρῳ διαγραφεῖσα ξένως,
ἐξ Ἐδέσης ἤνεκτο πρὸς Βυζαντίδα.
καὶ Ῥωσικός τις μυριάριθμος στόλος,
φέρων ἀριθμὸν ὁλκάδων πρὸς ταῖς δέκα,
ὥς φασι, πέντε χιλιοστύας ὅλας,
λεηλατήσων κατέπλευσε πρὸς πόλιν·
σχεδὸν δ' ἅπας ἔφθαρτο τῷ θεοῦ σθένει
καὶ μητρανάνδρου παρθένου συμμαχίᾳ
πρὸς ἀντιπρώρου Ῥωμαϊκοῦ τοῦ στόλου.

Ῥωμανὸς ὁ υἱὸς αὐτοῦ ἔτη γ'.

Τοῦ πορφυρανθοῦς δ' ἀπολιπόντος βίον
ὁ παῖς Ῥωμανὸς ἀναδείκνυται κράτωρ,
ᾧπερ συνῆπτο πρὸς γάμον κοινωνίαν
Θεοφανώ τις ἐκ χαμερποῦς τοῦ γένους,
ἣ τἀνδρὶ τίκτει παῖδας ἄρρενας δύο,
τὸν Βασίλειον, πρὸς δὲ Κωνσταντῖνον,

2747 δὲ τὸν Κ.?

delinquentibus, poenisque erat sumendis inexorabilis. idem magistratus senatoriosque gradus praefecturasque et militares ordines viris tradebat prorsus haud idoneis, indignis omnique vitio laborantibus, officia cuncta auro venalia exhibens.

Hic cum Romano dum regnat adhuc, imago Christi domini haud manu facta, miro artificio in mantili picta, Edessa urbe Byzantium translata fuit. Rossicus etiam plurimus exercitus quindecies mille naves onerarias, ut fama est, ducens, cunctaque depopulans ad urbem regiam direxit cursum. sed enim prope universus auxilio dei, virgine quoque matre ferente opem, Romanae classis impetu deletus fuit.

Romanus Constantini filius an. 3.

Exin Porphyrogenito vita functo Romanus filius imperator exstitit, cui matrimonii iure coniuncta erat Theophano, plebeio prognata genere. haec viro peperit masculos filios duos, Basilium et Constanti-

οὓς βασιλικῇ ταινίᾳ στέφει φίτης,
ἀνὴρ τρυφηλὸς ἐκδεδιῃτημένος,
μέθαις τε κώμοις προστετηκὼς ἐξόχως,
φιληδονίαις ἀφροδισίοις πότοις,
ἀνδράσι λοιμοῖς συνδιάγων καὶ φθόροις.
κοινῶν δὲ διοίκησιν ἣν ἐγχειρίσας
Ἰωσήφ τινι τὴν ἐπίκλησιν Βρίγγᾳ,
πραιποσίτῳ τε καὶ παρακοιμωμένῳ.
ὅμως στρατηγοῖς ἀνδρικοῖς κεχρημένος
στόλῳ τε βαρεῖ κατ' ἐχθρῶν ἀντιπάλων
νίκας κατώρθου, τοὺς ἐναντίους τρέπων·
Φωκᾶν Νικηφόρον γάρ, ἄνδρα γεννάδαν,
σὺν συγγόνῳ Λέοντι στρατηγοὺς ἔχων
αἱρεῖ δι' αὐτῶν ὑπεναντίων πόλεις,
καὶ θράσος ἐχθρῶν ὑποκλίνει τῷ κράτει.

Νικηφόρος Φωκᾶς ἔτη ς'.

Τούτου καταστρέψαντος αἰσχρῶς τὸν βίον
καὶ κράτος υἱοῖς γαμετῇ λελοιπότος,
Φωκᾶς Νικηφόρος τις ἀποστὰς κράτους
ἀνηγορεύθη βασιλεὺς αὐτοκράτωρ
παρὰ στρατηγῶν τῆς ἕω καὶ ταγμάτων.
οὗτος στρατεύσας κατὰ Σύρων Κιλίκων
πολλὰς πόλεις σφῶν εἷλε τῆς μάχης νόμῳ,
Ἄδαναν, Ῥωσόν, τεῖχος Ἀναζαρβέων,
πρὸς ταῖσδε Ταρσὸν καὶ Μόψου τὴν ἑστίαν,

num, quos regio quoque stemmate ornavit genitor, vir voluptarius et corruptis moribus, (2750) potando comissando plus nimio deditus, deliciisque et Veneri et conviviis, sodalibus utens pessimis et corruptoribus. rei vero publicae curam gerendam tradidit Iosepho cuidam, cui Bringae agnomen erat, (2755) praepositi gerenti munus et cubicularii. is tamen strenuos habens in armis duces valido cum exercitu victorias rettulit feliciter, suosque hostes in fugam compulit. Phocam quippe Nicephorum, fortem virum, (2760) Leonemque fratrem eius duces habuit; quorum virtute hostium cepit urbes fastumque illorum imperii iugo subdidit.

***Nicephorus Phocas an.* 6.**

Postquam Romanus vitam turpiter clausit relicto imperio coniugi atque liberis, (2765) Phocas Nicephorus, fallens imperio fidem, electus est ad honorem regium ab orientis ducibus et exercitibus. hic bellum gerens contra Syros Cilicas multas illorum urbes vi Martia cepit, (2770) Adanam, Rosum, Anazarbensium murum, praeterea Tarsum at-

ὧν καὶ πύλας ἤγαγε πρὸς Βυζαντίδα
ἐχούσας εὖ τέχνης τε καὶ ποικιλίας.
καὶ θεῖον ἐκτύπωμα Χριστοῦ δεσπότου
εὑρὼν κεράμῳ προστυπωθὲν ἀτέχνως
ἐξ Ἱεραπόλεως ἄστεος Σύρων,
καὶ βόστρυχόν γ' αἵματι συμπεφυρμένον
ἐκ προδρομικῆς κάρας ἀνειλημμένον,
ἀνακομίζει πρὸς πόλιν βασιλίδα.
καὶ φρούρια πλεῖστα δὲ τῶν ἐναντίων
κράτει καθυπέταξε τῆς Ῥωμαΐδος.
καὶ ταῦτα μὲν κάλλιστα κατορθωμάτων·
πλὴν τοῦδε λαμπρὸν ἐπισκιάζον εἶχέ τι,
ἥττητο χρημάτων τε καὶ χρυσαργύρου,
κἀντεῦθεν εἰς ἃ μὴ δέον παρακλίνας
δασμοῖς τε καινοῖς κατατρύχων καὶ φόροις
ὑπήκοον πᾶν ταῖν χεροῖν τῶν πρακτόρων,
ὤφθη μισητὸς πᾶσι καὶ τοῖς ἐν τέλει,
καὶ μᾶλλον οἷς ἔθιμα τῆς ἐκκλησίας
ἀνατρέπειν ἔσπευδε καὶ κακῶς λύειν,
ψήφους πρὸς αὐτὸν ἑλκύων ἐπισκόπων,
καὶ τῷ ταμείῳ ποιμένος τεθνηκότος
τὰ πτωχικὰ πράγματα τῆς ἐκκλησίας
συνεισφέρειν δεῖν θεσπίσας παρανόμως.
οὐχ ἧττον ἐξέμηνε πάντας πρὸς μῖσος
τὸ κατ' ἐκείνου τεῖχος ὑπερῃρμένον,
ὃ κυκλόθεν τέτευχε τοῖς ἀνακτόροις,

2774 τύπωμα V   2783 τῷ λαμπρῷ γ' ?   2791 ψῆφος V

que Mopsuestiam, quarum etiam portas Byzantium transtulit, insigni arte et vario perfectas opere. divinam quoque Christi domini effigiem (2775) haud manu factam et in olla inventam Syrorum ex urbe Hierapoli, capillique partem concretam sanguine, e praecursoris capite desumptam, ad urbem regiam transtulit. (2780) locos quoque munitos hostium plurimos Romanorum redegit in dicionem. et haec quidem splendide ab eo sunt facta. verum huius lucis nonnullae erant tenebrae: pecuniae laborabat cupiditate, (2785) proptereaque ab aequo declinans iure, novorum tributorum molestia imposita, quaestorum manibus subditos vexabat. hinc plebi et optimatibus exosus erat, praesertim quia canones ecclesiae (2790) per scelus violare molitus est, episcoporum aliquot suffragiis captis. nempe ad regium aerarium defuncto episcopo opes ecclesiae, pauperibus debitas, iniqua lege deferendas sanxit. (2795) nec minus odii publici incendit flammam excitata iussu eius muri moles insignis celsitudinis et magni ambitus, quae palatium undique

ὑψιτενές τ' ὂν καὶ περίδρομον λίαν.
καὶ δόγμα δ' εἰσήνεγκεν οὗτος ἐν μέσῳ
θεσπίζον ὡς δεῖν στρατιώτας ἐξ ἴσου
μάρτυσι τιμᾶν καὶ γεραίρειν τοῖς ὕμνοις
μάχαις σφαγέντας καὶ λελοιπότας βίον.
καὶ τάχ' ἂν ἐξήνυστο πρὸς πέρας τόδε,
εἰ μὴ πατριάρχης τε σὺν ἀρχιθύταις,
πρὸς δ' αὖ λογάδες ἀντέστησαν εἰκότως.
Τούτῳ Τζιμισχῆς ἐγκοτῶν Ἰωάννης
ἐφ' οἷς κακῶς ἔδρασεν αὐτὸν ἀδίκως,
σὺν οἷς ἐθάρρει καττύει τούτῳ λόχον
καὶ σκέμμα δεινὸν καὶ παγίδα θανάτου,
αὐτουργὸν αὐχῶν τοῦ λόγου βασιλίδα.
χρησάμενος δὲ σὺν ἑταίροις σαργάνῃ,
ἣν ηὐτρέπισε βασιλὶς εὐμηχάνως,
ἀνῆλθεν ἤλιβατον ἄνοδον νύκτωρ,
καὶ βασιλείῳ, καθάπερ νυκτιλόχοι
ἢ θῆρες εἰπεῖν ἄγριοι βροτοκτόνοι,
παρεισφθαρέντες θαλάμῳ ξιφηφόροι
σφάττουσι τόνδε τὸν βασιλέα ξίφει.

Ἰωάννης ὁ Τζιμισχῆς ἔτη ς' Ϛ'.

Μεθ' ὃν Τζιμισχῆς γεννάδας Ἰωάννης
εὐθὺς ἀνηγόρευτο πρὸς παντὸς κράτωρ,
μετὰ δὲ μικρὸν βασιλικῇ ταινίᾳ
παρ' ἀρχιθύτου διαδεῖται τὴν κάραν,

circumvallabat. is etiam novum protulit decretum, (2800) quo martyrum honore iubebat milites coli, sacrisque hymnis celebrari, qui in proelio caesi vitam amisissent; eamque rem, ut arbitror, perfecisset, ni patriarcha cum ceteris episcopis (2805) proceresque, ut par erat, obstitissent.

Huic infensus Ioannes Tzimisches propter acceptas sine merito iniurias audacibus cum sociis insidias struxit, dirum molimen, mortis laqueum, (2810) facinoris ministram reginam habens. quare cum sociis in cistam impositus, quam regina astute praeparaverat, impervium locum noctu conscenderunt, latronumque ritu nocturnorum (2815) vel tamquam ferae saevae ac sanguinariae in regium irruperunt armati gladiis thalamum, ibique regem trucidarunt.

Ioannes Tzimisches an. 6 mens. 6.

Exin egregius Tzimisches Ioannes communi voto factus est imperator; (2820) pauloque post regali etiam stemmate a patriarcha caput eius est cinctum. dux erat hic eximius, incomparabilis, quo nemo ae-

ἀνὴρ στρατηγὸς ἀπαράμιλλος ξένος,
τῶν καθ' ἑαυτὸν ἐν μάχαις διαφέρων
εὐανδρίαις τε συνεταῖς στρατηγίαις,
ψυχῆς παραστήματι σὺν εὐβουλίᾳ,
αὐτοκράτωρ ἄριστος, ἡδὺς τοῖς φίλοις,
ἐχθροῖς δυσαντίβλεπτος ἢ φρικαλέος.
οὗτος χαριτώνυμος, ὀλβία χάρις,
πραῦς, ἱλαρός, εὐμενὴς ὑπηκόοις,
ὃς ἡμέρως ἤνεγκε τὴν διὰ φόνον
ἐπιτιμίαν καὶ νεῶ τὴν κωλύμην
τοῦ ποιμενάρχου καὶ σοφοῦ Πολυεύκτου,
ὡς πρὶν ὁ Δαβὶδ τοὺς ἐλέγχους τοῦ Νάθαν,
τοὺς μὲν φυγάδας καταγαγὼν αὐτίκα
οὓς πρὶν ἐφυγάδευσε φθὰς Νικηφόρος,
ἐν οἷσπερ ἦσαν καὶ λογάδες ποιμένων,
καθυπογράψαι μὴ θελήσαντας τόμῳ
ᾧ θεσπίσας ἦν βασιλεὺς Νικηφόρος,
ἄνευ ἐκείνου μηδένα προεδρίας
ποιμαντικῆς τε τυγχάνειν προστασίας,
ὅνπερ διατέτμηκεν εἰς λεπτὰ τόμον.
ὃν δ' εἶχε πλοῦτον διένειμεν ἀπόροις,
καὶ κανονικὴν ὑπέδυ λειτουργίαν
εἰς ἄφεσιν πταίσματος, εἰς λύσιν φόνου.
εἶτα κατὰ Ῥὼς ἐκστρατεύσας βαρβάρων
ἥττησεν αὐτοὺς ἐν μάχῃ κατὰ κράτος·
ἡνίκα καί τις ὤπτο πολλοῖς ἱππότης,
ἄγνωστος ἀνήρ, Ῥωμαϊκῶν ταγμάτων

tate eius praestantior armis, et manu propria fortis et strategemate, (2825) animi audacia praeditus cum consilio, optimus imperator, amicis blandus, hostibus intolerandus et formidabilis. hic pro vi sui nominis gratiosus, hilaris, mitis, subditis benivolus, (2830) passus est etiam ob patratam caedem obiurgari se temploque excludi a Polyeucto cato patriarcha, ceu Nathanem obiurgantem audiit David. exsules autem statim revocavit, (2835) quos in exsilium truserat Nicephorus; quos inter erant praecipui episcopi, qui detrectarant libello subscribere, quo decernebat imperator Nicephorus, ne quis se inconsulto praesul fieret (2840) nec pastorali honore frueretur. decretum id conscidit Tzimisches. tum suum divisit egenis peculium: quin et canonicam satisfactionem praestitit ob culpae veniam caedisque expiationem. (2845) deinde contra Rossos profectus barbaros gravi conserto proelio superior fuit. tunc etiam quidam visus est a pluribus eques, vir incognitus, qui Ro-

ὑπερμαχῶν ἄριστα κατὰ βαρβάρων.
ἔγνωστο δ' εἶναι Θεόδωρον τὸν μέγαν,
Χριστοῦ στρατιώτην τε καὶ στρατηλάτην.
ἔγνωστο δ' οὕτως ὡς προϊὼν σοι φράσω.
γυνή τις ὑπῆν εὐλαβὴς καὶ κοσμία
ναῷ προσεδρεύουσα πρὸς Βυζαντίδι,
ἥτις πρὸ μιᾶς ἡμέρας ταύτης μάχης
ἔδοξεν ἀθρεῖν μητράνανδρον παρθένον,
δορυφορουμένην τε καὶ προηγμένην
ἀνδράσι πολλοῖς καθάπερ βασιλίδα,
καὶ ταῦθ' ὕπαρ ἔδοξε φαμένης κλύειν
"ὦ Κυριθεόδωρος, ὦ στρατηλάτα,
ἐμός τε καὶ σὸς προσφιλὴς Ἰωάννης
βαρεῖς ἀγῶνας καὶ δυσηνύτους ἔχει.
σὺ δ' ἀλλ' ἐπικούρησον αὐτῷ ταχύνας."
τόδ' ἡ θεωρὸς τοῖς συνοῦσιν ἐκφέρει·
μνήμῃ διδοῦσι καὶ γραφῇ τὴν ἡμέραν,
καὶ πάνθ' ὑπῆρχε σύνδρομα χρόνῳ μάχης.
Οὗτος στρατεύσας καὶ κατὰ Κιλικίας
πάμπολλ' ἐχειρώσατο ταύτης φρουρίων·
ὅσα δ' ἀφηνίασε τῆς καταρχίας,
πρὸς τήνδ' ἐπανήγαγε ταῖς στρατηγίαις.
Οὗτος νεὼν ἤγειρε Χριστῷ δεσπότῃ
πολυτελῆ κάλλιστον ἐν Χαλκῇ ξένον.

manis favebat pugnans copiis contra barbaros. (2850) porro hunc innotuit esse Theodorum magnum, Christi militem atque ducem. quo autem pacto innotuerit, verbis pandam. femina quaedam erat pia pudica, templo cuidam regia in urbe assidua, (2855) quae die una ante consertum proelium visa sibi est deiparam cernere virorum comitatu permultorum deductam, veluti reginam decet. insuper haec dicentem audire credidit (2860) "o domine Theodore, o dux exercitus, meus itemque tuus amicus Ioannes gravi in agone vertitur et perdifficili; quamobrem ad ferendam operam propera." illa rem visam narravit praesentibus, (2865) qui diem memoriae scriptoque consignarunt. congruit visio cum pugnae tempore.

Idem suscepto bello adversus Cilicas permultas cepit horum munitas arces. quotquot autem negabant subesse imperio, (2870) eas armis motis compulit ad obsequium.

Hic templum excitavit Christo domino in Chalce, dives opum et miro opere.

Βασίλειος ὁ βουλγαροκτόνος ἔτη ν'.

Τούτου τὸ βιοῦν ἐκμετρήσαντος μόρῳ
κληροῦχος ἀρχῆς τῆς πατρῴας ἐννόμως
Βασίλειος δέδεικτο καὶ σκηπτουχίας,
ὁ Ῥωμανοῦ παῖς, πορφυρόβλαστος κλάδος,
αὐτοκράτωρ κράτιστος ἐν στρατηγίαις,
αὐταρχίας τάλαντον αὐξήσας μέγα
ὡς πιστὸς ὡς φρόνιμος ὢν ὑπηρέτης,
οὐ πρὸς τρυφάς τε καὶ πρὸς ἀνέσεις βλέπων,
οὔτ' ἀμελείᾳ μήτε μὴν οἰκουρίᾳ
ἢ μαλακίᾳ προστετηκὼς μηδ' ὅλως,
ἀλλὰ στρατάρχων πάντα καιρὸν τοῦ βίου
καὶ ταῖς κατ' ἐχθρῶν ἐντρυφῶν ἀεὶ μάχαις,
ἀνὴρ ἀγαθός, εὐσεβῶν νόμων φύλαξ,
μηδὲν νεοχμῶν τῶν ἐθῶν ἐκκλησίας,
ταῖς ἀρετῶν χάρισιν ἠγλαϊσμένος,
μᾶλλον δ' ἐραστὴς σωφροσύνης ἀνδρείας.
οὗτος καθάπερ ἀετοῦ λαχὼν φύσιν,
ἢ πτηνὸς ὢν φρόνησιν ἢ προθυμίαν,
τὸ μὲν πρὸς αὐτὴν ἐκστρατεύων τὴν ἕω,
τὸ δὲ πρὸς αὐτοὺς τοὺς ὅρους τῆς ἑσπέρας
ἢ πρὸς μέρη βόρεια καὶ μεσημβρίας,
χώρους ἐπῄει βαρβάρων ἀντιπάλων,
ληλατῶν σφᾶς, πυρπολῶν, πορθῶν πόλεις

2886 huius religiosissimi principis insigne κειμήλιον possidet bibliotheca Vaticana; menologii scilicet Graeci picturatum codicem nobilissimum, cuius mentionem feci in collectionis meae Vaticanae secundo volumine praef. p. 1. M.

Basilius Bulgaricida an. 50.

Ioanne fatis functo, patrium sceptrum heredis iure ac nomine legitimo (2875) obtinuit Basilius cum regio titulo, Romani filius, genitus in purpura, egregius exercituum imperator, qui dicionis fines valde ampliavit. fidelis hic et prudens administrator (2880) delicias haud spectabat requiemve corporis, neque socordiam nec domi desidiam, nulloque captus erat voluptatis genere, sed universam degens in armis vitam pulsandis in proelio hostibus gestiebat, (2885) vir bonus, legum sacrarum custos, nihil immutans in ecclesiae moribus, virtutum ornamentis valde rutilans, apprime studens fortis esse et temperans. hic sortitus veluti naturam aquilae, (2890) certe habens mentem efficaciamque volucrem, nunc in orientis bellum gerebat plagis, nunc in Hesperiis finibus, nunc sub borea, nunc denique per tractus meridionales bello quatiebat barbaros adversarios, (2895) depraedans, urens, depopulans urbes muni-

ἐρυμνά τε φρούρια τῆς μάχης νόμῳ.
καὶ δεῖγμ' ἐναργὲς ἡ Σκυθῶν ἐρημία
λεία τε Μυσῶν κατὰ τὴν παροιμίαν,
Περσῶν τ' Ἀβασγῶν ἐκτριβὴ τῶν τ' Ἀβάρων,
ὧνπερ καθεῖλε τὸ θράσος κατὰ κράτος.
καθεῖλε δ' οὐχ ἥκιστα καὶ τυραννίδα
τὴν τοῦ Σαμουὴλ Βουλγάρων ἀρχηγέτου,
καὶ σφῶν δ' ἀνεῖλε δυσαρίθμους ἐν μάχῃ·
συῤῥήξεως γὰρ συμπεσούσης καὶ μάχης
Μυσῶν ἐχειρώσατο χιλιοστύας
πεντάδας εἰς τρεῖς τὰς ὅλας ποσουμένας,
ὧν ὄμματ' ἐξέκοψε πάντων ἐνδίκως.
κἀκ τῶνδε βραχεῖς παραδοὺς πομποὺς σφίσι,
καὶ θάτερον σφᾶς ὀμμάτων ἐσβεσμένους,
πάντας ἀφῆκεν ἰέναι πρὸς Μυσίαν.
οὓς δυστυχῶς ἔχοντας ἰδὼν σφῶν κράτωρ
τέθνηκε, τρωθεὶς τῆς ἀθυμίας βέλει.
κἀκ τοῦδε Βασίλειος, αὔγουστος μέγας,
πᾶσιν ἐπωνόμαστο Βουλγαροκτόνος.
ἑλὼν δὲ Μυσῶν τὰς καθ' ἑσπέραν πόλεις,
Ἀχρίδα καὶ Σκόπια, Πρεσθλάβας δύο,
τὰς ἐν Σαρδικῇ καὶ Βιδίνης χωρία
σὺν Περνίκῳ, φρούριά θ' ἑπτὰ πεντάδας,
πάντα καθυπέταξε Ῥωμαίων κράτει.

2898 Mysos dicit pro Moesis perpetuo Ephraemius. proverbium tamen loquitur de Mysis. Zenob. 5 15, Diog. 6 42. M.

tasque arces, prout fas est belli. rei testis est Scythiae solitudo, praedaque Moesorum, ut ait proverbium, Persarum, Abasgorum clades et Abarorum, (2900) quorum audaciam aperto Marte fregit. nec vero secius contudit tyrannidem Bulgarorum principis Samuelis, eiusque gentis occidit innumeros. etenim facto pugnae conflictu gravi, (2905) Moesorum tantum captitavit numerum, ut ea aestimata sint milia quindecim, queis cunctis oculos lata sententia eruit. hos autem paucis ducibus instructos, quos uno tantum oculo excaecaverat, (2910) remisit cunctos liberos in Moesiam. quos ubi sic adfectos rex suus vidit, maeroris ictus telo mortem obiit. atque hinc Basilius augustus magnus vulgo vocari Bulgaricida coepit. (2915) Moesorum autem captis Hesperiis urbibus Achride Scopiis et Presthlabis geminis, Sardicae quoque et Bidinae castellis Pernicoque, cum arcibus triginta quinque, cunctas Romano subdidit imperio.

Κωνσταντῖνος ὁ ἀδελφὸς αὐτοῦ ἔτη β' ϛ'.

Τούτου μεταλλάξαντος ἐν γήρᾳ βίον
Κωνσταντῖνος σύναιμος ἄρχει τοῦ κράτους,
ὄγκον μὲν αὐχῶν σωματικὸν καὶ σθένος,
δειλὸς δὲ πάμπαν καρδίαν, ἀνειμένος,
ἤθους πεφυκὼς μαλθακοῦ καὶ ῥᾳθύμου,
θεατρομανῶν καὶ κύβοις προσανέχων
τρυφαῖς τε, κώμοις ἀφροδισίοις μέθαις
ἡδυπαθείαις ἐντρυφῶν, συσσιτίοις,
βίον βιῶν ἄντικρυς Σαρδαναπάλου,
ἄθυρμα πᾶσι βαρβάροις ἀντιπάλοις,
ὧν ὁρμὰς οὐκ ἔκρινε δεῖν ὅπλοις τρέπειν
ἢ συνελαύνειν σφᾶς ξίφει πρὸς δειλίαν,
ὑπηκόους δὲ καλαμώμενος φόροις
εἰσπράξεσί τε παντοδαπαῖς συχνάκις
ἐδεξιοῦτο δωρεαῖς σφᾶς ἀφθόνοις
τῶν ἀξιωμάτων τε τοῖς ὑπερτάτοις.
οὕτω κατεπράϋνε βαρβάρων θράσος·
διαβολαῖς δ' εὔεικτον οὖς ἦν ὑπέχων,
ἥττητο θυμοῦ καὶ φθόνου καὶ κακίας.
ταῦτ' ἄρα πολλοὺς ἐστέρησε τοῦ βίου,
ἄλλων δ' ἐπήρου τὰς κόρας τῶν ὀμμάτων
ἐξ ὑπονοίας καὶ ψιλῆς ὑποψίας.
ἐπεὶ δὲ τετρύχωτο γήρᾳ καὶ νόσοις
καὶ καθεώρα προσδόκιμον τὸ μέτρον,
Ἀργυρόπουλον Ῥωμανὸν προσλαμβάνει,

Constantinus Basilii frater an. 2 mens. 6.

(2920) Postquam grandaeva aetate hic mortem obiit, Constantinus frater imperium tenuit, vastum quidem corpus viresque iactans, sed tamen corde timidus et infractus, molli morum genere et ignavo (2925) theatri atque aleae studio deditus, deliciis, ganeae, vino et rei venereae, voluptatum mancipium atque gulae, aemulam vitam degens Sardanapalo, barbaris cunctis hostibus ludibrio, (2930) quorum incursum haud armis repellere nec gladiis propulsare ob metum censuit; verum tributis subditos atterens, multaque et varia sine fine exigens, barbaros deleniebat donorum cumulo, (2935) conlatis etiam summis dignitatibus, sic barbarorum mitigans ferociam. calumniis autem facilem aurem praebens, iracundiae, invidiae, malignitati obnoxius, multos mortales spoliavit vita; (2940) oculorum alios orbavit lumine, suspicionum momento impulsus levi. demum senecta et morbis conflictatus, iamque instare cernens vitae finem, Romanum Argyropulum adoptavit,

καὶ τῷδε συνῴκισε τὴν θυγατέρα,
δόλῳ γυναικὸς τῆς νομίμου χωρίσας.
εἶτα παραδίδωσι καὶ κραταρχίαν.
ἐπιβιοὺς δὲ τοῖσδε μικρὸν ἐκπνέει.

Ῥωμανὸς ὁ ἀργυροπουλος ετ. ε΄ Ϛ΄.

Καθίσταται δὲ Ῥωμανὸς αὐτοκράτωρ,
ἀνὴρ ἀγαθὸς εὐσεβής, εὐπατρίδης,
λόγων ἑταῖρος καὶ τέχνης ἐγκυκλίου,
τῶν δημοσίων εὐαγῶν ἴδρις νόμων,
εἰσπράξεως ὄλεθρος ἀλληλεγγύου,
εὐεργετικὸς ἀπορουμένοις ὅλοις,
δορυαλώτων δυσαριθμήτων λύτης,
ναοῦ σοφίας τῆς μεγίστης ἀψῖδος
εὐμήχανός τις φιλότιμος συνδέτης,
χρυσοῦ χορηγὸς ἀφθόνου κληρουμένοις,
κοινῶν χρεῶν λύτης καὶ δότης πάλιν.
οὗτος στρατεύσας κατὰ τῶν ἐν Φοινίκῃ
σπονδὰς λυσάντων Ἀγαρηνῶν ἀθέων
πόλεις θ᾽ ἑλόντων τὰς ὑπηκόους κράτει
καὶ συμπλακεὶς ἥττητο δυσκλεῶς σφίσι,
καὶ διεσώθη πρὸς πόλιν Ἀντιόχου,
κἀκεῖθεν ἀνέζευξεν εἰς Κωνσταντίνου.
καὶ λοιπὸν ἠλλοίωτο γνώμην τὴν πάλαι,
καὶ πάντας ἐξέθλιβε τοὺς ὑπηκόους

2959 τε καὶ?

(2945) eique filiam propriam nuptui dedit, pulsa per dolum coniuge legitima. exin imperii quoque pondus tradidit, brevique adhuc superstes efflavit animam.

Romanus Argyropulus an. 5 *et mens.* 6.

Romanus ergo constituitur imperator, (2950) vir bonus, pius, nobilitate cluens, literarum artiumque amicus omnium, publici recti iuris peritissimus, versurae cum mutua fideiussione eversor, erga egenos omnes largus opum, (2955) et captivorum redemptor plurimorum. maximam templi hic Sophiae absidem pulchro artificio ac splendido compegit, multamque auri vim attribuit clericis, et publicum dissolvit aes alienum. (2960) idem conlatis in Phoeniciam armis contra foedifragos impios Agarenos, qui subditas imperio urbes ceperant, conserta manu pugnavit infeliciter, fugaque evasit in urbem Antiochiam, (2965) atque illinc semet contulit Byzantium. dein alio ingenio se ostendit praeditum, cunctisque gravis coepit esse subditis insolitis tributorum coactio-

εἰσπράξεσι φόρων τε δασμῶν ἐκτόπων,
δεικνύμενος πράκτωρ τις, οὐκ αὐτοκράτωρ,
πικρὸς λογιστὴς εἰσφορῶν καὶ παιπάλη.
ταῦτα δὲ πάντα καὶ μακρῷ τούτων πλέω
κενῶν ὑπῆρχε καὶ δαπανῶν πλουσίως
ἐν ᾧ καθιδρύσατο σεμνείῳ ξένῳ
τῇ μητρανάνδρῳ καὶ περιβλέπτῳ κόρῃ,
ᾧπερ καθυπέταξε κτήσεις παμφόρους,
πόλεις τε πολλὰς καὶ φόρους ἐτησίους
καὶ πλέθρα γῆς πάμπολλα καὶ πλείστας δόσεις,
πάντα μοναστῶν ἀκατάλληλα βίῳ.
Οὗτος στρατηγοῖς ἀνδρικοῖς βουληφόροις
καὶ ταγματάρχαις συνετοῖς κεχρημένος
στρατεύματί τε ναυτικῷ ῥωμαλέῳ
νίκας κατώρθου, κατεναυμάχει στόλους.
καὶ γὰρ κατακείρουσιν ἐν βαρεῖ στόλῳ
τοῖς Ἀγαρηνοῖς Ἰλλυρικὰ χωρία,
καὶ δρῶσι κακῶς τὰς ἐκεῖ κώμας πόλεις,
Ῥωμαϊκός τις ἐντυχὼν σφίσι στόλος
πυρίφλεκτον σφῶν ἀποδεικνύει στόλον.
καὶ πάλιν ἄλλος τις χιλιόναυς στόλος
ἐξ Ἀφρικῆς ἔπλευσε τὰς νήσους φλέγων,
καὶ πᾶς μικροῦ πέφλεκτο Ῥωμαίων στόλῳ,
ὃς αἰχμαλώτους εἷλε πεντακοσίους
καὶ δεσμίους πέπομφεν εἰς Βυζαντίδα.
τῶν πρὸς δ᾽ Εὐφράτῃ κειμένων περ ἀστέων
στρατηγὸς ἐκράτησεν Ἐδέσσης μάχῃ·

nibus, exactor visus potius quam imperator, (2970) acerbusque quaestor et persubtilis. has tamen omnes multoque plures opes magnificas effudit in impensas, dum sanctuarium exstrueret novum virgini matri, venerandae dominae; (2975) cui fructuosa attribuit praedia multarumque urbium annuos reditus, soli iugera multa ac dona plurima, quae res monachis non erant congruae.

Fortibus idem et consiliosis ducibus, (2980) catisque simul utens centurionibus, pedestri pariter nauticoque exercitu valens, felices rettulit victorias. cum enim Agareni ingenti classe oras haberent infestas Illyrii, (2985) urbesque damnis et pagos afficerent, his superveniens Romanorum classis hostiles naves absumpsit incendio. rursus mille navium advenit classis ex Africa, per insulas incendia iactans. (2990) sed parum abfuit quin omnem inflammarent Romani, qui ceperunt quingentos milites vinclisque onustos miserunt Byzantium. quin et ad urbes Euphradites missus dux quidam proelio

ὃς αὐτόγραφον καὶ θεόγραφον πλέον
εὑρὼν ἐπιστόλιον Χριστοῦ δεσπότου
στέλλει βασιλεῖ δῶρον ἠγαπημένον.
Τούτου κρατοῦντος γῆς κλόνος τις συνέβη,
ᾧ πολλὰ κατήρειπε τῶν δομημάτων,
ἃ πάντα λαμπρῶς ἀνεκαίνισε κράτωρ.
Ἐπεὶ δὲ μίτος τοῦ βίου κέκοπτό οἱ,
νόσῳ τακέντι ποικίλῃ φθισιβρότῳ,

Μιχαὴλ ὁ Παφλαγὼν ἔτη ζ΄.

Ζωὴ βασιλὶς δεικνύει βασιλέα
τὸν τῆσδ' ἐραστὴν Μιχαὴλ Παφλαγόνα,
ὡραῖον ὄψιν εὐπρεπῆ κεκασμένον,
τῆς φύσεως ἄντικρυς ἄγαλμα ξένον,
πρὸς δ' αὖ ψυχικαῖς ἀρεταῖς ἠνθισμένον,
ἀγαθόν, εὐέντευκτον, ἱλαρὸν τρόπους.
τούτῳ τὸ κάλλος προξενεῖ κράτους στέφος·
γένους γὰρ ἐκφὺς εὐτελῶν καὶ ξυγκλύδων,
κάλλους δ' ἔχων εὖ καὶ μελῶν εὐκοσμίας,
ἐρώμενος δέδεικτο τῆς βασιλίδος,
κἀντεῦθεν ἀνήνεκτο καθάπαξ φάναι
εἰς ὕψος οἷον καὶ θρόνον κραταρχίας.
πλὴν γνοὺς Ῥωμανὸς ὡς ἐνῆν πεπραγμένα,

2996 intellige epistolam ad Abgarum regem Edessenum; quae recitatur ab Eusebio Caesariensi hist. 1 13 et a Mose Armenio hist. 2 29. quamobrem res quidem iamdiu notissima erat; Ephraemius autem loquitur de ipso, si credere fas est, autographo. M. 3000 ἅπαντα V

Edessam cepit; (2995) ibique autographum, immo theographum repertum Christi domini epistolium donum gratissimum misit ad Caesarem.
Hoc imperante terrae motus accidit, quo domorum numerus ingens corruit, (3000) quas omnes liberaliter refecit Caesar.
Exin tabido morbo multiformi filum abrumpi sibi vitae sensit.

Michael Paphlagon an. 7.

Tum Zoë regina Caesarem dixit amasium suum Michaelem Paphlagonem, (3005) formoso vultu venustoque praeditum, rarum naturae veluti figmentum, insuper animi florentem virtutibus, bonum et comem et moribus hilarem. huic forma scilicet regium stemma contulit: (3010) vili namque stirpe plebeiaque erat, sed venustate praestans atque elegantia amorem sibi reginae conciliavit, atque hinc conscendit, ut strictim dicam, tantum in fastigium regnique thronum. (3015) quem cum amorem

ἔτι περιὼν καὶ κρατῶν εὖ τοῦ κράτους,
πίστεις παρέξειν ὁρκίοις φρικαλέοις
Μιχαὴλ ἠνάγκασε μηδὲν εἰδέναι·
ὁ δ' εὐπετῶς δέδρακε μὴ δείσας δίκην.
ὅθεν τι δαιμόνιον ὡς Σαοὺλ πάλαι
ἐνσκῆψαν αὐτῷ συνέπνιγεν ἀθλίως,
ὡς ἦν ἀκούειν, τῆς ἐφορκίας χάριν.
ὅμως διεῖπεν εὐτυχῶς τὰ τοῦ κράτους,
καὶ δι' ἑαυτοῦ καὶ στρατηγῶν ἐκκρίτων
ἠμύνετ' ἐχθρούς, καὶ δορυκτήτους πόλεις
αἱρῶν ὑπῆγε τῷ κράτει τῶν Αὐσόνων.
ἐκ τῆς δ' Ἀφρικῆς αὖθις ἐκπλεύσας στόλος,
νήσους τε κακῶν καὶ παραλίους τόπους,
Ῥωμαϊκῷ πᾶς κατεποντώθη στόλῳ.
καὶ Μανιάκης εὐσθενὴς στρατηγέτης
ἑλὼν Σικελῶν νῆσον ἐν στρατηγίαις
ταύτην καθυπέταξε τῇ κραταρχίᾳ.
    Μικροῦ δ' ἂν εἷλεν Ἐδεσσηνῶν τὴν πόλιν
Ἀρραβική τις δραματουργία τότε,
εἰ μὴ θεός γ' ἔσφηλεν αὐτὴν αὐτίκα.
μεγιστᾶνες γὰρ Ἀρράβων ἐθναρχίας
πόλει προσῆλθον δώδεκα τῆς Ἐδέσης
πλασάμενοι δῶρ' ἄττα βασιλεῖ φέρειν,
πεντακοσίας καμήλων ἡγούμενοι,
ἄχθος φερουσῶν καθ' ἑκάτερον μέρος
θίβας μεγίστας, αἷς ἐνῆν τις ὁπλίτης·

3039 τῶν καμήλων V

Romanus rescivisset, superstes adhuc et imperium retinens, sacramento adstrinxit Michaelem ut adfirmaret nihil se tale scire. ille iuravit facile, haud verens deum. (3020) quamobrem daemon irruens in ipsum, veluti Saulem quondam, suffocabat, prorsus, ut fama erat, periurii causa. feliciter is tamen imperium rexit: ipse enim, vel per delectos duces, (3025) pulsavit hostes, et vi captas urbes denuo Romano subdidit imperio. en vero ex Africa rursus profecta classis, insulis nocens maritimisque locis, cuncta a Romanis mersa fuit liburnis. (3030) tum etiam strenuus dux Maniaces Siculam armis expugnatam insulam Romano vectigalem imperio reddidit.

Sed parum abfuit quin Edessenam urbem Arabum quoddam strategema caperet, (3035) nisi artificium irritum deus fecisset. namque optimates Arabes duodecim ad Edessenam urbem accesserunt, dona se ferre Caesari simulantes, quingentosque camelos prae se agebant, (3040) onere utrimque singulis imposito, maximis cistis cum

οἵπερ δολίως ἱκέτευον εἰς πόλιν
συνεισαγαγεῖν θίβας ἑσπέρας σφίσιν,
ὡς νυκτὸς αὐτοῖς τὸ δρᾶμα λάβῃ πέρας.
οὔπω δὲ τοῦτ' ἔσχηκε βαρβάροις τέλος,
καὶ δρᾶμα γνωσθὲν εἰς κακὸν ἀντεστράφη
τοῖς ἐλλοχῶσι καὶ συνίστορσι δόλου·
πάντες γὰρ ἀνῄρηντο Ῥωμαίων σπάθῃ.
Ἐπεὶ δὲ τετρύχωτο Μιχαὴλ νόσῳ,
λύσιν δ' ἑώρα καὶ τομὴν ἐγγὺς μόρου,
τὴν βασιλικὴν παριδὼν ἁλουργίδα
καὶ βασιλείου σύμβολα πάντα κράτους,
ἐκ βασιλείων ἀπανίσταται δόμων
καὶ τὴν πρὸ τειχῶν εὐαγῆ μονὴν φθάνει,
ἣν αὐτὸς ἀνήγειρε δυσὶ συγγόνοις
θαυματοβρύταις ἁγίοις ἀναργύροις·
ἔνθα καταχθεὶς καὶ καρεὶς καλὴν κόμην
τὸ κατὰ Χριστὸν ἐνδιδύσκεται ῥάκος.
εἶτα μετὰ βράχιστον ἐκλείπει βίον,
θερμῆς δεδειχὼς τῆς μετανοίας τρόπους.

Μιχαὴλ ὁ καλαφάτης μῆνας δ'.

Καὶ πάλιν ἧκε πρὸς βασιλίδα κράτος,
ἥτις ὑπούλοις καταθελχθεῖσα λόγοις
ὅρκοις τε φρικτοῖς καὶ τινῶν συμβουλίαις
στέφει Μιχαὴλ Καίσαρα βασιλέα

3056 intellige ss. Cosmam et Damianum. M.

incluso milite. ergo dolose poscebant urbem ingredi, cistasque secum sub vespera inferre, nempe ut per noctem dramatis finem facerent. (3045) antequam tamen barbaris fraus succederet, comperta res convertit in exitium, atque in dolosi caput ruit dolus: etenim cunctos Romanus ensis messuit.

Deinde Michael morbo vexatus gravi (3050) finemque vitae proximum aspiciens, regiae despiciens purpurae fulgorem suaeque dignitatis insignia reliqua, regali maluit palatio digredi, ac suburbanum monasterium adiit, (3055) quod ipse aedificaverat duobus fratribus, mirificis sanctis Anargyris; in quo receptus, pulchra caesarie tonsa, pauperem, Christi amore, saccum induit. sed enim mox citissime vita excessit (3060) editis fervidae signis paenitentiae.

Michael Calaphates mens. 4.

Rursus imperium ad reginam devolvitur, quae fraudulentis delenita sermonibus, iuratis verbis et quorumdam consiliis, Caesarem regemque

καὶ κράτορα δείκνυσι τῆς Ῥωμαΐδος,
ἄνδρα ῥυπαρόν, δυσγενῆ, φαύλου γένους,
κἀκ τῶν τρόπων κάκιστον ὄντα τὸ πλέον,
ὕπουλον, ἀχάριστον εἰς εὐεργέτας,
ἀγνώμονα, βάσκανον, ὀργίλον φύσει,
τὴν γλῶτταν ἀντίφθογγον αὐχοῦντα λόγοις·
ὅστις ἐπείπερ ἐγκατεστάθη κράτει,
τὸ συγγενὲς μέτεισιν οἰκεῖον γένος,
ἀποστερῶν σφᾶς ἀρρενωπίας ὅλης,
κἂν ἦν ὑπηνήτης τις ἢ γήμας πάλαι.
καὶ μητράδελφον ἐξόριστον δεικνύει,
δι᾽ οὗ τὸ βασίλειον εὕρατο κράτος.
εἶτ᾽ ἀπελαύνει τῶν ἀνακτόρων βίᾳ
δέσποιναν αὐτοῦ κυρίαν εὐεργέτιν,
κείρει τε ταύτην καὶ κατακλείει τέλος
νήσῳ Πριγκίπου, συκοφαντίας πλάσας.
ἃ δῆμον ἐξέμηνε μαθόντα τάδε·
καὶ τῷ τυχόντι δεξιὰν πᾶς ὁπλίσας,
ὡς σμῆνος οἷον τῶν μελισσῶν, συνέθει
τῶν βασιλείων εὐθὺ σὺν προθυμίᾳ.
ἀνερράγη γοῦν ἐμφύλιός τις μάχη,
καὶ πλῆθος οὐ βράχιστον ἐν τῇδ᾽ ἐφθάρη.
τέως Μιχαὴλ ἀπορρηθεὶς τοῖς ὅλοις,
μέλαν τι τριβώνιον ἐνδὺς ἀθλίως,
μονῇ Στουδίου προσπεφευγὼς ἱκέτης
ὑπεισέδυ τράπεζαν ἱλαστηρίου·
ἧς ἐκβαλόντες ἐκτυφλοῦσιν ἀθλίως.

appellat Michaelem (3065) et Romanorum imperatorem creat, impurum hominem, genere vili satum, ob mores tamen suos peiorem adhuc, subdolum atque ingratum beneficiis, vecordem, invidum, iracundo ingenio, (3070) verba immutantem et vane gloriosum. hic regni sedem statim ac obtinuit, genus cognatum suum coepit persequi, et genitalem cunctis vim eripuit, barbatis etiam et maritis iamdiu. (3075) quin et exsilium decrevit avunculo, cuius favori culmen debebat regium. deinde regio pepulit palatio dominam suam beneficam reginam, eamque attonsam clausit ad extremum (3080) Principis in insula, calumnias dictitans. rem ut cognovit populus, furiis arsit, et tumultuariis correptis armis, ut apum ab examine fieri solet, regium ad palatium raptim cucurrit. (3085) ergo civilis pugna conserta est, nec brevis hominum numerus occisus, donec suis rebus desperans Michael, pulla miserabiliter indutus tunica, ad Studii monasterium supplex fugit, (3090) atque sub arae asylo semet condidit; unde protractus excae-

χειρίζεται δὲ δυὰς ἡ τῶν συγγόνων,
Ζωὴ Θεοδώρα τε, τὴν κραταρχίαν.

Κωνσταντῖνος ὁ μονομάχος ἔτη ιβ'.

Ζωὴ δ' ἐρῶσα τήνδε κατέχειν μόνη
πρὸς συνάφειαν γαμικὴν συνεζύγη
τῷ Κωνσταντίνῳ, τοὐπίκλην Μονομάχῳ,
καὶ κράτορα δείκνυσιν αὐτὸν Αὐσόνων,
ὄντ' εὐγενῶν τε καὶ περιδόξων ἕνα
ὡς εὐπατριδῶν ἐκφυέντα πατέρων,
λόγοις ὁμιλήσαντα πάνυ μετρίως,
ἐρωτικῶς δ' ἔχοντα πλὴν πρὸς τοὺς λόγους,
ῥᾴθυμον ἦθος μαλακόν τ' ἀνειμένον,
τρυφαῖς προσανέχοντα γλυκυθυμίαις,
ἐρωτοληψίαις τε συνισχημένον,
τῶν ἀξιῶν νέμοντα τὰς τιμὰς χύδην
οἷς οὐ προσῆκεν ἀγοραίοις ἀνδράσιν,
καὶ δημοσίων χρημάτων ὄλβους ὅλους
ὅλαις ἁμάξαις ἀναλίσκοντα μάτην,
οὐκ εἰς τὸ κοινῇ συμφέρον Ῥωμαΐδι
ἢ χρήσιμόν τι τῷ κράτει συνεισφέρον.
ἀντῆρε τῷδε βασιλεῖ Μανιάκης
ἀποστατήσας καὶ στρατιὰν ἁλίσας,
ἀνὴρ στρατηγὸς εὐσθενὴς καὶ γεννάδας,
οὗπερ κλέος μέγιστον ἐν στρατηγίαις·
ὃς μηδ' ὁτιοῦν ἐν τυραννίδι δράσας

catur miser. duabus autem traditur sororibus Zoae Theodoraeque imperii sceptrum.

Constantinus monomachus an. 12.

Sed cum sola Zoë regnare cuperet, (3095) Constantinum cognomento Monomachum, sibi coniunxit foedere coniugii et Romanorum imperatorem fecit. porro hic de coetu nobilium erat atque patriciis ortus parentibus; (3100) et vix quidem literas attigerat, easdem tamen amore dignabatur. ceterum ignavis moribus solutisque erat, deliciis deditus et hilaritatibus, amoris quoque obnoxius illecebris. (3105) tum dignitates conferebat temere viris vulgaribus ac praeter meritum. aerarii quoque publicam pecuniam effuso luxu ac stolido effundebat, qui nec Romanis rebus quicquam proderat (3110) nec imperii commoda adaugebat. adversus regem hunc Maniaces arma rebellans sustulit congregato milite, strenuus imperator et magnanimus, ductandis exercitibus iamdiu clarus: (3115) sed post tyrannidem nulla re patrata, repente periit,

ἐξαπίνης τέθνηκεν ἀρτύων μάχην.
μεθ' ὃν τις ἄλλος, Τορνίκιος τοὐπίκλην,
ὅστις ἐπῆλθε σὺν στρατιᾷ τῇ πόλει·
ἀλλὰ κρατηθεὶς ἐστέρητο τοῦ φάους.
καὶ Ῥωσικὸς πάλιν δὲ τῇ πόλει στόλος
ἐπεισέφρησε μυρίον στρατὸν φέρων·
ὃς ναυμαχίᾳ πᾶς σχεδὸν διεφθάρη.
καὶ Πατζινάκαι τῶν παριστρίων ἔθνος
λεηλατοῦντες κατέδραμον τὴν Θρᾴκην·
σπονδὰς δεδρακότες δὲ Ῥωμαίοις τέλος
τὰς πανοπλίας κατέθεντο καὶ μάχας.
Τούτου κρατοῦντος Οὐνικὸν Τούρκων ἔθνος,
ὁρμώμενον πρὶν ἐξ ὀρῶν Καυκασίων,
ἐπῆλθε πρῶτον Ῥωμαΐδος τοῖς ὅροις,
κἀκ τοῦδ' ἐθισθὲν τῇ κατ' αὐτῆς μανίᾳ
ἔληγεν οὐδὲν τῆσδ' ὅρους κατατρέχον.
ἐκ τῶν μερῶν ὅπως δὲ τῶν προσαρκτίων
οἷα λύμη τις οὐ καλῶς εἰσεφθάρη
εἰς τὴν καθ' ἡμᾶς γειτνίασιν λεκτέον.
Μουχούμετ ἀνὴρ ἡγεμὼν τῆς Περσίδος
ἤρατο μάχην κατὰ Βαβυλωνίων
Ἰνδῶν θ', ἑαυτῷ δυσμενῶν ἀντιπάλων,
δι' ὧν τροποῦται τοὺς ἐχθροὺς κατὰ κράτος.
νικηφόρος γοῦν σὺν σφίσιν ἀφιγμένος
πρὸς τὴν ἑαυτοῦ Μουχούμετ ἐθναρχίαν,
παλινδρομῆσαι πρὸς πατρίδα συμμάχους

post v. 3140 excidisse videtur versus huiusmodi: *Τούρκους παρακαλεσάμενος συμμάχους.*

cum pugnam instrueret. exin tyrannide Tornicius quidam arrepta, ad urbem regiam armatus venit, sed victus oculorum multatur lumine. (3120) Rossica praeterea contra Byzantium classis adventavit plurimum vehens militem, quae prope omnis navali proelio periit. tum Patzinacae, gens Istri accola, Thraciam praedantes concursaverunt; (3125) qui tamen foedere cum Romanis icto arma bellumque posuerunt.

Monomacho regnante gens Turcarum Hunnica, Caucasiis oriunda iugis, Romani primum imperii fines attigit; (3130) quo postquam odio semel est imbuta, nullum iam fecit incursionum finem. porro hi de Boreae quomodo regionibus ceu pestis quaedam omine tristi advenerint iuxtaque nos adsederint, dicendum superest. (3135) Persidis princeps Mahumetus nomine, bellum exercens cum Babyloniis atque cum Indis hostibus acerrimis, Turcarum auxilio rem bene gessit. igitur victor cum his regressus (3140) ad principatum suum Mahumetus socios ad propriam remeare

οὔκουν μεθίει χρησίμους δεδειγμένους·
ὅθεν φυγόντες ἀνέδραμον εἰς ὄρη,
καὶ τῇδε τὴν δίαιταν εἶχον ἐν χρόνῳ,
καὶ κατιόντες κατεδῄουν τὰ πέριξ,
ἀγροὺς πόλεις κώμας τε τῶν ἐκ τῆς Ἄγαρ.
στράτευμα τοίνυν εὐτρεπίσας Μουχούμετ
στέλλει κατ᾽ αὐτῶν, μυριάδας που δύο,
ὃ νυκτὸς ἄρδην τοῖς Τούρκοις κατεσφάγη.
κἀκ τοῦδε θρασεῖς τῇ νίκῃ δεδειγμένοι
καὶ τὴν κατὰ πρόσωπον ἱστῶσι μάχην,
καὶ συμπλακέντες κατὰ μάχην Μουχούμετ
κτείνουσιν αὐτὸν καὶ κρατοῦσι τοῦ τόπου,
ἀποστεροῦσι τοῦ κράτους τοὺς ἐξ Ἄγαρ,
καὶ τοῦτο χειρίζουσι τοῖς ἐκ τοῦ γένους,
τοὺς δ᾽ Ἀγαρηνοὺς ἔσχον εἰς ὑπηκόους.
Οὗτος βασιλεὺς καὶ μονὴν τῶν Μαγγάνων,
ἔχουσαν εὖ κάλλους τε καὶ ποικιλίας,
ἤγειρε λαμπρῶς ἀφθόνοις χορηγίαις
Γεωργίῳ μάρτυρι τῷ καλλινίκῳ,
ἐν ᾗ μυρίας ἀνάλωσε δαπάνας
πολυταλάντους καὶ δυσαριθμουμένας.
ἐπεὶ δ᾽ ἐδεῖτο χρημάτων ἄλλων πάλιν,
ἤρξατο κινεῖν ἃ κινεῖν οὐκ ἦν δέον·
χώραις γὰρ ἀτέλειαν αὐχούσαις τόπων,
εἰς φυλακὴν δὲ συντελούσαις πάλαι
καὶ κωλυούσαις βαρβάροις τὰς ἐξόδους,

3165 τῶν τόπων V 3166 τὸ πάλαι?

patriam nolebat, quoniam utiles compererat. quare hi fuga montes petiverunt, ibique vitam aliquamdiu tolerarunt: (3145) mox praedabantur vicinam regionem, agros urbes pagosque Agarenorum. ergo contractos Mahumetus milites viginti mille contra Turcas mittit: sed una nocte cuncti a Turcis pereunt. (3150) qui iam audaces hac victoria redditi aperto Marte gerere bellum incipiunt, et cum Mahumeto consertis manibus ipsum occidunt, potiuntur castris, atque Agarenos spoliant imperio, (3155) suaeque genti publicam rem vindicant, Agarenos autem sibi faciunt subditos.

Monomachus Manganorum monasterium pulchro varioque opere praefulgens laute excitavit maximis impensis (3160) victorioso martyri Georgio; ibique vim ingentem profudit opum, talenta multa vel potius innumera. cumque alia rursus indigeret pecunia, periculosam aleam tractare coepit. (3165) quibusdam enim populis ideo immunibus quia tuendis invigilabant finibus et barbaros accessu prohibebant, tri-

δασμοὺς ἐπιθεὶς καὶ φόρους τοὺς δι᾿ ἔτους
φρουροὺς καταργεῖ καὶ κατοπτῆρας τόπων.
κἀκ τοῦδε λοιπὸν πάροδος τοῖς βαρβάροις
ὑπῆρξε ῥάστη Ῥωμαΐδος πρὸς τόπους.

Θεοδώρα καὶ Μιχαὴλ ἔτη γ΄.

Μονομάχου δὲ τὸν βίον λελοιπότος,
τὰ Ῥωμαϊκὰ σκῆπτρα παραλαμβάνει
ἡ πορφυρανθὴς παρθένος Θεοδώρα,
ταύτῃ διαφέροντα μᾶλλον πατρόθεν·
ἥτις μονῇ τε καὶ μοναχαῖς παιδόθεν
ἐκδρῦσ᾿ ἑαυτὴν καὶ τρίχα κειραμένη
Χριστῷ καθιέρωτο καλῷ νυμφίῳ,
βασιλὶς ἐκλάμπουσα ταῖς ἀγλαΐαις,
ταῖς ἀρετῶν χάρισιν ὡραϊσμένη,
φαιδρά, κυδίστη, παρθένος διὰ βίου.
ἄρτι δὲ κράτος, ὡς ἔφην, δεξαμένη
ἅπαντ᾿ ἐποίει τὰ προσήκοντα κράτει,
λῆμ᾿ ἀρρενωπὸν δεικνύουσα καὶ σθένος,
ὡς ἀρρενόφρων Δεβώρα θρυλουμένη·
καθῆστο καὶ γὰρ ἐν βασιλείῳ θρόνῳ
δορυφορίας βασιλικῆς ἠγμένης,
ἐπιστατοῦσα τοῖς ὅλοις ὥσπερ δέον,
σὺν εὐνομίᾳ καὶ δικαιοκρισίᾳ,
ἀρχαιρεσιάζουσα πρὸς τὸ συμφέρον,
ψήφους τιθεῖσα καὶ δίκας κατὰ λόγον,

3175 lege Zonaram 17 20. M.

butum indixit et vectigal annuum; et sic locorum perdidit custodes. (3170) atque hinc barbaris facilis ingressus in Romanorum terras deinde patuit.

Theodora et Michael an. 3.

Postquam excessit e vivis Monomachus, purpurae flosculus Theodora virgo Romanorum sceptrum gestare coepit, (3175) ad quam potiore iure pertinebat. haec monasterio teneris ab annis semet concludens, tonsaque capillos, Christi coniugium sacrum praeoptaverat. nunc regina splendida iucundissima (3180) virtutumque ornatibus decorata, hilaris, gloriosissima, perpetua virgo. quae cum imperium, ut dixi, adiisset, cuncta pro suo naviter gerebat munere, virilem prae se ferens vim ac spiritum, (3185) ut illa fortis celebrata Debora. in tribunali quippe sedebat regio, aulica pompa custodibusque cincta, rei publicae gerendae impendens curam aequis cum legibus iudiciisque rectis, (3190) officia quoque utiliter conferens, ius rectum dicens et suffragia

καὶ βασιλικῶς χρηματίζουσα πάλιν
τοῖς πρέσβεσιν ἥκουσιν ἐξ ἐθναρχίας.
οὐκοῦν θεὸς κύδιστον εὔδαιμον κράτος
παρέσχεν αὐτῇ φυλακῆς χάριν νόμων
αὐτοῦ τε σεπτῶν ἐνθέων προσταγμάτων,
καὶ συνδιεῖπε τῇδε τὴν κραταρχίαν,
εὖ πάντα τιθεὶς ὡς θεὸς παντοκράτωρ.
οὐ γάρ ποτ᾽ ὤπτο τῆσδε κρατούσης ὅλως
ἀποστάτης τις ἢ τυραννίδος ῥέκτης,
οὐκ ἐνδρομή τις ἐθνικῆς ὁμαιχμίας
ὅπλα κινούσης κατὰ Ῥωμαίων κράτους,
οὐ δυσχερές τι καὶ πρόσαντες τῷ βίῳ,
πάντα δὲ καλὰ καὶ πλέω θυμηδίας,
ὡρῶν κρᾶσις εὔκρατος, εὐετηρία,
εὐθηνία πάγκαρπος, ἄφθονος χύσις,
καὶ γῆ μέλι ῥέουσα καὶ γάλ᾽ ἀφθόνως,
καὶ βίος ἡσύχιος, εὐτυχὴς ἄγαν.
ἐπεὶ δὲ βίον ἐκλιπεῖν πάντως ἔδει,
πρὸς τέρμα βίου κράτορα Ῥωμαΐδος
τινὰ Μιχαὴλ στρατιώτην δεικνύει,
γηραιὸν ἄνδρα, παντάπασι πρεσβύτην,
ἀβληχρόν, ἀδέξιον εἰς κραταρχίαν
ἐκ νωχελίας φυσικῆς γήρους θ᾽ ἅμα,
ἕλκοντα σειρὰν ἐκ Βυζαντίου γένους,
ἐπὶ βράχιστον τοῦ κράτους γεγευμένον
καὶ μηδ᾽ ὁτιοῦν τῶν καλῶν πεπραχότα·
ἐφ᾽ οὗ δυὰς ἤκμασε τῶν ἀριστέων

ferens; insuper regia cum maiestate excipiens quae mittebantur gentium legationes. ergo gloriosum ipsi deus regimen (3195) concessit propter legum observantiam; et quia divinis non discedebat regulis, iccirco deus, inquam, huic imperium prosperum tribuit, utpote omnipotens. namque hac regnante nullus rebellis exstitit, (3200) nemo tyrannidem uspiam arripuit; nullus incursus coniuratarum gentium armis Romanum pulsavit imperium; nil molestum adversumve mundo accidit. quin omnia fausta plenaque laetitiae, (3205) caeli temperies, fructuum fertilitas, annonae vilitas et copia rerum, terra melle fluens et lacte uberrime, vitae quies, felicitas omnigena. sed quia suprema instabat necessitas, (3210) Romanum moriens imperatorem creat Michaelem quendam agnomine Stratiotam, senem vel potius aevo decrepito, debilem atque ineptum ad imperium segnitie naturali senioque simul, (3215) qui Byzantina in urbe natus erat. hic degustato brevissime imperio nihil memoria dignum regnans fecit. sub eo virorum par floruit egregiorum bel-

τῶν τε στρατηγῶν, συνέσει τ' εὐανδρίᾳ
βίου τε λαμπρότητι καὶ τῇ τοῦ γένους
καὶ πᾶσιν εὐδόκιμος ἔνδοξος πάνυ,
ὁ Κατακαλὼ τοὐπίκλην κεκασμένος,
πρὸς τῷδ' Ἰσαάκιος Κομνηνῶν γένους,
ὅστις ἀποστὰς πορφυρίδα καὶ στέφος
αὐτῷ περιέθηκεν, ἀντάρας κράτει,
καὶ κράτος ἀδήριτον ἔσχεν εἰσάπαν.
ἐξίσταται δὲ Μιχαὴλ κραταρχίας.

Ἰσαάκιος ὁ Κομνηνὸς ἔτη η'. ς'.

Αὐτοκράτωρ οὖν Κομνηνὸς δεδειγμένος
Ἰσαάκιος, εὐσθενὴς στρατηγέτης,
οὐ τῷ θεῷ ἔγραφε τὴν εὐτυχίαν,
αὐτῷ δὲ μᾶλλον χειρί τε ξιφηφόρῳ.
καὶ τοῦτο δῆλον οἷς ἑαυτοῦ τὸν τύπον
στατῆρι τυπῶν δεξιὰν τεταμένην
ἐσπασμένην ἔγραφε γυμνὸν τὸ ξίφος.
ἦν δ' οὗτος ἀνήρ, ἐν κεφαλαίῳ φάναι,
ἦθος σοβαρὸς καὶ κατωφρυωμένος,
ὀξὺς πρὸς ἔργα, πῦρ πνέων ἐν ταῖς μάχαις,
δραστήριος μάλιστα καὶ τολμητίας,
στρατηγίαν ἄριστος, ἀνδρεία φύσις,
οὐχ ὡμιληκὼς πλὴν προσανέχων λόγοις.
χάριτας οὗτος ἐκτίνων ἀρχιθύτῃ
τῆς εἰς τὸ κράτος συνδρομῆς συνεργίας,

3222 codex κεκαυμένος. M.

lica scientia et fortitudine, (3220) splendore simul vitae avitique generis, ille nimirum celebris ac laudatissimus qui cognomento dictus est Catacalo, alter Isaacius Comnenorum genere, qui manifesto ab imperio deficiens (3225) purpuram induit coronamque cinxit, et sine bello stabile regnum tenuit. Michael autem imperio se abdicavit.

Isaacius Comnenus an. 8. *mens.* 6.

Ergo imperator processit Comnenus, belli fortissimus dux, Isaacius, (3230) fortunam suam nequaquam deo tribuens, sed sibi magis brachioque ensifero. id declaravit, cum suum typum statere cudens, protentam dexteram enseque nudo armatam inscripsit. (3235) erat hic vir, ut summatim dicam, more severo, adducto supercilio, impigra opera, igneus in proeliis, audaci animo, actuosus maxime, egregius dux, Martio corde praeditus, (3240) rudis literarum sed tamen studiosus. hic patriarchae debitam gratiam referens, qui ipsi imperium adeunti fa-

φροντίδα πάντων πραγμάτων ἐκκλησίας
ἔνειμε τῷδε, καὶ δυεῖν ὀφφικίων,
οἰκονόμου τε σκευοφύλακός θ' ἅμα,
πρόβλησιν ἀπέταξε τῇ ἐκκλησίᾳ,
πρὸ τοῦ βασιλεῖ τήνδε δρᾶν ἀνειμένην.
καὶ κατὰ Σκυθῶν ἐκστρατεύσας καὶ Οὔγγρων
ἥττησε, τοὺς μὲν καταβαλὼν ἐν μάχαις,
σπονδὰς δ' Οὔγγροις ἔθηκεν ἐξαιτουμένοις.
Νικηφόρος γοῦν ἀνθυποστρέφων μάχης
χώρῳ Λοβιτζῷ Μυσίας κεκλημένῳ
χειμῶνος ὥρᾳ πηγνύει σκηνὴν φέρων·
ὑπῆλθε δὲ δρῦν νιφετοῦ πεπαυμένου
σὺν τοῖς μεθ' αὐτοῦ προκρίτοις γερουσίας,
πασῶν μεγίστην καὶ πολύκλωνον, ξένην,
σκηνῆς προελθὼν τῆς βασιλείου τότε,
οὗπερ συνεστὼς ὡμίλει δεδογμένα.
θροῦς δ' ἐξαπίνης καὶ βοή τις συμβᾶσα
τοῦτον μεθιστᾷ τῆς δρυὸς τούς τ' ἐν τέλει·
ἡ δ' αὐτίκα πέπτωκεν ἐκ ῥιζῶν ὅλη,
καὶ βασιλεὺς πέφευγε σὺν ἄλλοις μόρον.
ὅθεν χαριστήρια τῷ θεῷ θύων
ἐν βασιλείοις ἰσαποστόλῳ Θέκλῃ
(μνήμη γὰρ αὐτῆς ἐκδιδράσκει τὸν μόρον)
κάλλιστον ἀνήγειρε ναὸν ἐκ βάθρων.
Θηρῶντι τῷδε πρὸς στενοῦ που χωρίοις
σῦς ὤπτο φρικτὸς καὶ μέγας, χαυλιόδους,
ὃν ἦν διώκων ἱππότης ξιφηφόρος·

verat, cunctarum illi rerum ecclesiae curam tribuit, et duorum simul officiorum, (3245) oeconomi et sceuophylacis, creandi potestatem ecclesiae dedit; quae res suffragio regis fiebat antea. deinde Scythas Pannoniosque aggrediens bello vicit, illos proelio frangens, (3250) his vero postulatam impertiens pacem.

Ergo cum victor bello reverteretur, loco Moesiae quodam cui nomen Lobitzo, hieme desaeviente, tentorium statuit. verum cessante nive sub quercum abiit (3255) ramosissimam, grandem et insolitam, cum optimatium comitatu Caesar, regio progrediens tabernaculo, ubi in consilio negotia expediverat: cum ecce subito fragor excitatus (3260) regem eiusque socios de quercu amovit, ipsa autem vulsa radicitus corruit. at Caesar necem cum comitatu effugit. quamobrem grates debitas ut deo redderet, regio in palatio Theclae apostolicae (3265) (eius enim festo die vitarat fatum) pulcherrimum delubrum excitavit.

Huic visus est venanti in angustis locis aper magnus, horrendus,

σὺν δ' ὑποδύντα κυματούμενον σάλον
ὁρῶσιν ἀθέατον εἶναι παντάπαν.
ὡς ἀστραπῆς δ' ἅλματι βληθέντα λόγος
πεσεῖν κρατοῦντα πρὸς χθόνα παραυτίκως,
ἀφρόν τε τοῦ στόματος ἐκπτύοντά πως
καὶ συνιέντα μηδ' ὁτιοῦν μηδ' ὅλως·
μικρὸν δ' ἀνανήψαντα δοῦναι τὸ κράτος
τῷ φύντι Δουκῶν ἐκ γένους Κωνσταντίνῳ,
αὐτὸν δὲ τριβώνιον ἠμφιεσμένον
μονῇ προσελθεῖν εὐαγεῖ τοῦ Στουδίου,
κἀκεῖ τὸ λοιπὸν τοῦ βίου διανύσαι
καλῶς ἀνασφήλαντα τῆς καχεξίας.
τυραννίδος δ' ἔφασκεν αἰτιωμένοις
ὅτι περ ὤκνουν τῷ συνοικέτῃ τέως
ὑπηρετῶν εὖ εἰκότων μὴ τυγχάνειν.

Κωνσταντῖνος ὁ Δούκας ἔτη ιβ'.

Ἐπεὶ δὲ Δούκας, ὡς ἔφην, αὐταρχίας
ἀπραγμόνως ἔτυχε καὶ χωρὶς πόνου,
πολλοὺς γερουσίας τε καὶ τῶν συρφάκων
εἰς ὕψος ἀνήγαγεν ἀξιωμάτων,
ἀνὴρ ἀγαθός, εὐσεβής, πρᾶος φύσει,
χρηστός, γαληνός, εὐμενὴς ὑπηκόοις,
γνώμων δικαίου καὶ δικῶν ζυγοστάτης,
γνώμην δὲ νωθρὸς νωχελής τε καθάπαξ,
ἄνδρας ἐραστὰς ἀρετῆς στέργων πάνυ,

exsertis dentibus, quem Caesar ense stricto dum persequitur, (3270) ille se maris fluctibus submergens spectantium subito evanuit oculis. tunc aiunt fulminis velut ictu percitum imperatorem humi concidisse stratum, spumas ore agentem, nec iam aliquid (3275) intelligentem sensibus, donec paululum mente recepta tradidit imperium Ducarum Constantino familia nato. is autem paupercula indutus tunica ad monasterium Studii se contulit, (3280) atque ibi reliquam exegit vitam, pulchre recedens pravo vitae genere. hic tyrannidis crimen obiicientibus "nolui" respondit "conservo diu obsequi, qui mihi debitam gratiam non referret."

Constantinus Ducas an. 12.

(3285) Cum Ducas, uti dixi, imperii habenas corripuisset facile et labore nullo, nobiles multos, simul et plebeios, ad dignitates extulit sublimes, vir bonus, pius, mansueto ingenio, (3290) mitis, tranquillus, subditis benevolus, regula iuris, iudiciorum lanx quaedam; ignavus ceteroquin atque socors; et frugi quidem homines diligens, sed laborans

ἥττων χρυσοῦ δὲ χρημάτων αὖ ἐκτόπως,
ματαιολοιχὸς δυσγρίπιστος καὶ γνίφων,
ἀνώτερον σπούδασμα τιθεὶς φροντίδος
σχολῆς τε πάσης ἡμέραν ἐξ ἡμέρας
πῶς χρημάτων γένοιτο πολλῶν δεσπότης;
θησαυρὸν ἁβρὸν ἠρανικῶς χρυσίου
ἀδρόν τε σωρὸν ἀπλέτων ἀργυρίων.
τοίνυν ἐπαύξειν εἰσφορὰς ἐτησίους
δασμούς τε κοινοὺς δημοσίους δ' αὖ φόρους
ἔσπευδε καὶ πράγμασιν ἀεὶ καὶ λόγοις,
σφᾶς ὠνίους δρῶν χρημάτων ἠρημένοις·
ἢ καὶ τελώναις συλλογὴν τὴν τῶν φόρων
ἐπί γε ῥητῇ κατεπίστευ' ἐκτίσει.
ἐπιδρομὰς δὲ βαρβάροις ἀντιθέτοις
οὐκ ἐκστρατείαις οὐδ' ὁπλίταις καὶ μάχαις
ἠγάπ' ἀπείργειν ἐξ ἄκρας γε δειλίας,
ἀλλὰ χρυσαργύρῳ τε δώροις ἀφθόνοις,
φιλοφροσύναις καὶ τιμαῖς ὑπερτάτοις
σφᾶς ἡμεροῦν ἔσπευδε πραΰνειν κράτει.
κἀκ τοῦδ' ἑῴα Ῥωμαΐδος χωρία
ἔφθαρτο πλεῖστα θρασύτητι βαρβάρων,
ἄστη δ' ὑπέσχον αὐχένα σφίσι πάλιν
χῶραί τε πολλαὶ Ῥωμαϊκαὶ καὶ πόλεις.
ἔπασχεν οὐχ ἧττον δὲ κακῶς συχνάκις
μέρη δυτικὰ στρατιᾶς ἀπουσίᾳ·
Οὔζων γὰρ ἔθνος ἐκ Σκυθῶν παριστρίων
Ἴστρον διαβάν, μυριάριθμον στῖφος,
ἢ φασίν, ἑξήκοντα χιλιοστύες,

auri absurdo amore, (3295) minutus, sordidus, minimis lucris inhians. nempe praecipuum collocabat studium idque quotidie sedulo curabat ut pluris dominus fieret pecuniae, splendidum auri congerens thesaurum (3300) et grave pondus argenti innumeri. augendis igitur annuis reditibus tributis publicis atque vectigalibus instabat impensissime et verbo et opere, eaque redemptoribus venalia dabat. (3305) quin etiam publicanis exactionem pacta mercede, ut diximus, locabat. iam barbarorum proximorum incursum nequaquam armis neque virtute bellica arcere solitus fuit ob nimium metum, (3310) sed vi pecuniae et donis abundantibus, blanditiis atque honoribus supremis benivolos imperio studebat reddere. ergo Romana in oriente dicio barbaro incursu laboravit plurimum; (3315) iterum arces iugum subierunt, multaque loca urbesque imperii. neque minora patiebatur damna orbis occiduus militum absentia. Uzi enim Scythae, Istri accolae, (3320) fluvio traiecto

Θρᾴκης ἐπῄει Μακεδονίας ὅρους
δῃοῦν λεηλατοῦν τε καὶ καταστρέφον,
ὃ καὶ προῆλθε μέχρις αὐτῆς Ἑλλάδος.
πέρας ἅπαν ἔφθαρτο μικροῦ Βουλγάροις,
θεοῦ συναρήγοντος αὐτοῖς ὑψόθεν.
τέως δ᾽ ἄναξ ἔξεισι κατὰ βαρβάρων
ταῖς παρὰ πάντων μέμψεσιν ὡρμημένος,
ἄγων μεθ᾽ αὑτοῦ στρατιώτας πρὸς μάχην
πρὸς τοῖς ἑκατὸν πεντηκοντάδα μίαν·
ὃς τὰς φορητὰς οἰκίας καθιδρύει
ἐν τοῖς πρὸ τειχῶν χωρίοις Βυζαντίδος,
οὗ βαρβάρων ὄλεθρος ἠνώτιστό οἱ.
Ἐφ᾽ οὗ κλόνος γῆς συνέβη φρικαλέος,
δι᾽ οὗ κατηρείπωντο ναοὶ καὶ δόμοι·
Ἑλληνικός τε βωμὸς ἐν τῇ Κυζίκῳ,
κάλλιστον ἔργον καὶ θέαμά τι ξένον,
πέπτωκεν εἰς γῆν κατασεισθεὶς τῷ κλόνῳ·
σεπτὸς δὲ ναὸς πατέρων θεηγόρων
ἐν Νικαίᾳ σέσειστο καὶ διερράγη.
Οὗτος λόγους ἔστεργε τῶν ἄλλων πλέον,
ἄκρῳ λιχανῷ τῶνδέ περ γεγευμένος,
καὶ τοὺς λογίους ἦν τιμῶν τε καὶ σέβων,
κἀκ τῶν λόγων ἔφασκεν οὐχ ἧττον θέλειν
ἢ βασιλείας γνώριμον καθεστάναι.
Οὗτος τὸ βιοῦν ἐκματρῶν λείπει κράτος
τέκνοις ἑαυτοῦ, συζύγῳ βασιλίδι,

cum immenso numero, (nam sexaginta milia fuisse fama est) Thraciam incursarunt ac Macedoniam, omni exterminii genere saevientes, et ipsam Graeciam usque penetrarunt. (3325) sed demum cunctos Bulgari ceciderunt, numine caelitus ipsis auxiliante. interim Caesar moverat in barbaros, omnium conviciis domo protrusus, secum ad bellum conficiendum ducens (3330) haud amplius centum quinquaginta homines. ergo tentoriis imperator fixis in suburbanis Byzantii locis, ibi intellexit barbarorum caedem.

Illo regnante terrae motus horridus (3335) multa delubra proruit atque domos; araque Graeca Cyzicenae urbis, opus pulcherrimum et visu mirum, humi deiecta incubuit terrae tremitu. templum quin etiam divinorum patrum (3340) Nicaena in urbe concussum dissiluit.

Ducas prae ceteris literas Caesaribus dilexit, summis quas labris attigerat, atque eruditos homines in pretio habuit, seque dicebat a literis malle (3345) quam ab imperio fieri gloriosum.

Is fato urgente tradidit imperium liberis suis reginaeque coniugi, iuratam prius fidem ab hac exigens secundas nuptias haud se petitu-

ἔγγραφον ὅρκον τῆσδε πρὶν δεδεγμένος
ὡς οὐχ ὁμιλήσειε δευτέροις γάμοις·
ὃν εἰς φυλακὴν ποιμενάρχῃ χειρίσας
βίον τὸν ἀνθρώπινον ἐκλείπει μόρῳ.

Ῥωμανὸς ὁ Διογένης ἔτη ϛϛ'..

Αὕτη γε μέντοι τόνδε λαβοῦσ' ἀπάτῃ
τῷ Διογένει Ῥωμανῷ συνεζύγη
καὶ κράτορ' αὐτὸν ἀπέφηνεν Αὐσόνων,
ἄνδρα στρατηγὸν ἀπαράμιλλον, ξένον,
ἀρήϊον, κράτιστον ἐν πάσαις μάχαις,
βριαρόχειρα καὶ μαχητὴν γεννάδαν,
ἦθος σοβαρὸν ἐμβριθὲς κεκτημένον,
ψυχῆς τε παράστημα πλουτοῦντα μέγα,
ἀνδρεῖον ὄντως καὶ σθένος ῥωμαλέον,
τρόπους τε χρηστὸν καὶ θεῷ πεφιλμένον,
προκινδυνεύειν προφρόνως ᾑρημένον
ὑπηκόων ἄριστα καὶ στρατευμάτων·
οὗ τὰς κατ' ἐχθρῶν συμπλοκάς τε καὶ μάχας,
νίκας ἀριστείας τε, γενναίους ἄθλους,
καὶ τἄλλα καλῶν παραδιδόναι λόγῳ
ἐργῶδές ἐστι συντομίᾳ χρωμένοις.
οὗτος κατ' ἐχθρῶν ἐκστρατεύσας βαρβάρων
Περσῶν, κακούντων τὰ πρόσοικα χωρία
τὰ πρὸς Κιλικίᾳ τε καὶ τῇ Φοινίκῃ,

ram; (3350) qua scheda patriarchae Caesar tradita humanae vitae terminum imposuit.

Romanus Diogenes an. 6. *mens.* 6.

Cum sic regina fefellisset coniugem, Diogeni Romano deinde nupsit, ipsique regiam dignitatem contulit. (3355) erat is summus et invictus dux, fortissimus, in proeliis Martem spirans, maximis viribus audaciaque pollens, severis moribus gravibusque praeditus, animi quoque dotibus praedives, (3360) vir vere strenuus atque pectus validum, optima vita et deo gratissima; et qui libenter pro subiectis populis et pro exercitibus adibat pericula. huius diversas cum hoste pugnas, (3365) victorias, palmas et strenuitates, cetera honesta facta verbis dicere summario in opere admodum difficile. is contra hostes profectus barbaros, Persas videlicet, qui loca finitima, (3370) Ciliciam et Phoeni-

λεηλατούντων καὶ πόλεις τὰς καθ' ἕω,
καὶ συρραγείσης καρτερᾶς ἀμφοῖν μάχης,
φεῦ φεῦ, ἑάλω βαρβάροις ὁ γεννάδας,
ὁ πάντα λαμπρός, ὁ κλονῶν ἐχθρῶν ἴλας,
ὁ Ῥωμαΐδος ἡγεμὼν καὶ προστάτης.
ἤχθη τε περσάνακτι δεσμώτης ἄναξ,
πρὸς δ' αὖ δορυάλωτος· ἀπαχθεὶς δ' ὅμως
φιλοφροσύνης καὶ θεραπείας ὅσης
τιμῆς βασιλείου τε καὶ δόξης πάλιν
ἔτυχε καλῶς πρὸς κρατοῦντος Περσίδος
Ἀζὰν ἐκείνου τοῦ περιθρυλουμένου,
ἀνδρὸς μετρίου τὸ φρόνημα καὶ λόγον
ἴσου τ' ἐραστοῦ, φιλοτίμου τοὺς τρόπους.
ἐπανόδου δ' ἔπειτα λαμπρᾶς τυγχάνει,
σὺν αἰχμαλώτοις ἀπολυθεὶς ἐντίμως.
ἐπεὶ δ' ἐπανέζευξεν εἰς Ῥωμαΐδα,
ἐπανασωθεὶς ὥσπερ ἐκ τρικυμίας
ὡς εἰς ἄκλυστον λιμένα κραταρχίαν,
ἐνταῦθα ναυάγιον, ὢ δεινοῦ φθόνου,
ἔτλη, στερηθεὶς τοῦ φάους τῶν ὀμμάτων.
οὕτω δ' ἔχων ἄπεισι πρὸς καλουμένην
Πρώτην γε νῆσον πλησίον Βυζαντίδος,
ἔνθα μονὴν ἤγειρεν οὗτος ἐκ βάθρων,
κἀκεῖ τελευτᾷ σαββατίσας τῶν πόνων·
ἐφ' οὗ Βλαχερνῶν εὐπρεπὴς νεὼς ἅπας
ἐπυρπολήθη τῷ πυρὶ τῷ παμφάγῳ.

cen, devastabant, orientis urbes raptui praedaeque habebant; cum his, inquam, gravi conserto proelio captus est a barbaris heu vir strenuus, vir qui hostiles legiones prosternebat, (3375) Romani imperii caput et defensor. ergo ad Persarum regem vinctus trahitur, sed captivo licet statu nactus est benivolentiam plurimam atque curam. immo et honore regio cultuque est habitus (3380) egregio exemplo apud Persarum dominum, Azanem illum fama celeberrimum, animo et verbis mitibus uti solitum, aequi amatorem, nominis clari cupidum. quin etiam splendido mox impetrato reditu (3385) cum captivis dimittitur honorifice. sed cum Romani imperii fines attigit, veluti ex summa tempestate incolumis in portum regni sui tutum veniens, ibi naufragium, o dira fati invidia! (3390) fecit, et oculi vivo sunt erepti. sic aeger ergo abiit in insulam (cui nomen Prima) proximam Byzantio, in qua is olim monasterium struxerat; ibique moriens requiem laborum habuit. (3395) illo regnante Blachernorum templum insigne flamma edaci absumptum fuerat.

Μιχαὴλ ὁ υἱὸς Κωνσταντίνου τοῦ Δούκα ἤτοι ὁ παραπινάκης ἔτη ϛϛ΄.

Εἶτα Μιχαὴλ παραπινάκης θέσιν
Κωνσταντίνου παῖς παραλαμβάνει κράτος,
χαῦνός τις ἦθος, ἀφελής, ἀνειμένος,
ἁπαλός, ἀδέξιος εἰς κραταρχίαν,
τὰ καθ' ἑαυτὸν διέπειν οὐκ ἰσχύων,
μήτοι γε κράτος καὶ διοίκησιν ὅλων.
πρὸς οὐδ' ὁτιοῦν προσπεφυκὼς κρειττόνων,
ἄλλους ἐφιστῶν ἡνίαις ταῖς τοῦ κράτους,
αὐτὸς προσεῖχε τοῖς λόγοις ὁσημέραι,
οἷς τ' οὐ προσῆκεν ἀμαθῶς κεχρημένος·
ὅθεν κακῶς ἔπασχεν κοινὰ πραγμάτων,
ὁλκάς τ' ἐκινδύνευε τῆς κραταρχίας
δειναῖς τρικυμίαις τε καὶ καταιγίσιν
εἰς Ἀμφιτρίτης τὸν βυθὸν καταδῦναι·
ὡς ἄγριοι γὰρ Καικίαι πεπνευκότες
ἄνδρες στρατηγοὶ βασιλειῶντες τότε
ὁλκάδα κράτους κατέδυσαν εἰς βάθος·
ὡς γὰρ πολυκέφαλος ἄλλη τις ὕδρα,
οὕτως ἀποστάτιδας ἦν ὁρᾶν κάρας.
ἀφίσταται πρῶτα τῶν Ῥουσέλιός τις,
πρὸς τῷδε Καῖσαρ καὶ Νέστωρ τις βεστάρχης,
Νικηφόρος τε Βρυέννιος τοὐπίκλην,
ὃς παρασήμοις ὡράϊστο τοῦ κράτους·
ἄλλος Νικηφόρος τις Βοτανειάτης,
ὃς καὶ κατῆρξε τοῦ κράτους τῶν Αὐσόνων.

3398 τὸ κράτος V   3411 κακίαι V   3419 ὡς V

Michael Constantini Ducae filius sive parapinaces an. 6. mens. 6.

Deinde Michael, vulgo Parapinaces, Constantini filius imperium adiit, ingenium leve, dissolutum, stolidum, (3400) ignavum et ineptum ad imperium, qui ne privatam quidem rem suam gerere, nedum imperii publicam valebat. ergo cum nihil frugi sciret agere, aliis habenas imperii committens, (3405) is se literis quotidie oblectabat ineptisque stolide occupationibus. quare res publica laborare coepit, imperiique navis periclitari, ne saevis undis ac tempestatibus (3410) in Amphitrites barathro mergeretur. namque, ut feroces beluae furentesque, nonnulli duces cupidi tyrannidis navim rei publicae naufragam dederunt. nempe ut fecunda capitibus hydra, (3415) sic apostatici prodibant duces. primus Ruselius quidam rebellat, deinde Caesar, tum Nestor vestarcha; exin Nicephorus agnomine Bryennius, qui ex illustribus erat optimatibus; (3420) denique Nicephorus alius Botaniata, qui et impe-

σὺν οἷς λιμός τε καὶ βροτῶν φθίσις
βαρεῖα κατέτρυχε τοὺς ὑπηκόους,
καί τις φόρων εἴσπραξις ἀδικωτάτη.
Ταῦτα μὲν οὕτω συμβέβηκεν ὡς ἔφην,

Νικηφόρος ὁ Βοτανειάτης ἔτη γ΄.

Φημίζεται δὲ Βοτανειάτης κράτωρ,
καὶ διαδεῖται βασιλικῇ ταινίᾳ·
καὶ τηνικαῦτα φιλοτιμίον ξένην
τὴν τῶν χρεῶν ἅπασιν ἐκτομὴν νέμει,
χρεωκοπίαν δημόσιαν θεσπίσας,
ἀνὴρ ἱλαρὸς ἁπαλὸς χρηστὸς τρόπους,
ἄλλως δὲ νωθὴς χαῦνος ἐκλελυμένος,
πρὸς πραγμάτων πρόνοιαν οὐκ εὖ πως ἔχων,
τὸ δ᾽ αὖ ἐτῶν μήκει τε καὶ γήρως νόσοις.
ὅθεν παραδοὺς ἡνίας ἄλλοις κράτους
αὐτὸς τρυφαῖς ἔχαιρε καὶ συσσιτίοις
λουτροῖς πανημέροις τε καὶ πανδαισίαις.
ὁ Μιχαὴλ δὲ γίνεται μελαμφόρος,
εἶτ᾽ ἀρχιθύτης καὶ πρόεδρός γ᾽ Ἐφέσου.
τούτου συνεύνῳ πρὸς γάμου κοινωνίαν
Βοτανειάτης οὐ καλῶς συνεζύγη.
ἀποστασίας δ᾽ εἰσέτι Βρυεννίου
τυραννίδος τ᾽ αὖ οὐ καλῶς ἐξημμένου,
καὶ μὴ θεῖναι δωρεαῖς πεπεισμένου,
στέλλει κατ᾽ αὐτοῦ βασιλεὺς τὰς δυνάμεις,

3444 *μήτι?* 3422 *λιμός τε λοιμὸς καί?*

rium Romanum obtinuit. pestis praeterea hominumque lues gravis afflixit populos imperii, et iniustissima vectigalium exactio.

(3425) Sic ergo res humanae tunc se habebant.

Nicephorus Botaniata an. 3.

Ergo appellatur rex Botaniata atque sollemni stemmate exornatur; qui sui nominis celebrandi cupidus cunctam aerario debitam pecuniam (3430) remisit, novas tabulas instituens; vir laetus facilis moribusque commodis, ceterum segnis, levis, dissolutus, neque ad rei publicae curam idoneus: nam et senecta et morbis premebatur. (3435) quamobrem alios rei publicae praeponens, ipse deliciis epulis ac balneis comissabundus quotidie indulgebat. Michaël autem clericus tondetur, exin fit primas Ephesi episcopus; (3440) cuius uxorem sibi consociavit haud laudabiliter Botaniata. iam rebellante postea Bryennio tyrannidemque perfide affectante, neque se donis placidum praebente, (3445) mittit in ipsum copias imperator bellique ducem Comnenum Alexium,

Ἀλεξίῳ δοὺς Κομνηνῷ ταύτας ἄγειν·
ὃς συμπλακεὶς ἥττησε τύραννον μάχῃ,
καὶ φωτὸς ἐστέρησεν αὐτὸν ὀμμάτων.
πρὸς δ' αὖ τυραννήσαντα καὶ Βασιλάκην
πεμφθεὶς Κομνηνός, συμπλακείς οἱ πρὸς μάχην,
ἡττᾷ κραταιῶς καὶ στερίσκει τοῦ φάους.
καὶ Βαράγγων σύστημα τοῦ στεφηφόρου
κατεξαναστὰν ηὐτρέπιστο πρὸς μάχην·
ἀντιπαρατάξει δὲ χειρὸς δυσμάχου
καθυπεκλίθη καὶ συνέγνωσται πάλιν.
ὕστατον ἀνταίρει δὲ Βοτανειάτῃ
Κομνηνὸς Ἀλέξιος τυραννοκτόνος,
ὃς καταλαβὼν Ἀδριανοῦ τὴν πόλιν
στρατόν τ' ἀγείρας ἀναδείκνυται κράτωρ
καὶ βασιλικοῖς ἀναδεῖται συμβόλοις,
μεθ' ὧν ἀπάρας τὴν Κωνσταντίνου φθάνει,
καὶ τήνδ' ἑλὼν μάχῃ τε καὶ στρατηγίᾳ
εἴσεισιν ἐντὸς τῶν βασιλείων δόμων.
ἄπεισι δ' αὐτῶν Βοτανειάτης τάχος,
καὶ τρίχα καρεὶς ἀμφιέννυται ῥάκος
ἐν μητρανάνδρου τῇ μονῇ περιβλέπτου,
ἔνθα θανὼν ἔτυχε τιμῆς ἐντίμου.

Ἀλέξιος ὁ Κομνηνὸς ἔτη λζ'.

Οὕτω μὲν Ἀλέξιος εὕρατο κράτος,
ὃς καὶ τεταινίωτο παρ' ἀρχιθύτου,
κράτωρ ἀγαθὸς καὶ στρατηγὸς γεννάδας,
φρικτὸς μὲν ἐχθροῖς, εὐμενὴς δ' ὑπηκόοις,

qui pugna tyrannum patrata vicit atque oculorum lumine spoliavit. item adversus Basilacem rebellem (3450) missus Comnenus, consertis manibus, fortiter vicit illumque excaecavit. quin et Varangi coniurati in Caesarem publice ad arma seditiosa iverunt: sed manu forti protinus perdomiti (3455) veniam moliminis mox impetrarunt. ipsum postremo Botaniatam aggreditur tyrannicida Comnenus Alexius; atque occupata Hadriani urbe collectisque copiis fit imperator (3460) atque regalibus ornatur insignibus. sic ergo accedens ad Constantini urbem cepit hanc proelio et peritia bellica, et regiam ipsam occupavit domum; qua festinanter exiens Botaniata (3465) monachi tunicam, tonsa coma, induit in monasterio venerandae virginis, ibique moriens sepelitur magnifice.

Alexius Comnenus an. 37.

Sic ergo Alexius nactus est imperium, quin et a summo praesule coronatus, (3470) bonus imperator et dux strenuus, hosti tremendus,

ἀνὴρ περιδέξιος, ὀξὺς ἐν μάχαις,
εἶδος προδεικνὺς ἄξιον τυραννίδος.
καὶ πρᾶον ἦθος καὶ φιλαγάθους τρόπους,
γένους ἔχων εὖ σώματός τ' εὐρυθμίας,
ἔργων στρατηγίας τε καὶ μάχης ἴδρις.
οὐ χρημάτων ἥττητο καὶ χρυσαργύρου,
οὔτ' αὖ θυμοῦ τε καὶ χόλου φθισιβρότου.
οὐχ ὑπερόπτης καὶ σοβαρός τις τρόπους
ἢ δυσπρόσιτος ἦν ὑπηκόοις ὅλως,
ἢ πρὸς κόλασιν ἀπαραιτήτως ἔχων,
ἐπικλινὴς δὲ πρὸς φιλανθρώπους τρόπους,
μέτριος, ἡδύς, εὐπρόσιτος, χαρίεις,
πτηνὸς φρόνησιν, ἀγχίνους ἢ κρυψίνους,
ὑπέρμαχος κάλλιστος ὀρθοδοξίας,
δίαιταν ἁβρὰν οὐ φιλῶν οὐδ' αὖ πότους,
ἄνδρας λογίους ἀρετήν τ' ἠσκηκότας
σέβων τε τιμῶν καὶ προσανέχων σφίσιν.
Ἤγγελτο τῷδε τοῦ κράτους δεδραγμένῳ
ὥς τις Ἰταλὸς Ῥομπέρτος κεκλημένος
εἰς Δαλματίας τὴν Ἐπίδαμνον πόλιν
σὺν στρατιᾷ κατῆρε καὶ βαρεῖ στόλῳ.
ἔξεισι τοίνυν ἐκστρατεύσας ὁ κράτωρ,
καὶ τῇδ' ἐπιστὰς συμπλακείς τ' ἀντιπάλῳ
πέφευγεν οὗτος δυσκλεῶς ἐκ τῆς μάχης,
τῆς Ῥωμαϊκῆς στρατιᾶς ἡττημένης.
καὶ βασιλεὺς μὲν τὴν Κωνσταντίνου φθάνει,
οἱ βάρβαροι δὲ σὺν στρατάρχῃ Ῥομπέρτῳ
ληϊλατοῦντες Ῥωμαϊκὰ χωρία

civibus benivolus, egregius vir, impiger in proellis, vultum prae se ferens imperio dignum, mitem consuetudinem honestosque mores. (3475) stirpe erat nobili, corpore decenti, operis bellici maxime peritus; nec vero auri cupidini obnoxius, nec rursus irae sanguinis sitienti; neque superbis fastosisve moribus, (3480) vel umquam subditis aditu difficilis, vel poenae exactor inexorabilis; sed in benignitatem propensus magis, suavis, moderatus, gratiosus, facilis, prompto et acuto ingenio arcanoque simul, (3485) optimus orthodoxae defensor fidei, nec conviviorum amans neque luxus; tum et virtutis doctrinaeque studiosos viros honorans et officiis colens. huic in imperii sede collocato (3490) nuntius advenit, Italum Robertum Dalmatiae urbem Epidaurum armis cepisse et plurimis navigiis. ergo profectus Caesar cum exercitu illuc, et pugna cum hoste patrata, (3495) noster profugit proelio infeliciter, cladem Romano referente exercitu, atque Byzantium Caesar est reversus.

Λάρισσαν εἷλον καὶ Καστορίαν πόλεις.
ἔξεισι λοιπὸν κατὰ Ῥομπέρτου πάλιν
ἄναξ ὁ κλεινὸς σὺν στρατιᾷ μυρίᾳ,
καὶ Καστορίαν ἀναλαμβάνει πάλιν,
καὶ Ῥομπέρτον μέτεισι δραματουργίᾳ.
ὅπως τε δρᾶμα συμπέπλασται ῥητέον.
σχῆμα περιτίθησιν ἀρχικὸν κράτωρ
αὑτοῦ τἀδελφῷ καὶ στρατιὰν προσνέμει,
καί οἱ κατὰ φάλαγγα τήνδε Ῥομπέρτου
στῆσαι παρηγγύησεν εὐεπηβόλως·
κἂν μὲν κατ' αὐτοῦ συγκινῇ τὰς δυνάμεις,
στρέψαντα νῶτα προτροπάδην φυγγάνειν.
δι' ἀφανῶν δὲ δυσβάτων τε χωρίων
ἄναξ διεκδὺς σὺν ὁπλίταις βραχέσι
ληΐζεται χάρακα πάντα βαρβάρων,
καὶ τοὺς ἐν αὐτῷ παραδίδωσι ξίφει·
ὁ βάρβαρος γνούς, συσχεθεὶς ἀθυμίᾳ,
παρεῖτο χεῖρας καὶ δέμας καὶ καρδίαν,
καὶ πάντες ἀπῴχοντο πρὸς σφῶν πατρίδα,
ὠφληκότες γέλωτα, πρὸς δ' αὖ αἰσχύνην.
Καὶ Τοῦρκος αὖθις Τζαχᾶς τις κεκλημένος,
Χίον κατασχὼν καὶ στόλον καταρτίσας,
αἱρεῖ Σάμον Λέσβον τε νήσους καὶ Ῥόδον
ἄλλας τε δεσποτείας. ἐξελήλαται πάλιν
Ῥωμαϊκῷ στόλῳ καὶ ναυμαχίᾳ.
ἀποστατεῖ δὲ τηνικαῦτα καὶ Κύπρος,

3523 *δεσποτείας*] *πλείςας?* nisi quid excidit. 3524 *τε καὶ?*

barbari autem cum Roberto duce populabantur oppida Romana, (3500) captis Larissa Castoriaque urbibus. contra Robertum rursus est egressus inclytus Caesar cum ingenti exercitu, atque Castoriam recuperavit. Robertum autem astu est aggressus, (3505) cuius rationem interest narrare. Caesar ornatum regium circumposuit germano proprio, copiasque tradidit; eumque iussit expositas praebere in acie, coram agmine Roberti; (3510) qui si copias suas contra commovisset, monuerat fratrem cedere effusa fuga. interim Caesar modico cum milite per caeca reptans difficilia loca, tota diripuit barbarorum castra, (3515) quotquot ibi repperit caesis gladio. cognita re barbarus, metu attonitus animo simul viribusque concidit, cunctique sunt reversi in patriam suam risum lucrati, immo et ignominiam. postea Turca, cui nomen Tzachas, Chii iam dominus, adornata classe Samum et Lesbum atque Rhodum capit aliasque praefecturas; sed inde pulsus proeliis maritimis a Romanis fuit. (3525) tunc etiam Cyprus defecit ab imperio, occu-

τοῦ Ῥαψομμάτου τήνδε κατεσχηκότος.
καὶ πάλιν ἀμφίρρυτον εὔφορον Κρήτην
ἀνὴρ Καρύκης, δυσμενὴς ἀποστάτης,
βίᾳ κατασχὼν εἶχε πρὸς κατοικίαν.
ἐπανεσώθη δ' αὖθις Αὐσόνων κράτει
νήσων δυὰς αὕτη γε Ῥωμαίων στόλῳ.
Τούτου κρατοῦντος καὶ κλόνος γῆς συνέβη
σεισμός τε δεινὸς καὶ λίαν φρικαλέος,
ὑφ' οὗ καλοὶ δόμοι τε καὶ ναοὶ ξένοι
καταπεσόντες συνετρίβησαν βίᾳ,
συνηρεφεῖς τε καὶ μακραὶ στοαὶ πάλιν
πτῶσιν παθοῦσαι συνέχωσαν ἀπλέτους.
Καὶ Πατζινάκαι Σκυθικὸν πάλιν ἔθνος
Θρᾴκης ἐπῄει Μακεδονίας ὅρους,
αὐτῶν νομάς τε καὶ τόπους λελοιπότες.
ἀλλὰ κατ' αὐτῶν ἐκστρατεύσας ὁ κράτωρ
καὶ συμπλακεὶς ἥττητο τοῖσδε βαρβάροις
ὡς στρατιωτῶν τοῖς ὅπλοις πεποιθότων
καὶ μὴ νικητῇ τῷ θεῷ, καλῶν δότῃ.
καὶ πάλιν ἐστράτευσε κατ' αὐτῶν ἄναξ,
καὶ σώφρονός γε στρατιᾶς δεδειγμένης
ῥοπῆς τε θείας ἐλπίδας ἐξαψάσης
συμμίξας αὐτοῖς ἐνίκα κατὰ κράτος,
καὶ σφῶν τὸ πλῆθος ἐκθερίζουσι ξίφει,
ἄλλους δ' ἑλόντες αἰχμαλώτους ἐν μάχῃ
ᾑρημένους σφᾶς ἀπέδοντ' ἀργυρίου.
ὁ δ' αὐτοκράτωρ ἐκ Σκυθῶν ἀποκρίνας

pata videlicet a Rhapsommato. fertilem insuper Cretensium insulam rabidus quidam Caryces rebellis vi captam dominus veluti insidebat. (3530) utramque tamen insulam imperio classis Romana denuo restituit.

Hoc imperante Caesare terrae motus admodum vehemens atque terrificus speciosas domos templaque magnifica (3535) diruit passim vique sua contrivit. tum vero opacae prolixaeque porticus stratae mortales oppresserunt plurimos.

At Patzinacae, Scythica gens, denuo Thraciam vastabant atque Macedoniam, (3540) suis relictis patriis atque pascuis. contra hos correptis armis imperator, manu conserta, victus est a barbaris, quia nostri milites confidebant armis, non deo victore bonorumque auctore. (3545) rursus profectus contra eosdem Caesar modesto cum exercitu atque pio, et qui victoriam caelitus sperabat, inito proelio debellavit hostes numerumque plurimum gladio messuit; (3550) reliquam captam belli iure turbam victor exercitus sub corona vendidit. at imperator

νέους σφριγῶντας εὐσθενεῖς καὶ μαχίμους
ἐν Μογλένων ᾤκισε τούτους χωρίοις,
οἰκεῖόν οἱ σύνταγμα τούτους καλέσας·
οἳ καὶ μέχρι νῦν ἀπὸ Μογλένου τόπου
πᾶσι καλοῦνται Μογλενοπατζινάκαι.
Καὶ στρατιά τις Ἰταλῶν ἐξ ἑσπέρας
ἄνεισι βαδίσασα πρὸς Βυζαντίδα,
ἔχουσα τὸ πρόθυμον ὡς πρὸς τὴν ἕω·
ἧς συγκίνησιν ἐμφανῶς προμηνύει
πληθὺς ἀκρίδων ἑσπέρας πρὸς τὴν ἕω
διά τε Θρᾴκης Μακεδονίας ὅρων
τὴν ἀέριον πτῆσιν ἐξειργασμένη.
Φράγγων ὅμως στράτευμα πορθμὸν διέβη,
ἐφίσταται δὲ τῇ Νικαέων πόλει,
χερσὶ Τούρκων αἴσχιστα τυραννουμένῃ·
καὶ σὺν χρόνῳ δὲ καὶ μάχῃ φρικαλέᾳ
φθορᾷ τε πολλῇ πρὸς μερῶν ἑκατέρων
αἱροῦσι Φράγγοι τὴν πόλιν κατὰ κράτος,
καὶ τῷ βασιλεῖ τήνδε πολλῶν χρημάτων
ἀπεμπολοῦσι, καὶ προχωροῦσι πρόσω.
καὶ προσβαλόντες Ἀντιόχου τῇ πόλει
αἱροῦσιν αὐτὴν μηχαναῖς τε καὶ μάχῃ·
μεθ' ἣν ἀγῶσιν ἰσχυροῖς τε καὶ μάχῃ
καὶ τὴν Σιὼν αἱροῦσι τὴν θεοῦ πόλιν.
καὶ Ῥαϊμοῦνδος, οὗ πατὴρ ἦν Ῥομπέρτος,
τῶν παρ' Ἰταλοῖς εἷς ἐπισήμων πέλων,

sibi de Scythis legit eximios iuvenes validos pugnaces, quos in regione posuit dicta Mogleno, suam hanc appellans peculiarem manum; hique nunc etiam a statione Mogleni vulgo appellantur Moglenopatzinacae.

En autem Italus ex occidente exercitus processit, urbem ad Byzantinam tendens, sed orientales cursu petens plagas. huius portendit manifeste motum vis locustarum ingens, ex hesperiis eoos petens locos, ac volatum per Macedoniam Thraciamque dirigens. Francorum quoque exercitus fretum transiit, atque Nicaenam urbem circumsedit Turcarum manibus turpiter oppressam; quam diuturnis horridisque pugnis multoque utrimque militum excidio expugnatam Franci per vim summam Caesari Graeco multo repenso pretio divendiderunt, perrexeruntque ulterius; delatique ad urbem Antiochiam hanc artificio et proeliis obtinuerunt. posthinc certaminum magno labore Sionem quoque ceperunt, urbem dei. tum et Raimundus Roberti filius, nobilis Italus, Caesari nostro fidem iuratam dedit fore

πίστεις ἐνόρκους ἔδρα πρὸς βασιλέα,
τὴν δὴ πρὸς αὐτὸν ἐμπεδούσας φιλίαν
καὶ δουλικὴν εὔνοιαν ἀεὶ καὶ σχέσιν·
ὅθεν λαβὼν χρήματα πρὸς βασιλέως
καὶ δωρεὰς αὖ, φιλοτιμίας ξένας,
πρὸς Συρίαν ὥρμησε καὶ Κιλικίαν.
τῆς δ' Ἀντιόχου κατακρατήσας μάχῃ,
οὓς εἶχεν ὅρκους πρὸς βασιλέα δράσας
σπονδάς τε φρικτὰς ἠθετηκὼς αὐτίκα,
ἄσπονδος ἐχθρὸς εὑρέθη Ῥωμαΐδος.
ἐκ τῶν ἑώων τοιγαροῦν πρὸς ἑσπέραν
μέλλων ἀπαίρειν ἡ βέβηλος καρδία
αὑτοῦ κατεψεύσατο θάνατον φόβῳ.
ὡς νεκρὸς οὖν ἐντεθεὶς ἐψευσμένος
ἢ νεκρὸς ἔμπνους λαρνακιδίῳ τότε
ἀπῆκτο χερσὶν οἰκετῶν πρὸς πατρίδα,
μάτην θρυλούντων τόνδε νεκρὸν τυγχάνειν.
ἐπεὶ δὲ λαθὼν ἀπεσώθη πατρίδι,
πολλὰ κατειπὼν τοῦ κρατοῦντος ἀλόγως
καὶ συναλίσας στρατιὰν ἐκ Λατίνων
Ἐπιδαμνίων προσκαταίρει τῇ πόλει,
καὶ τήνδ' ἑλεῖν ἔσπευδε τειχομαχίαις.
ἀλλ' ἐλπίδων ἔψευστο μηδὲν ἀνύσας.
πρεσβεύεται γοῦν ἀπογνοὺς τῶν ἐλπίδων,
καὶ τῷ κρατοῦντι πρὸς λόγους ἀφιγμένος
σπονδὰς πρὸς αὐτὸν ἐκτελεῖ καὶ συμβάσεις.
Τούτου κρατοῦντος αἵρεσις Βογομίλων

3592 οὖν ὅδ'?

ut amicitiam (3580) perpetuam secum coleret et obsequium devoti animi reverentiamque haberet. ob id accepta a Caesare pecunia, donis affectus insolitisque honoribus, perrexit in Ciliciam moxque in Syriam. (3585) ast Antiochia fortiter potitus, quam regi obtulerat iuratam fidem sacrumque foedus, ilico fefellit, perfidum hostem semet imperio exhibens. mox ab oriente rursus in Hesperiam (3590) homo scelestus cum rediturus esset, metuens sibi mortem simulavit. ergo fallaci dolo, tamque mortuus vel moribundus, conditur in capsa, atque ita a famulis defertur in patriam, (3595) falso dicentibus mortuum hunc esse. cum sic in patriam evasisset astu, Caesari multum obtrectavit temere, congregatoque exercitu Latino ad Epidamnum urbem classem appulit, (3600) huiusque moenia machinis pulsabat. sed spe frustratus cum nihil proficeret, omisso bello mittit legationem, et impetrato Caesaris colloquio foedus cum ipso denuo pacemque facit. (3605) Bogomilorum

θεοστυγὴς πέφηνε καὶ βδελυκτέα,
ἧς μυσταγωγὸς Ἰατρός τις τοὐπίκλην
κλῆσιν δὲ Βασίλειος, Σατὰν ἐργάτης·
ὃς λάθρᾳ πολλοὺς ἀνεπίμπλα τῆς λύμης
καὶ τῶν παρ' αὐτοῦ δογμάτων ψυχοφθόρων,
πολλῶν ἐτῶν δρόμοις τε καὶ περιδρόμοις
χώρας ἐπιὼν καὶ πόλεις οἰκουμένης.
ἐπιπολάζει καὶ τελευταῖον τάλας
πόλει μεγίστῃ τῇδε καὶ βασιλίδι.
ἀλλ' ὁ κρατάρχης, ὀρθοδοξίας φίλος,
μέτεισιν αὐτοῦ πανσόφῳ τέχνῃ πλάνην·
πλασάμενος γὰρ ὑποκριθείς τ' ἐντέχνως
πίστιν βεβαίαν εὐμένειάν οἱ τρέφειν,
θαμὰ προσῄει τῷ τρισαλιτηρίῳ,
ἄγαν προσηνῶς καθομιλῶν συχνάκις,
σωτῆρα καλῶν τόνδε πεπλανημένων.
τοῖσδ' ὁ βδελυρὸς καταθελχθεὶς τοῖς λόγοις
ἰὸν κακίας ἐξεμεῖ ψυχοφθόρον,
ἔκπυστα τιθεὶς δόγματα πονηρίας·
ἃ γνοὺς ὁ κρατῶν, φιλόχριστος καρδία,
ὀλέθρια δόγματα διδασκαλίας
γόητος ἀνδρὸς μισοχρίστου καὶ πλάνου
καὶ στηλιτεύει καὶ θριαμβεύει πρόφρων,
ψήφῳ τε κοινῇ τῷ πυρὶ τόνδε φλέγει.
Οὗτος βασιλεὺς καὶ Μανιχαίων πάλιν
πολλοὺς πρὸς εὐσέβειαν ἣν ἐφελκύσας
διδασκαλίαις καὶ σοφαῖς συμβουλίαις.

sub Alexio haeresis invisa deo emersit et exsecrabilis, cuius Basilius quidam auctor erat, medicus vulgo dictus, minister Satanae, qui clam permultis pestem suam afflabat (3610) atque dogmata animabus exitiosa. hic multos annos hac illacque cursans, orbis provincias atque urbes peragrans, tristi postremum omine adventavit in hanc imperii maximam metropolim. (3615) sed imperator orthodoxiae tenax hominis fraudem cauto artificio aggreditur. nam simulata callide persona credulum se benivolumque finxit, saepe ac benigne cum scelesto versans, (3620) ac familiari demulcens colloquio, servatoremque errantium appellans. his homo impius delenitus verbis exitiosum vomuit venenum, pessimae exponens dogmata doctrinae. (3625) quae pius Caesar simul ac agnovit, scelesti nempe effata magisterii, protinus vulgo patefieri voluit, impostoremque hominem, Christi hostem, tradidit flammis communi suffragio.

(3630) Multos praeterea Manichaeos Caesar tum magisterio tum

καὶ παισὶ δ' ἀνήγειρεν ὀρφανοῖς δόμον,
τάξας σιτήσεις δαψιλεῖς ἐν τῷ δόμῳ·
ἐπιμελείας καὶ τροφῆς τούτων χάριν.
καὶ γραμματικῶν ἀπέταξεν αὖ πάλιν
μουσεῖον εἰς παίδευσιν ὀρφανῶν νέων
οὐκ εὐπόρων τε πατέρων πεφηνότων,
νείμας μαθηταῖς καὶ διδασκάλοις νέων
πλείστας σιτήσεις δαπάνας χορηγίας.
Ἐπὶ χρόνων τούτου δὲ τῆς κραταρχίας
καὶ πυρκαϊαὶ συνέβησαν τῇ πόλει
καὶ πλεῖστα τῆσδε κατανήλωσαν μέρη.
ἔπνευσε δ' ἦρος ἀνέμου τις σφοδρότης
βιαιοτάτου, προξένου γε κινδύνων,
ᾧ πολλὰ κατήρειπε τῶν δομημάτων·
μεθ' ὧν χαμαὶ πέπτωκεν ἄγαλμα ξένον,
ἄνωθεν ἑστὼς κίονος πορφυρέου
τοῦ πρὸς πλακωτῷ τὴν βάσιν ἱδρυμένου·
ὃ κατενεχθὲν παρατυχόντων τόπῳ
πολλοὺς ἀνεῖλε συντετριφὸς ἐσχάτως.
κατερράγη δ' ἄνωθεν ὑετὸς μέγας
χύδην κατιὼν καὶ κατακλύζων μέγα,
ὑφ' οὗ κατηρείπωντο πλεῖστα δωμάτων,
ζῴων δ' ὑπῆρξε καὶ βροτῶν πολλὴ φθίσις.
Οὗτος στρατεύσας κατὰ Τούρκων βαρβάρων
ἀφῖκτο καὶ μέχρι γε Φιλομιλίου·
εὑρὼν δ' ἔρημον ὁπλιτῶν ἄστυ τόδε,

catis suasionibus ad religionem veram revocavit. orphanis quoque pueris attribuit domum, et victum assignavit uberem (3635) his et alendis et curandis sedulo. quin et grammaticae ludum aperuit orbis adulescentibus, vel de paupere stirpe progenitis, multosque reditus et larges sumptus suppeditavit (3640) simul discipulis atque magistris.

Comneno Alexio moderante imperium incendia quoque in urbe acciderunt, quibus absumptae multae partes sunt. vehemens quoque tempore sub verno (3645) spiritus multa detrimenta fecit humi deiectis passim aedificiis; quibuscum decidit admiranda statua imposita columnae porphyreticae, cuius in Placoto basis erat posita. (3650) illa cum caderet, forte praesentes ibi multos mortales mole sua contrivit. imbrium quoque nimia vis caelo conchim effusa passimque inundans aedificiorum latam stragem edidit. (3655) bestiarum denique et hominum lues fuit.

Caesar cum Turcis barbaris belligerans pervenit usque ad urbem Philomelium; quam cum desertam milite invenisset, quia metus barbaris

ἀποδρασάντων τοῦδε βαρβάρων δέει,
αἱρεῖ τε τοῦτο καὶ στῖφός τι φρουρίων,
κρησφύγετα σπήλαια τῶν ἐγχωρίων.
καὶ τοὺς ἐν αὐτοῖς προσλαβὼν, οὕτω κρίνας,
ὑποστρέφει κάλλιστα πρὸς Βυζαντίδα,
μετοικίσαι σφᾶς κατὰ νοῦν ἄλλη γ' ἔχων.
τούτων πορείαν τὴν πρόσω ποιουμένων
οἱ μὲν σφριγῶντες καὶ νεάζοντες χρόνῳ
ποσὶν ἐχρῶντο καθ' ὁδὸν τοῖς ἰδίοις·
οὕσπερ λυγρὸν δ' ἔτρυχε γῆρας καὶ νόσος,
τούτοις ὑποζύγια παρεῖχε κράτωρ·
παρειμένους πλάσιν δὲ σώματος πάλιν
ἀσπίσι μακραῖς ἐντιθεὶς εὐμηχάνως
νέοις σθεναροῖς σφᾶς παρηγγύα φέρειν.
αὐτὸς δ' ἄνω κάτω περ ἱππότης θέων
ὡς σφῶν προμηθεὺς καὶ φύλαξ εὐζωΐας,
εἴ τινά που βλέψειε προσκεκμηκότα
βρωτοῦ ποτοῦ σπάνει τε καὶ μακρῷ δρόμῳ,
τόνδ' ἀνεκτᾶτο χριστομιμήτῳ τρόπῳ.
οὕτως ὑποστρέφοντι συντεταγμένῳ
Σουλτὰν προσῆλθεν ἱππότῃ στεφηφόρῳ,
πόρρωθεν αὐτὸς ἀποβὰς ἵππου δρόμου
καὶ προσκύνησιν ἀποδοὺς ὥσπερ θέμις·
σπονδάς τε δράσας φιλικὰς καὶ συμβάσεις,
σὺν φιλοτίμοις δωρεαῖς ὑποστρέφει.
ὁ δ' αὐτοκράτωρ πρὸς πόλιν Κωνσταντίνου
αὖθις ἐπανέζευξε σὺν εὐθυμίᾳ·
ἔνθα νοσῶν ἔκειτο λοιπὸν ἐν κλίνῃ

fugam suaserat, (3660) hanc capit, et simul castella aliquot asyla veluti et specus incolarum. atque hos captos Caesar sibi vindicans cum gloria insigni Byzantium rediit, alio translatos cogitans deponere. (3665) ergo horum longum carpentium iter validi quidem atque aetate vegeti pedibus propriis metiebantur viam; aegrotis autem vel senio confectis clemens iumenta dabat imperator; (3670) qui autem corpore prorsus erant fracto, hos longis scutis affabre compositis forti iuventae deportandos tradidit. tum eques ipse hac illacque cursans tamquam curator et salutis custos, (3675) si quem videret male laborantem cibi potusve inopia aut longo cursu, hunc imitator Christi recreabat. hoc imperator cum rediret ordine, occurrit ei equitanti Sultanus, (3680) qui et ex equo procul et celeriter descendens debitum obtulit obsequium; tum conventionibus amice initis, cum honorificis donis recessit. porro imperator in urbem Constantini (3685) laetante animo semet re-

σφοδρῶς ἐπιρρεύσαντος ἐκ καχεξίας
βάθροις ποδῶν ῥεύματος ὑλωδεστέρου,
παρ' οὗ δαμασθεὶς ἐσχάτως τὸ σαρκίον
μετ' οὐ πολὺ δέδεκτο τέρμα τοῦ βίου,
κατὰ στομάχου μύδρον εἰσδεδεγμένος
Ἀσκληπιαδῶν προσταγῇ τε καὶ κρίσει.

Ἰωάννης ὁ Κομνηνὸς ἔτη κδ'.

Τούτου τὸ βιοῦν καὶ κράτος λελοιπότος
χειρίζεται κάλλιστα τὴν κραταρχίαν
Ἰωάννης παῖς, ἀρετῶν συστοιχία,
ὄντως χαριτώνυμος ὀλβία χάρις,
ἄναξ ἀγαθὸς καὶ μαχητὴς γεννάδας,
ἐχθρῶν νικητὴς καὶ παθῶν αὐτοκράτωρ,
πλῆρες ταμεῖον ἀγαθῶν θεοσδότων,
ἡδύς, ἱλαρός, εὐμενὴς ὑπηκόοις,
χρηστός, προσηνής, εὐπρόσιτος, χαρίεις,
θάλασσα καλῶν φιλοδωρίας πλέα,
φύσις ἀπαράμιλλος εὐλογημένη,
ταῖς βασιλικαῖς ἀρεταῖς διαπρέπων
σὺν τῇ γε λοιπῇ τῶν καλῶν εὐκοσμίᾳ,
γνώμων δικαίου, πραότητος αὖ τύπος,
καὶ τῆς ἀληθείας γε τῆς ἐν τοῖς λόγοις,
πρῶτος μετά γε πρῶτον εὐσεβανάκτων,
πιστὸς φρόνιμος οἰκέτης ὑπηρέτης,
κραταρχίας τάλαντον αὐξήσας μέγα,

3691 μύδρον] iudicent eruditi de huius vocabuli sensu. M.

stituit. sed ibi posthinc aeger in lecto iacuit, cum pravus humor generatus morbo ad imos pedes plurimus descenderet; a quo corruptum denique corpusculum (3690) haud multo post vivendi finem fecit, cum medicorum consulto iudicio ardentem pilulam stomacho recepisset.

Ioannes Comnenus an. 24.

Postquam is vitam imperiumque amisit, rerum dignissimus corripit habenas (3695) Ioannes filius, virtutum congeries, dulce reapse nomen et gratiosum, rex simul bonus bellatorque strenuus, hostium victor, cupidinum domitor, plenus thesaurus divinorum munerum, (3700) suavis, hilaris, subditis benivolus, mitis, benignus, beneficus, comis, mare redundans liberalitate, indoles benedicta incomparabilis, dotibus rege dignis longe rutilans, (3705) atque aliis etiam bonis ornatissima, iustitiae norma, clementiae typus, et in loquendo veritatis tenax. primus hic post primum christianum regem fidelis prudens oeconomus famulus, (3710) qui talentum imperii valde auxit; semper in armis pro

ἀεὶ στρατάρχων, ὑπεραθλῶν τοῦ κράτους,
πόλεις ἐθνικὰς ὑποτάσσων τῷ κράτει
γνώσει λόγῳ πράγματι καὶ πείρᾳ μάχης,
μυριόνικος πλειστάκις δεδειγμένος,
ὡς πρὶν ὁ Δαβίδ, κατ' ἐχθρῶν ἀντιμάχων
λιταῖς στρατηγίαις τε σὺν εὐανδρίαις.
οὗ τοὺς ἀγῶνας καὶ νίκας καταλέγειν,
τῶν ἀρετῶν θ' ὅμιλον αἷς ἦν ἐκπρέπων,
καὶ ῥήτορι γένοιτ' ἂν ἔργον ἐξόχῳ·
μίκρ' ἄττα δ'· ἡμῖν ἐκ περιττῶν λεκτέον.
Οὗτος κατασχὼν ἀσφαλῶς κραταρχίαν
τιμὰς ἐπεβράβευσε τοῖς ἐκ τοῦ γένους
καὶ πᾶσιν ἁπλῶς δωρεὰς ἀναλόγους,
κοινῶν προμηθεῖς ἀποτάξας πραγμάτων
ἐκ τῶν καθ' αἷμα καὶ προσῳκειωμένων.
σύστρεμμα τῷδε βασιλεῖ τῶν ἐκ γένους
καττύεται σκέμμα τε θανατηφόρον
μετά γε βραχὺν τῆς κραταρχίας χρόνον,
πρωτουργὸν ἅμα καὶ στρατηγέτιν ἔχον
ὅμαιμον αὐτοῦ τὴν Καισάρισσαν Ἄνναν·
καὶ φωραθέντων τῶν συνιστώντων λόχον
ἀεικὲς οὐδεὶς εἰς δέμας πέπονθέ τι,
ὅτι γε μὴ ψίλωσιν οὐσιῶν μόνον,
ἃς ἀποδοῦναι βασιλεὺς κεκτημένοις
μετά γε βραχὺ προστέταχεν ἐνθέως,

3730 simultatem suam adversus fratrem, doloremque quod is imperium exstincti parentis occupavisset, satis demonstrat ipsa Anna Comnena in Alexiadis suae calce. M.

salute publica, alienas urbes vindicans imperio, consilio, verbis, opera et arte bellica, victor saepissime hostium plurimorum, (3715) ceu quondam David hostes propulsabat prece pia, forti manu, peritia ducis. huius victorias dicere vel proelia virtutumque numerum et ornatum rhetori quoque summo operosum sit. (3720) nos ex ingenti acervo pauca sumimus.

Hic occupato pacifice imperio largitus est honores cognato generi, cunctisque tribuit pro dignitate munera: nempe gerendis rei publicae officiis (3725) propinquos sibi sanguine praeposuit. hi vero ipsi coniurati in regem exitiosas moliuntur insidias paulo post initum ab illo imperium. atque his dux erat peragendo operi regis germana soror, princeps Anna. (3730) quorum cum essent detectae insidiae, nullius corpus violatum fuit, sed patrimonia tantum sunt erepta; atque haec ipsa paulo post restitui (3735) mira imperavit Caesar clementia, cunctis re-

αἰτίας ἀφεὶς πᾶσι προσκεκρουκόσι,
σπεισάμενος πρώτιστα τῇ Καισαρίσσῃ
καὶ πλοῦτον αὐτῇ συνεπιδοὺς ἀξίᾳ.
ὅπως δὲ τοῦτο συμβέβηκε φραστέον.
τὴν ἐν χρυσαργύρῳ τε λιθομαργάροις
ἐσθήμασί τε ποικίλοις τιμαλφέσιν
οὐσίαν ἀμύθητον, ἔν τινι δόμων
τῆς κασιγνήτου Καισαρίσσης κειμένην,
ἄναξ ἐπισκοπῶν ἦν σὺν Ἀξοὺχ Ἰωάννῃ·
ἡνίκα τόνδε καὶ ταδὶ φάναι λόγος,
ὡς τάξις ἀντέστραπτο κἀμοὶ τοῦ γένους,
καὶ συγγενὲς μὲν δύστροπόν μοι τυγχάνει,
ἀλλότριον δ᾽ εὔνουν τε καὶ πεφιλμένον·
ὅθεν κελεύω τὰ προκείμενα τάδε
φίλτατον Ἀξοὺχ προσλαβόντα κατέχειν.
ὁ δ᾽ εὐχαριστεῖ τῆς μεγαλοψυχίας,
μετὰ δέ γ᾽ εἰπεῖν λιπαρεῖ δεδογμένα.
καὶ τὸν λαβόντα τοῦ λέγειν ἐξουσίαν
"εἰ καὶ βιαίων ἀδίκων τε πραγμάτων
κατῆρξεν, ἄναξ, σὴ κασίγνητος" φάναι,
"ἔργοις τ᾽ ἀπωμόσατο φιλαδελφίαν,
ἀλλ᾽ ἡ φύσις σύναιμον αὐτὴν δεικνύει·
νίκησον οὖν χριστομιμήτῳ τρόπῳ
γνώμην ὁμαίμου δυσμενῆ κακεργάτιν,
καὶ τὰ κατ᾽ ὄψιν πάντα δὸς κατὰ χάριν
ταύτῃ διαφέροντα μᾶλλον πατρόθεν."

3744 σκοπῶν?

mittens criminis reatum; parcens in primis principi sorori, ipsique opes pro dignitate reddens. id quomodo sit gestum, lubet dicere. (3740) auri atque argenti vasa gemmasque nitidas et multi generis vestem atque insignem, maximi pretii opes, in quadam domo sororis suae principis repositas Caesar spectabat cum Ioanne Axuch. (3745) quin etiam tunc sic ferunt locutum. "hem ut generis mei sors est conversa! utque inimica mihi nunc est cognatio, et qui benivoli olim, nunc sunt malivoli! quamobrem iubeo praesentes opes (3750) ut tibi sumas, Axuch dulcissime." is liberali regi grates agit; "sed licet" inquit "sensus meos dicere?" rege annuente sic orsus est loqui. "quamquam iniustam vim et insidias (3755) contra te, Caesar, soror est molita, et abdicavit factis fraternitatem, natura tamen fecit consanguineam. vincesis igitur christiana clementia malum sororis animum et iniurium, (3760) illique haec omnia largire benevole, ad quam paterno magis iure

ταύτῃ γε πεισθεὶς βασιλεὺς παραιφάσει
πάντα προθύμως Καισαρίσσῃ προσνέμει,
"εἴην ἂν" εἰπὼν "τοῦ βασιλείου κράτους
παντάπαν ἀνάξιος, εἰ περὶ γένος
τοὐμὸν κριθείης εὐμενέστερος σύ γε,
ἀνώτερος κέρδους τε κτήσεως τόσης".
οὕτως ἀμνησίκακος ἦν ἄναξ ὅδε,
θερμός τ' ἐραστὴς χριστομιμήτων τρόπων.
Μήτηρ δὲ τοῦδε καὶ βασιλὶς Εἰρήνη,
εἰ καὶ πρὶν ἀπέστεργε τόνδ' οὐκ ἐνδίκως,
οὐκ ἄξιον κρίνουσα πρὸς κραταρχίαν,
ὡς τῇ θυγατρὶ μνωμένη τὰ τοῦ κράτους
γαμβρῷ τε τῷ Καίσαρι τῷ Βρυεννίῳ,
λόχου φονῶντος οὐ συνίστωρ εὑρέθη·
μᾶλλον δὲ γνοῦσαν εἰς ἔπειτα τὸ δρᾶμα
ἐπήβολον λόγιον ἐξειπεῖν λόγος
γνώμην τε κεδνὴν συνετὴν μάλ' εὐστόχως,
ὡς οὐχ ὑπόντα χρὴ διφᾶν βασιλέα,
παρόντα δὲ στέργειν τε τοῦτον καὶ σέβειν.
Οὗτος στρατεύσας κατὰ Περσῶν βαρβάρων
τὰς πρὸς Κομνηνάνακτα συνθήκας πάλαι
διαλυσάντων, καὶ πόλεις Ῥωμαΐδος
τὰς πρὸς Φρυγίᾳ καὶ Μαιάνδρῳ κειμένας
κατατρεχόντων καὶ κακῶς δρώντων ὅπλοις,
καὶ συμβαλὼν ἥττησεν αὐτοὺς πολλάκις,
τρεψάμενος σφᾶς εὐκλεῶς ἐν ταῖς μάχαις.

3776 γνοῦσα V

pertinent." his morem gerens monitis Caesar cuncta libenter tribuit sorori. "etenim" inquit "regno sim (3765) indignus, si meo generi minus sim benivolus quam tu, qui lucri prodigus contemptor nunc tot oblatas respuisti opes." adeo clemente rex hic erat animo, atque imitator Christi studiosus!

(3770) Ceterum mater ac regina Irene, quamquam Ioanni immerenti infensa, quem haud imperio dignum reputabat, idque studuerat olim committere filiae atque genero Caesari Bryennio, (3775) nunc insidiarum tamen ignara fuit. quin certior postea moliminis facta fertur dixisse commodum effatum atque prudentem admodum sententiam, non esse vestigandum latentem regem, (3780) sed huic praesenti amanter obsequendum. idem suscepit contra Persas bellum, qui cum Comneno foedus olim initum fregerant, atque urbibus Romanis in Phrygia et ripa Maeandri positis (3785) armatis incursionibus molesti erant. ergo non semel manibus consertis, profligando hoste gloriam rettulit. urbem

καὶ Λαοδικέων δὲ λαμβάνει πόλιν,
καὶ τήνδε τειχῶν κατοχυρώσας κράτει
καὶ πάντα θεὶς εὖ καὶ καθὼς ἦν συμφέρον,
πρὸς βασιλίδα καθυποστρέφει πόλιν,
οἷα βασιλεὺς ἀγαθὸς νικηφόρος
τοῖς βασιλικοῖς ἀναδούμενος κρότοις.
μετὰ δὲ μικρὸν ἀπανίσταται πάλιν,
καὶ γίνεται δὴ κατὰ τὴν Παμφυλίαν
αἱρεῖ τε Σωζόπολιν μηχανουργίᾳ,
πόλιν ἐρυμνὴν καὶ κατησφαλισμένην,
ἄλλα τε πλεῖστα τῶν ἐκεῖ πολιχνίων
στρατηγικαῖς τέχναις τε καὶ μάχης νόμῳ,
ἐν οἷσπερ ἠρίθμητο καὶ κεκλημένον
δύσληπτον ὄντως Ἱερακορυφίτου,
ἔρυμα τειχῆρές τι δύσμαχον πάνυ,
πάλαι μὲν ὄντα τῷ κράτει Ῥωμαΐδος
ὑπήκοά τε καὶ συνηριθμημένα,
ζυγῷ δὲ Περσῶν καθυπείκοντα τότε.
Οὗτος περὶ πέμπτον γε τῆς ἀρχῆς χρόνον
ἔθνους Σκυθικοῦ κατακείροντος Θρᾴκην
καὶ πάντα ταύτης Σκυθικὴν ἐρημίαν,
ὅ φασι, δρῶντος ἐκδρομαῖς πανημέροις,
κινεῖ κατ᾽ αὐτῶν Ῥωμαϊκὰς δυνάμεις,
καὶ συμπλακεὶς σφίσι γε τῷ θεοῦ σθένει
κατατροποῦται Σκυθικὰς πάσας ἴλας,
καὶ τρισαριστεὺς ἀναδείκνυται κράτωρ
βουλαῖς στρατηγίαις τε λιταῖς ἐνθέοις·

3801 *ὄντων* V

quin adeo cepit Laodiceam, quam mox munivit moenium praesidio; (3790) cunctisque bene ut opus fuit dispositis, ad urbem regiam reditu se recepit; ibique veluti rex victoriosus plausu solemni populi est receptus. brevi intervallo discessit denuo (3795) et cum exercitu pergens in Pamphyliam vi strategematis cepit Sozopolim, urbem excelsam, undique munitam, alias quoque plurimas urbeculas partim astutia partim vi bellica (3800) cepit, quas inter aditu difficile castrum, cui nomen Hieracoryphites, moenibus celsum et inexpugnabile. quae cunctae arces in Romani imperii finibus positae eidemque obnoxiae (3805) Persarum iugum postea subierant. anno Ioannis imperantis quinto, Scythica cum gens Thraciam vastaret, et solitudinem, ut est in proverbio, Scythicam faceret perpetuis incursibus, (3810) Romanas copias Caesar contra eduxit, deique ope proelio commisso Scythicas cunctas disiecit phalanges, et victoriosus imperator exstitit consilio, manu, precibus ad

οὐ γὰρ ἄναξ σύμβουλος ἦν χρηστὸς μόνον
καί γε στρατηγὸς ἐν μάχαις ῥωμαλέος,
ἀλλὰ καθά τις καὶ Μωσῆς ἄλλος νέος
χεῖρας ἀνυψῶν εἰκόνι σεβασμίᾳ
τῆς μητρανάνδρου καὶ πανυμνήτου κόρης
σχήμασιν οἰκτροῖς καὶ σταλαγμοῖς δακρύων
παρεμβολὰς ἔκρινε τὰς τῶν βαρβάρων,
θεοῦ διδόντος τὴν νίκην οὐρανόθεν
περιφανῆ τε καὶ περίπυστον λίαν.
καὶ γὰρ τοσοῦτον μυριάριθμον στῖφος
δορυαλώτων συνελήφθη βαρβάρων
ὡς κατὰ δυσμὴν Ῥωμαϊκοῖς ἐν τόποις
ἐκ τῶνδε κώμας καὶ συνοικίας ὅλας
καὶ συσταθῆναι καὶ παραμένειν ἔτι,
ἐπωνυμίαν ἐξ ἔθνους κεκτημένας·
τάγμασι δ' ἄλλους συμμάχους ἐν ταῖς μάχαις
καταλεγῆναι Ῥωμαϊκοῖς καὶ στίχαις,
μοίρας δὲ πολλὰς ἀποδόσθαι χρυσίου
ἀπὸ στρατιᾶς σφῶν πάλιν ἠρημένοις.
Μετὰ δὲ μικρὸν ὕστερον πάλιν ἄναξ
ἐπιστρατεύσας τοῖς Τριβαλοῖς βαρβάροις,
ὅρκια συγχέουσιν ἐκ κακουργίας,
σφᾶς ἐκνικήσας ἐν μάχῃ κατὰ κράτος
τὸ βάρβαρον τίθησιν ἔνσπονδον πάλιν·
λείαν δ' ἐκεῖθεν ἀπελάσας μυρίαν,
πλήσας τε τὸ στράτευμα τῶν σκυλευμάτων

3833 ὑπὸ V.

deum. (3815) non enim tantum rex consiliosus erat atque per pugnas fortis imperator, sed velut alter Moses novellus manus attollens ad augustam imaginem laudatissimae virginis deiparae (3820) supplici gestu profusisque lacrimis barbaricos exercitus superavit, victoriam caelitus donante deo splendidam prorsus et celeberrimam. etenim tantus barbarorum numerus (3825) in potestatem decidit victoris, ut in Romanis terris occiduis pagi et coloniae tunc de his barbaris conflatae fuerint et nunc adhuc maneant, quibus et gentis inditum est nomen. (3830) alii conscripti sunt auxiliares atque Romanis admixti exercitibus. magnam vim quoque sub corona vendidit victor exercitus auro licitantibus.

Paulo post Caesar armis rursus motis (3835) contra Triballos barbaros est profectus, fidem iuratam perfide fallentes; quos debellatos violento Marte denuo pacem facere coëgit; cumque manubias illinc abegisset, (3840) militem proprium praeda replevit, spoliis innumeris,

ὄλβου τε πολλοῦ καὶ λαφύρων μυρίων,
πλῆθος δορυάλωτον εἰς ἐπαρχίαν
τὴν τῶν Βιθυνῶν κατὰ τὴν Νικομήδους
διαβιβάσας ἐγκατοικίζει φέρων,
καὶ τῶνδε τοὺς μὲν στρατιᾷ καταλέγει,
τοὺς δ' αὖ παρῆκε συντελεῖν κοινῷ φόρους.
Οὖννοι τὸν Ἴστρον ἐκπεράσαντες θέρους
κατακρατοῦσιν ἄστεος Βρανιτζόβης,
καὶ τῆσδε πάσας κατερείψαντες βάρεις
μετήγαγον πρὸς Ζεύγμινον καὶ τοὺς λίθους,
ἐπιδραμόντες καὶ Σαρδικῆς χωρία.
οὐκοῦν ἐπὶ σφᾶς ἐκστρατεύσας ὁ κράτωρ
ἐν ὑγροχέρσῳ καὶ σθεναρᾷ δυνάμει,
κατὰ τὸν Ἴστρον συμπλακεὶς ἀντιπάλοις
ἵστησι λαμπρὰν κατὰ βαρβάρων νίκην,
καὶ Χράσμον εἷλε σὺν τῷ Φραγγοχωρίῳ,
γῆς Παιόνων κράτιστον ὑπάρχον μέρος.
πρὸς δ' αὖ παρεστήσατο τεῖχος Ζευγμίνου,
κἀκ τοῦδε λείαν ἀπήλασε μυρίαν
καὶ λάφυρ' ἐκτήσατο καὶ πλεῖστα σκῦλα
αὐτός τε καὶ στράτευμα Ῥωμαίων ἅπαν.
σπεισάμενος δ' ἔπειτα βαρβάροις Οὔννοις,
πρὸς τὴν ἕω στράτευμα διαβιβάσας,
διὰ Βιθυνῶν χωρίων Παφλαγόνων
ἐφίσταται τάχιστα τῇ Κασταμόνι,
καὶ τήνδ' ἐπανέσωσε τῇ Ῥωμαΐδι

3850 in codicis margine γρ. Ζεύγμιον. M.

opibus copiosis. captivum autem vulgus ultra fretum transtulit in Bithyniam, eique sedes haud procul urbe Nicomedia attribuit. (3845) indeque partim milites conscripsit, partim rei publicae fecit vectigales.

Istrum aestivo tempore transgressi Hunni ceperunt urbem Branitzoben, cuius deiectis cunctis aedificiis (3850) lapides etiam Zeugmion tulerunt; tum etiam agrum incursarunt Sardicae. igitur his occurrens imperator inter paludes cum milite pedestri et navali, haud procul Istro hostibus congressus, (3855) claram de barbaris rettulit victoriam, et Chrasmum cepit cum Francochorio, quae pars Paeoniae praestantior erat. tum etiam Zeugmii moenia expugnavit, illincque praedam abstulit innumeram, (3860) manubiis ipse plurimis ditatus simulque omnis Romanus exercitus. pace cum Hunnis barbaris composita, in orientem transtulit exercitum; perque Bithynos transiens et Paphlagonas (3865) celeri cursu pervenit Castamonem, hancque Romano vindicavit sceptro,

Περσαρμενίοις κεκρατημένην πάλαι,
χρησάμενος κλίμαξι τειχομαχίαις
εἰς τῆσδε τὴν ἅλωσιν ὡς εὐμηχάνως.
Τοιαῦτα δράσας, αἰχμαλώτων τε στῖφος
καὶ λείαν ἀμύθητον εἰληφὼς ἄναξ
πρὸς βασιλίδα τὴν πόλιν ὑποστρέφει,
οἷα νικητὴς ἀναδούμενος κρότοις·
κἀπὶ τροπαίῳ προσφάτῳ καὶ τῇ νίκῃ
κατήγαγε θρίαμβον ἐν μέσῃ πόλει.
τεύξας γὰρ ἅρμα σὺν τεχνουργίᾳ ξένον,
χρυσαργύρῳ κάλλιστα διειλημμένον,
ὃ χιονώδης τετρακτὺς συστοιχία
ἵππων τις εἷλκεν εὐφυῶς ζευγνυμένων,
ἐν τῷδε σεπτὴν ἀναβιβάζει κράτωρ
τῆς μητρανάνδρου παρθένου τὴν εἰκόνα,
ἐν ᾗ πεποιθὼς καὶ κατορθῶν τὰς νίκας
ὡς συστρατηγέτιδι κατ᾽ ἐχθρῶν μάχης
προσῆγε τὴν πρέπουσαν εὐχαριστίαν·
ἧς καὶ προῆγε σὺν ὅλῃ γερουσίᾳ
ποσὶ βαδίζων, σταυρικὸν σκῆπτρον φέρων.
Ἀλλὰ βραχὺς ἤνυστο κατ᾽ οἶκον χρόνος,
καὶ πάλιν ἐστράτευσεν ἄναξ χαρίεις
μετὰ στρατιᾶς ἀρεϊκῆς προφρόνως
ἐπὶ Τανισμάνιον εἰς Κασταμόνα,
στρατηγὸν ἄνδρα παρὰ Περσαρμενίοις,
ταύτην ἑλόντα τειχομαχίᾳ πόλιν
καὶ φύλακας κτείναντα Ῥωμαίους ξίφει.

quam Persarmenii iampridem tenebant, scalis et machinis arietantibus ad hanc capiendam naviter usus.

(3870) Post haec captivos plurimos ducens rex atque praedam innumerabilem regiam ad urbem rettulit pedem, exceptus plausibus qui decent victorem; atque ob recentem suam victoriam (3875) media deduxit urbe triumphum. adornans enim artificio insolito currum argento auroque fulgidum, quem niveorum quadriga equorum apte et decenter iunctorum trahebat, (3880) huic venerandam imposuit Caesar inviolatae deiparae imaginem; cui quia confisus victor exstiterat, nunc ceu belli sociae et auxiliari convenientes reddebat grates; (3885) praecedens ipse cum toto senatu pedester, sceptrum gestans cruciferum.

Sed brevi domi tempore permansit; rursusque ad bellum rex amabilis profectus impigre cum valido exercitu (3890) venit Castamonem contra Tanimanium, qui dux delectus a Persarmeniis praedictam urbem expugnaverat, gladio Romanum caedens praesidium. hanc ergo Caesar

καὶ τήνδ' ἐπανέσωσε Ῥωμαίων κράτει.
πρὸς τοῖσδε Γάγγραν καταπορθεῖ τὴν πόλιν,
ἐν ᾗ γε φρουροὺς ἀποτάξας ὁπλίτας
ἐκ Ῥωμαϊκῆς στρατιᾶς δισχιλίους
καὶ πάντα θεὶς εὖ εἰς πόλιν ὑποστρέφει.
καὶ τῇδε μικρὸν ἐνδιατρίψας χρόνον
κατακρατοῦντος Ἀρμενίας Λεβούνου
ἐπιστρατεύει, στρατιὰν πλείστην ἄγων,
κατηκόους σίνοντος Αὐσόνων πόλεις.
οὐκοῦν ἐπιβὰς Ἀρμενοκιλικίας
Ταρσὸν παρεστήσατο, φαεινὴν πόλιν,
καὶ τὴν Ἀδάνην καὶ Βακᾶ στρατηγίᾳ,
ἔπειτ' ὀχυρὰν Ἀναζάρβην σὺν βίᾳ
Περικλυτόν τε καὶ Κολώνειαν πόλιν.
καὶ δὴ μετελθὼν τὰς πέριξ ταύτας πόλεις
ἐρυμνά τε φρούρια καὶ κώμας ὅλας,
ἐφίσταται καὶ τοῖς τόποις τῆς Συρίας
καὶ τὴν πόλιν εἴσεισι τὴν Ἀντιόχου,
Ῥαϊμούνδου πρίγκιπος ἅμα τοῖς ὅλοις
εὖ χερσὶν αὐτὸν ὑπτίαις δεδεγμένου
καὶ πᾶσι τιμήσαντος αὐτὸν εἰκόσιν.
ἐφ' ἡμέραις οὖν ἐνδιατρίψας πόλει,
αὑτῷ τε τὸν πρίγκιπα λίζιον δράσας,
σὺν τῷδε Τριπόλεως κρατοῦντα τότε,
ἄναξ χαριτώνυμος ἔξεισι πάλιν,
καὶ πρὸς παρευφράτιδας ἄπεισι πόλεις,

3910 *καὶ*] *δὲ* V

recuperavit. (3895) insuper Gangra occupata urbe, ibique impositis praesidii causa de nostro exercitu bis mille armatis, cunctis pacatis Byzantium rediit. attamen breviter hic commoratus, (3900) profectus est cum ingenti exercitu, imperitante Armenis Levuno, nostrasque urbes damnis afficiente. ergo progressus in Armeno Ciliciam splendidam urbem occupavit Tarsum, (3905) Bacam et Adanem peritia bellica. mox Anazarbum summa vi expugnavit, et Coloneam et Periclytum urbes. proximis quoque subiugatis oppidis cum munitis castellis cunctisque pagis, (3910) venit in Syriae usque regiones, atque Antiochiam urbem ingreditur, Raimundo principe cum cuncto populo hunc excipiente studio proclivi omnique debito cum honore. (3915) in hac paulisper demoratur urbe cum sibi obnoxium effecisset principem cumque eo Tripoleos etiam dominum, rex gratiosus progressus ulterius ad Euphratesias festinavit

παρ' Ἀγαρηνῶν οὐ καλῶς κρατουμένας.
καὶ τῶνδε πορθεῖ τειχομαχίαις ὅπλοις
Πεζὰ Χάλεπ Νίστριον Καρφαρᾶ Φέρεπ.
ἐκ τῶν δὲ λοιπῶν ἀστέων δῶρα ξένα
καὶ πλεῖστα λαβών, καὶ λίθους καὶ μαργάρους
πολύν τε χρυσὸν καὶ λαφυραγωγίαν,
καὶ λυχνίτην φέροντα σταυροῦ τὸν τύπον,
χρῆμά τι πανθαύμαστον ἔκπληκτον ξένον,
πρὸς δ' αὖ γε καὶ τράπεζαν ἔκλαμπρον πάνυ,
ἐξ ἀμιμήτου συντεθειμένην τέχνης
πολυτελῆ τε, χρυσότευκτον, ποικίλην,
ἃ πάντα συνείληπτο τοῖς Πέρσαις πάλαι
συσχοῖσιν αὐτάνακτα τὸν Διογένην,
πρὸς τὴν βασιλεύουσαν ἔρχεται πόλιν,
ἄγων μεθ' αὐτοῦ κασίγνητον σὺν γόνῳ,
τὸν σεβαστοκράτορα τὸν πρὶν φυγάδα,
τῷ τηνικαῦτα προσρυέντα γνησίως
ἄνακτι τῷδε καὶ κασιγνήτῳ φίλῳ.
ὅς ἐκλιπὼν πρὶν διατριβὰς Αὐσόνων
σχέσιν ὁμογνίου τε καὶ βασιλέως
πρὸς Περσάνακτα φυγὰς ἐκ λύπης τρέχει,
μόλις δὲ συνεὶς οὗ γε κακοῦ τυγχάνει,
παλινδρομεῖ κάλλιστα πρὸς βασιλέα,
καὶ δεξιᾶς ἔτυχε τῆς ἐπανόδου.
ἐπανιόντα καὶ γὰρ ἰδὼν ὁ κράτωρ
θεῷ χαριστήρια τῶν ὅλων θύει,
οὐχ ἧττον ἡσθεὶς ἢ νίκαις ταῖς μυρίαις·

urbes, (3920) quas Agareni contra fas tenebant. ex his perdomuit machinis et armis Pezan Caleph Nistrion Carpharan Pherep. ex aliis autem urbibus donaria mira multaque rettulit, gemmas margaritas, (3925) magnam vim auri praedaeque cumulum, lychnitem quoque cui crux impressa erat, rem miram et stupendam atque insolitam; insuper mensam multo splendidissimam, elaboratam arte inimitabili, (3930) pretiosissimam, auream, variegatam; quae cuncta Persae quondam diripuerant, cum captivassent Caesarem Diogenem. ad urbem autem rediit Ioannes habens germanum cum nepote secum, (3935) sebastocratorem dico pridem profugum, tunc vero amanter semet permittentem regi Ioanni peramanti fratri. hic derelictis Romanis finibus, spretoque affectu fratris atque Caesaris, (3940) ad Persam regem tactus dolore fugerat: sed sero tandem mali sui conscius consilio egregio rediit ad Caesarem, tutique fidem reditus impetravit. namque reversum cernens imperator (3945) numini gratias reddidit supremo, aeque re gaudens ut

καὶ χαριέντως προσπλακεὶς κατὰ δέον
τὸ φίλτρον ἀπένειμεν ἀμφοῖν ὡς πάλαι.
Χρόνον δὲ βραχὺν ἐνδιατρίψας πόλει,
ὡς εἶχεν, ἐξώρμησε πρὸς Βιθυνίαν,
καταφρονήσας σώματος καχεξίας,
Τούρκων κακούντων Ῥωμαϊκὰ χωρία·
οὓς ἐκθροήσας καὶ μόνῃ παρουσίᾳ
πρὸς Λοπάδιον ἀφικνεῖται τὴν πόλιν.
ἔνθα βραδύνων συνάγων τε δυνάμεις
στρατῷ βαρὺς ἔδοξεν ὁ πραῢς ἄναξ
ὡς διανιστῶν ἀρεϊκὰς πρὸς μάχας
καὶ προσβιάζων καρτερεῖν ἐν τῇ μάχῃ.
τοίνυν ἀπάρας βασιλεὺς Λοπαδίου
ἐπιστρατεύει σὺν στρατιᾷ μυρίᾳ
τοῖς κατὰ Πόντον Ἀγαρηνοῖς βαρβάροις
κατακρατοῦσιν τὴν Νεοκαισαρέων,
σπεύδων μετελθεῖν καὶ Γαβρᾶν Κωνσταντῖνον
κατατυραννεύοντα Τραπεζουντίων.
ἐφίσταται γοῦν τῇ Νεοκαισαρέων,
καὶ τῇδ' ἐφιστᾷ τὰς δυνάμεις κυκλόθεν.
καὶ τάχ' ἂν εἷλε τήνδε κρατάρχης τότε,
εἰ μή τι συμβὰν ἀπρόοπτόν τι πάθος
ἀπεῖρξε τὸ στράτευμα τῆς διαμάχης.
πρὸς βαρβάρους γὰρ ἐνστάσης μάχης τότε,
ἐξ Ἰταλίας δεξιόν τιν' ἱππότην
ἄνιππον ἰδὼν ἐγκελεύεται κράτωρ

tropaeis mille. ergo complexus officio debito utrumque, ut olim, habuit carissimum.

Brevi moratus apud urbem tempore, (3950) ut sese habebat, transiit in Bithyniam, contempta corporis mala valetudine, Turcis Romanas terras infestantibus; quos ubi sola terruit praesentia, usque ad Lopadium venit civitatem. (3955) ubi dum moratur copiasque contrahit, gravis est visus militi mitis Caesar, quoniam ad fortes exstimulabat pugnas bellique longas ferre cogebat moras. igitur castra commovens Lopadio (3960) rex cum innumero transiit exercitu contra Agarenos barbaros Ponti incolas, iugo prementes Neocaesaream; punire quoque studens Constantinum Gabram tyrannum Trapezuntiorum. (3965) ergo progreditur Neocaesaream, quam circumfuso obsidet exercitu. atque hanc capturus imperator erat, nisi improvisa incidens calamitas suscepto militem bello retardasset. (3970) nam cum instaret pugna contra barbaros, egregium quendam ex Italia equitem equo carentem cernens impe-

ἀγχοῦ συνιππεύοντα τἀδελφοῦ γόνον
ἵππον παρασχεῖν ἀποβάντα Λατίνῳ.
ὁ δ' οὐ νεμεῖν ἔφασκε μάλ' ἀντιλέγων,
μόλις δ' ἄκων δίδωσιν ἵππον ἱππότῃ.
κἀκ τοῦδε πλησθεὶς οὐ μικρᾶς ἀθυμίας,
μικροψυχήσας ἐκ φρενῶν ἀβλεψίας,
ἀδελφόπαις οὗτός γε καιρῷ τῆς μάχης
ἐξ ὑπογυίου προστρέχει τοῖς βαρβάροις,
καὶ τοῖσδε δεχθεὶς ἀσμενεστάτῳ πόθῳ
μετά γε βραχὺ καὶ χριστώνυμον σέβας
ἐξόμνυται φεῦ, καὶ συνεζύγη τάλας
θυγατρὶ περσάνακτος Ἰκονιέως.
Ἐντεῦθεν ἄναξ συσχεθεὶς ἀγωνίᾳ
ὑποστρέφειν ἤρξατο πρὸς πόλιν βάδην,
κλέπτων ἀναχώρησιν ἐξ ἀβουλίας.
ὅμως πεφθακὼς τὴν βασιλίδα πόλιν,
ἐν τῇδε μικρὸν ἐνδιατρίψας χρόνον,
ἔξεισι πάλιν σὺν στρατιᾷ μυρίᾳ,
καὶ παραδραμὼν Φρυγίαν καὶ Λυκίαν
τὴν Ἀττάλου πέφθακεν εὐκλεᾶ πόλιν.
καὶ τῇσδε θεὶς εὖ, ὡς προσῆκον, τὰ πέριξ,
ἑλών τε λίμνην Πασγούσῃ κεκλημένην,
πρὸς Ἰσαυρίας ἀφικνεῖται τὸ κλίμα,
καὶ πρὸς Συρίαν καὶ πόλιν Ἀντιόχου,
ἐπιμελὲς σπούδασμα τιθεὶς καὶ λόγον
ἐλευθερῶσαι τὴν Ἀντιόχου πόλιν

3987 *εὐβουλίας?*

rator, fratris sui filio iuxta adequitanti equum mandavit cedere Latino. (3975) ille enimvero facturum se negavit, vixque coactus equiti cessit equum. ob id dolore maximo perculsus, praecipite exiguae mentis consilio, Caesaris hic nepos proelio fervente (3980) ex improviso perfugit ad barbaros; a quibus lubentissimo exceptus animo, paulo post etiam cultui Christiano nuntium heu remittit, ac matrimonio iungitur filiae principis Iconii.

(3985) Exinde Caesar valde maerente animo coepit reverti gradatim Byzantium, reditum dissimulans et consilii inops. tandem in urbem regiam delatus, ibique brevi tempore subsistens, (3990) mox denuo egressus cum ingenti exercitu, Phrygiam praeteriens atque Lyciam, ad nobilem pervenit urbem Attali. quam ubi cum finitimis ordinavit, palude quoque capta Pasgusaea, (3995) venit in Isauriae fines et in Syriam, atque Antiochiam versus propinquavit, ardente studio moliens hanc urbem gravi depulso Latinorum iugo praestare liberam, atque

τῆς Λατινικῆς δυσαχθοῦς τυραννίδος,
καὶ τήνδ' ἑνῶσαι τῇ πόλει Κωνσταντίνου,
ἔπειτα Σιὼν ἀφικέσθαι πρὸς πόλιν,
καὶ φιλοτίμοις ἀναδῆσαι καὶ ξένοις
δώροις ἀναθήμασι δεσπότου τάφον,
τὸ δ' ἐν κύκλῳ πᾶν βαρβαρικὸν καθᾶραι.
οὐκοῦν ἐπιστὰς Ἀντιοχέων πόλει
ταύτης ἐδῄου κατέκειρε τὰ πέριξ·
ἐπεὶ δέ οἱ πρόθυμον οὐ κατ' ἐλπίδας
συμβαῖνον ἐσκόπησεν ἀγχίνους ἄναξ,
πρὸς Κιλίκων ἄπεισι πανστρατὶ μέρη.
ἐνσκηνοβατεῖ δ' ἐν φαραγγώδει τόπῳ,
ἔνθα κοράκων φωλεοὶ κλῆσις τόπῳ,
καὶ πρὸς κυνηγέσιον ὁρμᾷ κατ' ἔθος.
συῒ δ' ὑπαντᾷ κατὰ λόχμην ἀγρίῳ,
καὶ τόνδε τῷ δόρατι πλήττει καιρίαν·
τῇ δ' ἀντερείσει τοῦ συὸς καμοῦσά πως
δορυφόρος χεὶρ αὐτάνακτος δεσπότου
καὶ παρενεχθεῖσά τι μικρὸν εὐθέος
τῆς παρὰ πλευρὸν παραψαύει φαρέτρας,
ἰοτρόφα βέλεμνα θηρῶν εἰς φόνον
ἔνδον φερούσης. καὶ χυθέντων ἀτράκτων
εἷς τῶνδε φεῦ ἔπληξε κράτορος χέρα,
καὶ φθαρτικὴ δύναμις ἡ τοῦ φαρμάκου
κατά γε μικρὸν ἀπονεκροῖ καὶ φθίνει
ἄνακτα θεῖον, τρισαριστέα μέγαν,
καὶ συνελαύνει πρὸς τὸ τοῦ βίου πέρας.

Constantini (4000) urbi devotam rursus restituere. dein Sionem cogitabat accedere, ut pretiosis prorsus et insolitis Christi sepulcrum donis exornaret, cunctosque barbaros accolas deleret. (4005) itaque aggressus Antiochiam urbem huius vastabat milite viciniam. tamen cum votum sibi non succedere rex prudens sensit, moto hinc exercitu transtulit sese Cilicum in terras. (4010) ibi in silvoso praeruptoque loco, quod vulgo dicitur corvorum latibulum, Caesar venatum de more profectus obvium habuit in dumeto aprum, quem hasta statim perculit letaliter: (4015) verum obiectu resistentis apri armata manus Caesaris repressa retroque cito cedere coacta haerentem lateri tetigit pharetram, quae venenata in ferarum perniciem (4020) tela gestabat. his repente effusis, unum, pro dolor, Caesaris fixit manum; moxque veneni vis exitiabilis, sensim dimanans membraque corrumpens, regem divinum victoriosum magnum (4025) vitae mortalis adigit ad terminum.

Μανουὴλ ὁ Κομνηνὸς ἔτη λη'.

Πρὶν ἢ δὲ θανεῖν Μανουὴλ βασιλέα,
ὕστατον υἱὸν συνομαρτοῦντα, στέφει
καὶ κράτορα δείκνυσι τῆς Ῥωμαΐδος·
στράτευμ' ἐπὶ τούτοις δὲ Ῥωμαίων ἅπαν
σὺν τοῖς στρατηγοῖς καὶ λοχαγοῖς ταγμάτων
ἀνεῖπον αὐτὸν Αὐσονάρχην ἀσμένως.
ἔπειτ' ἐπανέζευξε πρὸς Βυζαντίδα
μετὰ στρατιᾶς Μανουὴλ ἄναξ νέος,
ἀνακομίζων καὶ πατρὸς ναυσὶ νέκυν.
καὶ καταλαβὼν τὴν βασιλίδα πόλιν
βασιλικῆς ἔτυχε τῆς εὐφημίας,
πρῶτον σταλέντων καὶ προηυτρεπικότων
τὴν εἴσοδον κάλλιστα τὴν εἰς τὴν πόλιν
Ἀξοὺχ μεγάλου τὴν τιμὴν δομεστίκου
καὶ Βασιλείου Τζιτζιλούκη τοὐπίκλην.
πλὴν ὡς ἔφην, φθὰς Μανουὴλ πόλιν κράτους
παρ' ἀρχιθύτου ταινιοῦται κατ' ἔθος,
καὶ πᾶσιν ἀστοῖς προσδέδεκτο προφρόνως
διαγορευθεὶς βασιλεὺς αὐτοκράτωρ,
νεανίας ὢν ἀρεϊκὸς ἐν μάχαις,
κάλλιστος, ἡδύς, εὐμενὴς ὑπηκόοις,
τοῖς πᾶσιν ἀσπάσιος ὡς μεγαλόφρων,
πρὸς δ' αὖ φρενήρης, χαρίεις, πεφιλμένος,
τῶν δημοτικῶν ἐντριβής γε πραγμάτων,
τῇ τοῦ προσώπου καλλονῇ κεκασμένος,

4041 codex ἔφθην. M.

Manuel Comnenus an. 33.

Manuelem moriens pater edixit regem, minimum natu filium, praesentem sibi, atque huic Romanum tradidit imperium. tunc etiam cunctus Romanus exercitus (4030) cum ducibus et ordinum centurionibus ipsum libenter salutavit regem. dein perrexit ire Byzantium Manuel cum copiis, imperator novus, patris adducens nave cadaver. (4035) cumque ad regalem pervenisset urbem, plausu, qui decet regem, est exceptus, praemissis qui recto ordine urbis ingressum regi appararent, Axucho magno in aula domestico (4040) et Basilio dicto Tzitziluca. ingressus autem Manuel metropolim a patriarcha rite coronatur, cunctisque a civibus volente animo rex salutatur atque imperator. (4045) erat hic iuvenis strenuus in proeliis, egregius usquequaque, mitis, lenis, cunctis acceptus utpote magnanimus, cordatus insuper, elegans, amabilis, et publicorum prudens negotiorum, (4050) vultus insigni venustate prae-

καὶ πᾶσι καλοῖς ἐμπρέπων θεοσδότοις,
ῥώμῃ τε τοῦ σώματος, εἴδει, συνέσει,
ψυχῆς παραστήματι φιλοκινδύνῳ,
ἰθυτενεῖ σχήματι τῆς ἡλικίας,
ἤθει προσηνεῖ, χαροπῷ, πεφιλμένῳ.
ἀνεξικακίᾳ δὲ μάλιστ' ἐκράτει
καὶ πραότητι τῶν κατ' αὐτὸν ἀνάκτων,
ἥρως Ἡρακλῆς ἀπαράμιλλος φύσει,
ὑπερμαχῶν κάλλιστα τῆς κληρουχίας,
ποιμὴν ἀγαθός, ἄγρυπνος ποίμνης φύλαξ,
λύκους διώκων δυσμενεῖς τοῦ ποιμνίου
καὶ τῷδε διδοὺς τὴν νομὴν ἐλευθέραν,
ἄναξ προσηνὴς καὶ μαχητὴς γεννάδας,
Αἴας, Ἀχιλλεύς, καὶ Νέστωρ βουληφόρος,
ὑπὲρ Πρίαμον εὐμέλιος ἱππότης,
Ἕκτωρ φάλαγγας ῥηγνύων ἐναντίων,
ἐπίχαρις ἦθός τε πτηνὸς τὴν φρένα,
φρικτὸς μὲν ἐχθροῖς, εὐμενὴς δ' ὑπηκόοις,
ἱλαρός, εὐέντευκτος, ἡδεῖα χάρις,
μυριόνικος τρισαριστεὺς αὐτάναξ,
Ἑρμοῦ τε παιδείας τε παντοίας φίλος,
ἄντικρυς Ἄρης ἐν μάχαις ἀντιπάλων,
ὀξύρροπός τις πρὸς μάχας καὶ κινδύνους,
ἀεὶ στρατάρχων, κατ' ἐχθρῶν κινῶν δόρυ
καὶ ταῖς κατὰ σφῶν ἀναδούμενος νίκαις.
Οὗτος στρατεύσας κατὰ Τούρκων βαρβάρων
κατὰ τὰ Μελάγγεια τῆς ἕω τόπους,

ditus, atque divinis donis florentissimus, corporis robore, forma, sapientia, prompto ad pericula subeunda animo, artuum procero pro aetate habitu, (4055) laetus, iucundus, comitate obvia. verum patientia maxime excellebat et leni animo prae ceteris regibus, heros Herculeus insuperabilis, suique regni validus defensor, (4060) pastor bonus, vigil ovilis custos, luporum rabiem a grege depellens, atque huic libera pascua procurans; comis regnator, validus bellator, Aiax, Achilles, Nestor consiliosus, (4065) eques vel ipso Priamo peritior, Hector phalangas sternens adversas; moribus iucundis, acuto ingenio, hostibus formidandus, bonus subditis, hilaris, accessu facilis, gratiosissimus, (4070) mille relatis rex inclytus palmis, et simul omnis eruditionis amans, Mavorti par decertans in proeliis, alacer ad pugnas atque pericula, semper belligerans hastaque hostes premens, (4075) seque victricibus laureis exornans.

Hic bello moto contra Turcas barbaros, eois locis quibus nomen

Τούρκους μετῆλθεν ἀναχαιτίσας ὅπλοις,
καὶ τῆς φυλακῆς φροντίσας τῶν ἀστέων
εἰς τὴν βασιλεύουσαν ἀνθυποστρέφει.
εἶτ' ἐκστρατεύει κατὰ Περσῶν καὶ πάλιν
τὰς πρὸς Πιθηκᾶν κατατρεχόντων πόλεις,
λεηλατούντων καὶ Θρᾳκησίων θέμα.
τοίνυν ὑπερβὰς Λυδίαν καὶ Φρυγίαν
ἄναξ ἐπέστη φρουρίοις κακουμένοις,
καὶ δυνατὴν σύναρσιν αὐτοῖς εἰσφέρει,
καὶ Πέρσας ἀπήλασεν ὡς πορρωτάτω.
καὶ πρὸς Φιλομίλιον ἀπελθὼν πόλιν
κἀκεῖσε Τούρκοις βαρβάροις ἐντυγχάνει·
καὶ πείρεται δὴ τὸν ποδὸς ταρσὸν βέλει
ὑπ' Ἀγαρηνοῦ λογχοτρώτου κειμένου,
ἄνω κατὰ πέλματος ἀφέντος βέλος.
κἀκεῖθεν ὥς τις ἀετὸς ταχυπτέρυξ
ἔπτη πρὸς αὐτὴν Ἰκονιέων πόλιν,
καὶ τῆσδε πάντα κατακείρων τὰ πέριξ
πρὸς βασιλίδα τὴν πόλιν ὑποστρέφει.
Ὑπῆρξε φροντίς, ὡς πατρὶ τούτου πάλαι,
καὶ τῷδε κοινῶν πράξεων στεφηφόρῳ,
ὃς καὶ συνήφθη πρὸς γάμου κοινωνίαν
ἐξ Ἀλαμανῶν εὐγενεστάτῃ κόρῃ,
ταῖς ἀρετῶν χάρισιν ὡραϊσμένῃ
οὐχ ἧττον ἢ σώματος ὥρᾳ καὶ πλάσει.
Τούτου κρατοῦντος ἐκ κλιμάτων ἑσπέρας
Ἀλαμανῶν στράτευμα καθάπερ νέφος,

Melangia, hostium incursum armis compescuit, impositoque urbibus praesidio (4080) regiam ad metropolim redux se recepit. deinde Persas persequendos censuit, qui ad Pithecam oppida incursabant themaque Thracesium diripiebant. ergo transgressus Lydiam atque Phrygiam (4085) castellis affuit Caesar laborantibus, atque his firmum attulit subsidium, submovitque Persas quam longissime. ad Philomelium postea progressus barbaris Turcis ibi quoque occurrit, (4090) imoque in pede iaculo transfigitur ab Agareno, qui lancea prostratus telum inferius in soleam coniecit. indidem autem ceu pernix aquila ad Iconiensem urbem transvolavit, (4095) huiusque omni devastato agro reversus est ad imperii metropolim.

Iam qualem pater olim prae se tulerat curam rei publicae, talem gessit filius. idem coniugii iunxit sibi foedere (4100) ex Alamannis puellam nobilissimam, virtutum ornamentis haud minus miram quam corporis compage et pulchritudine.

Regnante Manuele ex orbe occiduo Germanicus instar turbinis exer-

δεινὸν τετριγὸς φθαρτικόν τε καθάπαξ,
ἐπεισέφρησεν ἀθρόον Ῥωμαΐδι,
τὴν πρὸς Σιὼν ἄφιξιν αὐχοῦν αἰτίαν·
ὧν ῥὴξ Κορράδος ἦν στρατηγὸς ταγμάτων,
φιλευσεβὴς ῥὴξ καὶ φιλόχριστος πλέον,
ὃς ὅρκια θεὶς ἄνακτι πιστευτέα,
ἦ μὴν παρελθεῖν φιλίως Ῥωμαΐδα
αὐτόν τε καὶ στράτευμα καὶ βλάβης δίχα,
καὶ μέχρις αὐτῆς τῆς Κωνσταντίνου φθάνει
σὺν τῇ στρατιᾷ καὶ λεῷ κατηκόῳ,
μηδὲν νεοχμώσας τι τῶν συγκειμένων·
ἀφ᾽ οὗ γε πορθμὸν ἐκπεράσαντες τάχος
ἤνυτον αὐτῶν τὸν προκείμενον δρόμον.
Ὁ δ᾽ αὐτοκράτωρ κεκρικὼς εἶναι δέον
δι᾽ ὑγροχέρσου στρατιᾶς ῥωμαλέας
ἐπιστρατεῦσαι τῇ Κερκυραίων ἄκρᾳ,
ἐκ Σικελικῆς προσφάτως ναυαρχίας
ὑποστάσῃ πόρθησιν ἐξ ἀβουλίας,
πρὸς τοῦτ᾽ ἀπησχόλητο νυκτὸς ἡμέρας.
καὶ συναλίσας στρατιὰν πανταχόθεν
φρίσσουσαν αἰχμαῖς, μυριάριθμον, ξένην,
χιλιόναυν στόλον τε πρὸς τοῖσδ᾽ ὁπλίσας,
πρὸς νῆσον ἐστράτευσε τὴν τῶν Φαιάκων,
καὶ τῇδ᾽ ἐφιστᾷ τὰς δυνάμεις κυκλόθεν,
καὶ κατακρατεῖ τῆσδε λιμῷ καὶ βίᾳ.
καὶ τρισαριστεὺς Πελαγονίαν φθάνει,

citus, (4105) gravis et cunctis rebus exitiosus, Romano imperio derepente incubuit, Sionicam praetendens expeditionem. huius Corradus dux erat exercitus, rex pius et Christo maxime devotus; (4110) qui data Caesari iurata fide per fines nostros amice transiturum, nec se nec milites fore nobis nocuos, ad ipsam Constantini devenit urbem cum suis copiis populoque subdito, (4115) nec praeter foedus quicquam est molitus. atque hinc traiecto sine mora freto susceptum porro continuarunt iter.

Iam imperator necessarium iudicans cum valido exercitu tam pedestri quam navali (4120) ferre suppetias arci Corcyraeae, quae nuper cladem a Sicula classe ob consilii imprudentiam passa fuerat, huic curae diu noctuque intentus erat; et congregato undecunque exercitu, (4125) armis horrifico innumero miro, et mille navium classe plena milite, cum his accessit ad Phaeacum insulam eamque viribus undeque circumdedit, et fame demum vique debellavit. (4130) mox victor venit in Pelagoniam, unde Triballos invasit ceu leo, qui foedus ante initum irritave-

ἀφ' ἧς ἐπελθὼν Τριβαλοῖς ὥσπερ λέων,
σπονδὰς διαλύσασι τὰς συγκειμένας
καὶ Ῥωμαϊκὰς καταδῃοῦσι πόλεις,
βρυχήματι σφᾶς κατέπληξε καὶ μόνῳ.
λείαν τ' ἐλάσας καὶ λαφυραγωγίαν
ἐκεῖθεν ἀμύθητον ἅμ' ἀνδραπόδοις,
πρὸς τὴν βασιλεύουσαν ἀνθυποστρέφει,
κἀπὶ τροπαίῳ προσφάτῳ καὶ τῇ νίκῃ
κατήγαγε θρίαμβον ἐν μέσῃ πόλει.
Ἄρτι δ' ὑπεκλάμποντος ἦρος καὶ πάλιν
ἄναξ ἐπίστη Πελαγονίας τόποις,
καὶ Τριβαλλάρχην Οὔρεσιν κακεργάτην
μέτεισιν αὖθις, κατὰ Ῥωμαίων ὅπλα
κινοῦντα κακῶς Παιόνων συμμαχίᾳ,
ὥστ' ἀναθαρσήσαντα κατὰ συστάδην
τὴν πρὸς κρατοῦντα μὴ κατοκνῆσαι μάχην.
τέως βασιλεὺς συμπλακεὶς σφίσι μάχῃ
τρόπαιον ἱστᾷ κατὰ βαρβάρων μέγα,
ὅτ' ἀρχιζουπάνος γε κλῆσιν Βαχχῖνος
μόνῳ βασιλεῖ κατ' ἐπιλέγδην μόνος,
μέγας τε φυὴν καὶ βριαρόχειρ γίγας,
ἄλλος Γολιάθ, ὑπέροφρυς τοὺς τρόπους,
ἄνακτι Δαβὶδ πρὸς μάχην συνεπλάκη.
καὶ θλᾷ παραπέτασμα σιδηροῦν κράνους
τὸ πρὸ προσώπου βάρβαρος πλήξας ξίφει·
ἄναξ δὲ διέπειρε βαρβάρου χέρα,
τριχῶν τε τοῦτον εὐφυῶς δεδραγμένος

rant atque Romanis urbibus molesti erant. hos ergo terruit vel solo rugitu; (4135) et praedam inde referens ac manubias innumerabiles cum mancipiis rursus ad regiam urbem pedem rettulit; atque ob recentem nobilem victoriam rite triumphum media urbe egit.

(4140) Tum rursus, vere vix se aperiente, adfuit Caesar Pelagoniae terris et Triballorum principem iniurium Uresim impetit, qui nuper arma sociis Paeonibus in Romanos moverat; (4145) quare et audebat manifesto Marte cum nostro Caesare pugnam non respuere. verum patrato cum barbaris proelio tropaeum ingens Caesar reportavit. sed Archizupanus, vulgo Bacchinus, (4150) singulare cum Caesare certamen suscepit, magna praeditus membrorum mole et Briareo par centimano, vel gigas Goliath superbiens in Davidem. barbarus ergo munimentum galeae ferreum, (4155) ori praetentum Caesaris, ense frangit: at manum barbari Caesar configit, eumque coma fortiter correptum per-

ζῶντα στρατιᾷ ταχέως παριστάνει.
καὶ βαρβαρικοῦ διαλυθέντος στίφους
νίκην ἀπηνέγκαντο Ῥωμαῖοι πάλιν.
Ἔτι δ' ἱδρῶτας Μανουὴλ μάχης φέρων,
οὐδ' ἐκτινάξας τοῦ προσώπου τὴν κόνιν,
ἐκεῖθεν ἐξώρμησε κατὰ Παιόνων,
ἔγκλημ' ἐπάγων σφίσι τὴν συμμαχίαν
τὴν πρὸς Τριβαλλοὺς Ῥωμαϊκῶν καθ' ὅρων.
Σάουβον οὐκοῦν ἐκπεράσας ὡς δέον,
Φραγγοχωρίῳ καὶ Ζευγμίνῳ τῇ πόλει
ἐπεισπεσὼν ἔκειρε πάντα τὰ πέριξ,
κἀκεῖθεν ἀπήλασεν λείαν μυρίαν,
καὶ πλοῦτον εἷλε καὶ λάφυρα καὶ σκῦλα.
καὶ παλινοστεῖ πρὸς βασιλίδα πόλιν,
καὶ κατάγει θρίαμβον εὔσημον πόλει,
δοριαλώτους Τριβαλοὺς Οὔννους ἄγων,
στολὰς τιμαλφεῖς εὐφυῶς ἠσθημένους
πομπήν θ' ὑπεξαίροντας αὐτῶν τῇ θέᾳ.
Καιρὸν δὲ βραχὺν ἐνδιατρίψας πόλει
ἐπιστρατεύει Παίοσιν αὖθις ἄναξ,
καὶ πρὸς Σαρδικὴν ἀφικνεῖται τὴν πόλιν,
κἀκεῖ παρὼν τέθεικε συμβάσεις σφίσιν·
χωρεῖ δ' ἐκεῖθεν πρὸς Τριβαλῶν σατράπην,
καὶ τόνδ' ὁδοῦ πάρεργον ἔντρομον δράσας
πειθήνιόν τε τῷ κράτει τῶν Αὐσόνων
πρὸς τὴν βασιλεύουσαν εἴσεισι πόλιν.

trahit vivum ad nostrum exercitum. quare barbarico dissoluto agmine, (4160) Romani denuo referunt victoriam.

Manuel adhuc pugnae sudorem gerens, necdum de facie pulvere deterso, illinc in Paeonas transtulit exercitum, crimen ulturus societatis bellicae (4165) quam cum Triballis contra nos inierant. ergo traiecto cum copiis Savo, et Francochorium Zeugminumque urbem occupans, agros quaquaversus vastans, illincque abductis plurimis manubiis, (4170) opibus auctus praedaque onustus reversus est ad imperii metropolim, nobilem agens per urbem triumphum, captos Triballos Hunnosque ducens splendidis togis decenter indutos, (4175) insignis pompae mirum ornamentum.

Brevi intervallo in urbe demoratus rursus Paeonium bellum est aggressus Caesar, et Sardicam urbem usque venit, ibique pacem hostibus est largitus. (4180) illinc profectus contra Triballum satrapam, hunc in itinere tantopere exterruit, ut obedientem fecerit imperio; et sic By-

ἦρος δ' ἐπιλάμποντος ἔξεισι πάλιν,
καὶ πρὸς πεδία Πελαγονίας φθάνει·
κἀκεῖ διαγνοὺς βασιλειῶντα δόλῳ
Οὔννους τ' ἐπαλείφοντα πρὸς ξιφουλκίαν
Κομνηνὸν Ἀνδρόνικον, ἄρχοντα τότε
Βρανιτζόβης θέματος καὶ Βελλεγράδων,
ἔπαυσεν ἀρχῆς, καὶ καθείρξας ἐν πέδαις
δέσμιον ἀπέστειλεν ἐν Βυζαντίδι,
καὶ φυλακῇ δέδωκεν ἀσφαλεστάτῃ.
καὶ τηνικαῦτα Παιόνων ἀρχηγέτης
σπονδὰς λελυκὼς κατέδραμε χωρία
Βρανιτζόβης ξύμπαντα καὶ Βελλεγράδων.
τέως ἐπιστὰς βασιλεὺς κακουμένοις
ἤμυνεν αὐτοῖς ὡς ἐνῆν παρουσίᾳ,
καὶ πρὸς βασιλεύουσαν ἀνθυποστρέφει,
εὖ πράγματα θεὶς πάντα τὰ πρὸς ἑσπέραν.
Καὶ λοιπὸν ἐστράτευσε πρὸς Κιλικίαν.
εἰς Ἄδαναν οὖν καὶ Ταρσὸν ἀφιγμένος
καὶ ταῖσδε τὰ πρόσοικα θάλψας ὡς δέον
ὑπήκοα φρούρια Ῥωμαίων κράτει,
πάσχοντα κακῶς πρὸς Τορούσῃ τῷ τότε,
καὶ μέχρι λαμπρᾶς Ἀντιοχείας φθάνει,
ἧς ἔνδον εἰσήλασε σὺν δορυφόροις
καὶ παρασήμοις βασιλικοῖς ὡς κράτωρ,
διεκχυθέντων ἐκ πυλῶν οἰκητόρων
καὶ σκευασάντων φιλότιμόν οἱ λίαν

4197 ἐνῆν] ἐν V   4204 de Toruse Armenio Nicetas Choniata 3 1. M.

zantium redux venit Caesar. sed vere exorto iterum egressus (4185) ad Pelagoniae terras semet transtulit; ibique intelligens moliri tyrannidem Hunnosque ad bellum exstimulare Comnenum Andronicum, tunc regentem Branitzobae thema et Bellegradi, (4190) officio spoliat, catenisque onustum mittit Byzantium, ibique mandat quam tutissimo carcere custodiri. interim princeps Paeonum violato foedere terras incursabat omnes (4195) Branitzobae atque Bellegradi: sed Caesar praesens damnum perpessis tulit suppetias cum vindiciis. mox ad metropolim pedem referebat, compositis cunctis in occidente rebus.

(4200) Postea transtulit bellum in Ciliciam, pervectusque Adanam atque Tarsum harum castella instauravit rite, quae Romano imperio obnoxia erant, sed nuper a Toruse vexata fuerant. (4205) et Antiochiam usque progressus est, in quam cum suis custodibus est receptus et cum vexillis regiis ut imperator, effusis obviam extra portas civibus, eique

πομπαίαν εἰσέλευσιν εὐφήμοις κρότοις.
ἔνθα διάγων Μανουὴλ αὐτοκράτωρ
ἐν παιδιᾶς δέδειχεν ἀγῶνι σφίσιν
ἀνδρείας ἔργα καὶ χερὸς ῥωμαλέας,
ἡρωϊκῇ πρέποντα γενναίᾳ φύσει,
κοντῶν ἁμίλλαις ἐκνικήσας ἱππότας
Ἰταλιώτας ἀγερώχους πρὸς δόρυ.
εὐανδρίας οὕτω δὲ δείξας τὸ σθένος
ἐμπειρίαν τε συνετὴν τὴν ἐν μάχαις,
καὶ θαύματος ξύμπαντας ἐμπλήσας, ἅπαξ
οἴκαδ' ἐπανέζευξε πρὸς Κωνσταντίνου.
    Κοινωνὸν οὗτος τοῦ λέχους καὶ τοῦ κράτους
ἔγημε κάλλος εὐπρεπεστάτην κόρην,
Ἀντιοχείας σατράπου θυγατέρα,
Ἰταλιώτου Πετεβίνου ἱππότου,
πρώτην σύνευνον ἀποβαλὼν θανάτῳ,
ἐξ Ἀλαμανῶν ἀρχικῶν οὖσαν γένους.
    Ταῦτα μὲν ὧδε συνέκυρσεν ὡς ἔφην·
Κομνηνὸς Ἀνδρόνικος δ' ἐγκαθειργμένος
δι' ἅσπερ ἱστόρησεν αἰτίας λόγος,
εἰρκτῆς διαδρὰς μηχανῇ πολυτρόπῳ
εἰς Γάλιτζαν ἔδραμε Ῥωσικὴν πόλιν,
καὶ τῷ σατραπεύοντι ταύτης ἀσμένως
δεχθεὶς παρ' αὐτῷ πλεῖστον ἐμμένει χρόνον.
οὕτω δὲ συνέδησεν αὐτοῦ πρὸς πόθον
καὶ φιλίαν σχέσιν τε σατράπην χρόνῳ

valde gloriosam curantibus (4210) ingressus pompam cum secundis plausibus. dumque ibi manet Manuel imperator, in ludorum agone ostendit civibus validae manus opera virilia heroicae digna generosaeque indolis, (4215) contorum certaminibus vincens equites Italicos hastarum laude inclytos. sic fortitudinis indiciis editis atque prudentis in proeliis peritiae, suique admiratione concitata, (4220) ad Constantini rediit urbem patriam.

Idem consortem tori atque imperii duxerat forma inclytam puellam, Antiochiae satrapa prognatam Petebino, equite ex Italia, (4225) quia primam coniugem amiserat ex Alamannis genitam principibus.

Atque haec huiusmodi sortita sunt exitum. Comnenus autem habitus in vinculis ob iam narratas causas, Andronicus, (4230) versuto astu carcere se proripiens in Russicam confugit Galitzam urbem, ibique a satrapa prono animo exceptus longo permansit apud ipsum tempore. tanta autem sibi iunxit amicitia (4235) et quotidianis satrapam officiis,

ὡς συνεδρεύειν συναριστᾶν σατράπῃ
καὶ τῷδε συνέστιον ἀεὶ τυγχάνειν.
ὅμως κρίνων ὄνειδος οἰκεῖον κράτωρ
πρωτεξαδέλφου τὴν φυγὴν Ἀνδρονίκου
ἀπόδρασίν τε κἀπὶ τῆς ξένης ἄλην,
ἐπιμελὲς τίθησιν ἔργον καὶ λόγον
ὥστ' ἀπολαβεῖν τόνδε πατρίδα πάλιν,
καὶ μᾶλλον οἷς ἤγγελλε φήμη καὶ τάδε,
ὅτι Σκυθικὴν στρατιὰν παροξύνει
Θρᾴκης ἐπελθεῖν Μακεδονίας ὅροις.
ἐκεῖθεν οὐκοῦν εὐμενῶς αὐτοκράτωρ
πίστεις παρασχὼν καὶ λαβὼν ἐπανάγει
Κομνηνὸν Ἀνδρόνικον πρὸς τὴν πατρίδα.
Καθ' ὃν χρόνον Παίονες ἠθετηκότες
ἃς πρὸς κρατοῦντα συνέθεντο ξυμβάσεις,
χώραις ἐπῆλθον Αὐσόνων παριστρίοις,
καὶ Ῥωμαϊκοῖς συμβαλόντες τάγμασι
νίκην ἀπηνέγκαντο καὶ πλῆθος σκύλων.
τοίνυν ἐπιστὰς βασιλεὺς τῷ Ζευγμίνῳ
ἡλωκότι Παίοσιν ἄρτι βαρβάροις,
ἐπανασώζει καὶ πάλιν Ῥωμαΐδι
εὐβουλίαις νίκαις τε καὶ στρατηγίαις.
Καὶ μὴν περιώνυμον ἔργον καὶ τόδε
ἀναπέφανται τοῦ καλοῦ στεφηφόρου.
πόλεις Ἀσιάτιδες εὔχρηστοι βίῳ,
Χλιαρὰ καὶ Πέργαμος ἄλλαι τ' αὖ πόλεις,
ὧν τὰ πέριξ πάσχοντα Πέρσαις βαρβάροις

ut illi semper in convictu adesset eiusque mensa assidue uteretur. at Caesar sibi probrosam existimans Andronici fugam patruelis (4240) et in alieno solo vagam vitam, coepit putare qua ratione posset hominem in patriam suam retrahere, praesertim quia didita fama erat arma Scytharum ab illo commoveri (4245) Macedoniaeque et Thraciae adesse finibus. ergo benivola oblata fide Caesar, et recepta invicem, reduxit Comnenum Andronicum ad lares patrios.

Sub idem tempus Paeones, effracta (4250) quam Manueli spoponderant fide, nostras ad Istrum incursabant terras, et cum Romanis congressi militibus victoria et spoliis plurimis sunt potiti. quamobrem Caesar Zeugminum progressus, (4255) quam urbem nuper Paeones occupaverant, rursus Romano vindicat imperio victoriis et consiliis et arte bellica.

Inclytum aliud et famigeratum praeclari regis opus inclaruit. (4260) urbes Asiaticas, utiles rei publicae, Chliaram Pergamum alias-

δῃούμενά τε πυρπολούμενα σφίσιν,
κωμηδὸν ὡς ἔχοντα τὴν συνοικίαν,
ἄναξ περιέβαλε τείχεσι τάδε·
καὶ διαλαβὼν φρουρίοις ἀσφαλέσι
τὸν χῶρον ἀπήλλαξε Περσικῆς λύμης.
οἰκητόρων οὕτω δὲ πλήθουσι τάδε
καὶ πᾶσι καλῶς τοῖς κατὰ βίον βρίθει,
ἀγροῖς τε φυτῶσί τε χάρισι ξέναις,
φρούρια ταῦτα καὶ πόλεις εἰρημέναι,
ὡς τῶν μεγάλων κατακρατεῖν ἀστέων.
Ταῦτα μὲν οὕτω συμβέβηκεν ὡς ἔφην·
ὅρκους δὲ πάλιν συγχεάντων Παιόνων
ἔξεισιν ἄναξ τῶν βασιλείων δόμων,
καὶ πρὸς Σαρδικὴν ἀφικνεῖται τὴν πόλιν,
οὗ συμβαλεῖν τέτακτο Ῥωμαίων ἴλαις.
ἐπεὶ δὲ συνήθροιστο πᾶν στρατευμάτων
κρίσει στρατηγῶν βασιλεὺς βουληφόρων
Κοντοστέφανον Ἀνδρόνικον δεικνύει,
ἄνδρ' ἀρεϊκόν, ἀπτόητον ἐν μάχαις,
καὶ τὴν κατ' Οὔγγρων ἀνατίθησι μάχην.
ὃς παραλαβὼν Ῥωμαϊκὰς δυνάμεις
ὁρμᾷ κατὰ σφῶν σὺν θεῷ νίκης δότῃ·
καὶ δὴ περάσας Σάουβον Ἴστρον θ' ἅμα
ὑπεισέδυ Ζεύγμινον Αὐσόνων πόλιν,
καὶ Παιονικαῖς συμπλακεὶς ἰλαρχίαις
περιφανὲς τρόπαιον ἱστᾷ καὶ νίκην.

4269 καλοῖς?

que aliquot, quarum ager misere Persis barbaris obnoxius igne et ferro vastabatur, propterea quod pagatim habitabantur, (4265) moenibus Caesar cunctas circumclusit: et communitam validis castellis provinciam damno Persico prohibuit. sic autem crevit incolarum numerus, sic ampliata sunt vivendi commoda (4270) agris arboribus peregrinisque bonis, ut haec castella praedictaeque urbes vel ipsis magnis urbibus antistent.

His ita gestis, interim Paeonibus fidem iuratam denuo rumpentibus, (4275) relicta regia pergit imperator Sardicam usque urbem, quo condictus Romanis legionibus conventus erat. ubi universae convenerunt copiae, ducum prudentium Caesar de consilio (4280) Andronicum creat Contostephanum, virum mavortium proeliis invictum, eique bellum committit Hungaricum. is vero assumpto exercitu Romano pergit in hostes cum deo propitio, (4285) traiectisque Savo et Istro fluviis ingreditur Zeugminum urbem nostram, et cum Paeonicis congressus legionibus

κἀκεῖθεν ἀνέζευξεν ὡς νικηφόρος,
καὶ βασιλεῖ δέδεκτο λίαν ἀσμένως.
μεθ᾽ ἡμέρας οὖν τὴν βασίλειον πόλιν
ἄναξ πεφθακὼς σὺν νίκης παραιτίῳ
κατήγαγε θρίαμβον ἔκλαμπρον πάνυ,
στενούμενον πλήθει τε τῶν θεωμένων
τῶν τ᾽ αἰχμαλώτων καὶ σκύλων καὶ λαφύρων.
ἡγεῖτο γὰρ τέτρωρον εὖ ἡρμοσμένον,
ἀργύρεόν πως, ὑπόχρυσον μετρίως,
ὃ χιονώδεις εἷλκον ἵπποι τὴν θέαν·
ἐφ᾽ οὗ γε σεπτὴν ἀναβιβάζει κράτωρ
τῆς μητρανάνδρου παρθένου τὴν εἰκόνα
ὡς συστρατήγου συμμάχου τ᾽ ἀπροσμάχου·
μετὰ δὲ λαμπροὶ καὶ βασιλείῳ γένει
κυδρούμενοι κάλλιστα καὶ ταῖς ἀξίαις.
ἔπειθ᾽ ὁ κρατῶν ὡς γίγας βριαρόχειρ,
ἢ μᾶλλον εἰπεῖν νυμφίος γ᾽ ἐκ παστάδος,
κύδιστος ἢ μέγιστος, ἀστράπτων φάει,
ὀχούμενος προῆλθεν εὐπρεπῶς ἄγαν·
μεθ᾽ ὃν Κοντοστέφανος αἴτιος νίκης,
ὑμνούμενος ξύμπασι τῆς στρατηγίας.
μέγαν δὲ ναὸν πεφθακὼς αὐτοκράτωρ
καὶ τόνδ᾽ ὑπεισδὺς εὐχαριστεῖ προφρόνως
τῷ νικοποιῷ παντάνακτι δεσπότῃ,
καὶ τοῦδε λαμπρῶς αἴνεσιν γλώσσῃ φράσας
ἐκεῖθεν ἥκει πρὸς βασιλείους δόμους.

splendidum ex hoste tropaeum rettulit; atque illinc venit ornatus adorea (4290) ad Caesarem, qui laetus eum excepit. paulo post igitur ad regalem urbem Caesar reversus cum victoriae auctore duxit triumphum apprime magnificum, confertis plenum spectatorum turbis, (4295) militibus captivis ac manubiis. nam procedebat affabre composita quadriga, argento auroque exornata, nivei quam ducebant candoris equi. ibi locari iusserat imperator (4300) virginis augustam deiparae imaginem, belli velut sociae tutelaeque. hanc sequebantur regii cognati, pulcherrime exornati suis insignibus. deinde Caesar ut gigas fortissimus, (4305) vel potius ceu sponsus adveniens thalamo, maximus, admirandus, luce rutilans equitans procedebat decenter admodum. post quem Contostephanus victoriosus, hymnis a cuncto exercitu celebratus. (4310) postquam ad templum devenerunt maximum, illuc ingressus Caesar laeto animo gratias egit victoriae auctori deo, eiusque laudes divite lingua dixit; tum se ad regium contulit palatium.

Οὗτος Μανουὴλ πορφυρανθὴς αὐτάναξ
θεῷ χαριστήρια τῶν ὅλων θύει
γεννήσας υἱὸν ἐκ γάμων τῶν δευτέρων,
ἐφ' ᾧ θαλίαις καὶ καλαῖς πανδαισίαις
ἀστυπολίτας ἑστιακῶς πλουσίως
κέκληκεν Ἀλέξιον υἱέα φίλον.
Τούτου κρατοῦντος καὶ Βενετίκων γένος
ἀνδρῶν ὑπῆρξεν Ἰταλῶν ἀποικία
ἐκ Βενετίας εἰς βασιλίδα πόλιν,
καὶ τῇσδ' ἐνεγράφησαν ἀστοῖς γνησίοις,
κἀκ τῇσδ' ἐφηπλώθησαν εἰς πᾶσαν χθόνα
διασπαρέντες Αὐσόνων κραταρχίας.
ἐνημμένοι πλοῦτον δὲ βαθὺν πραγμάτων
αὔξην τε μακράν, αὐθάδειάν τε πλέον,
οὐκ Αὔσονας ἥγηντο δυσμενεῖς μόνον,
ἀλλὰ βασιλείων γε καὶ προσταγμάτων
καὶ τῶν ἀπειλῶν εἶχον ἀνεπιστρόφως.
τὴν σφῶν τὸ λοιπὸν ὑπεροψίαν ἄναξ
οὔκουν φορητὴν οὐδ' ἰάσιμον κρίνων,
γράμματα βασίλεια κατ' ἐπαρχίαν
Ῥωμαϊκὴν πέπομφεν ἅπασαν λάθρα,
κατάσχεσιν δηλοῦντα τῶν Βενετίκων
χρόνον τε καθ' ὃν ταῦτα πραχθῆναι δέον.
ὥριστο τοίνυν ἡμέρα προθεσμίας,
ἧς ἐνστάσης πᾶς συνελήφθη Λατίνων,
τῆς δυστροπίας εἰσπραχθέντες εὐθύνας.
Βενετίκων ὅσοι δὲ τὴν Κωνσταντίνου

(4315) Hic Manuel rex atque porphyrogenitus supremo numini gratias persolvit, suscepto filio de secundis nuptiis; ob quem laetitia publici convivii cives universos opipare excepit; (4320) carumque filium appellavit Alexium.

Regnante Manuele gentis Venetae colonia quaedam civium Italorum Venetiis venit ad regiam metropolim, ibique genuinis adscripta civibus (4325) exin in omnes sparsa est provincias Romani imperii, lautosque thesauros opum congessit et potentiam amplam, multoque magis intendit audaciam. nec solum nostro populo diffidebant (4330) Veneti, sed edicta spernebant regia, neque minarum tangebantur metu. horum superbiam haud diutius Caesar ratus ferendam utpote insanabilem, literas regias per provincias omnes (4335) Romani imperii clanculum dimisit, quae ut caperentur Veneti mandabant, et rei gerendae tempus praescribebant. ergo condicta certa dies fuit, qua sunt capti Latini omnes, (4340) improbi moris uti poenas luerent. tamen qui Veneti urbem Constantini

πόλιν κατῴκουν, ἀποδράσαντες τάχος
ἐπιβεβηκότες τε νηὸς ἑσπέρας
τοῖς ἀνέμοις λαίφη τε δόντες ὡς δέον,
ἀπῄεσαν φεύγοντες ἐς σφῶν πατρίδας.
καὶ σφᾶς μὲν εἶχεν ἡ Βενετία τότε,
μετὰ δὲ μακρὸν ηὐτρεπικότες στόλον
νήσους ἐκάκουν ἐκπλέοντες εὐδρόμως·
ἀλλ' ἀντίπρωρος Αὐσόνων σταλεὶς στόλος
πλοῦ σφᾶς ἀπεῖρξε πειρατικοῦ καὶ μάχης.
τοίνυν ἀποστάντες γε τοῦ διὰ μάχης
ἐχθροὺς κακῶς δρᾶν ἀμύνεσθαί τ' αὖ στόλῳ,
πρὸς ῥῆγα συνέθεντο τῆς Σικελίας
ὅρκια πιστὰ συμβάσεις τε φιλίας.
ὃ γνοὺς βασιλεὺς ὁ προμηθεὺς Αὐσόνων,
καὶ τὰς ἐπὶ λύμῃ γε τῆς Ῥωμαΐδος
συμφωνίας σφῶν ἐννοούμενος λῦσαι
ἃς ῥηγὶ συνέπραξαν ἀμύνης χάριν,
ἀνεξικάκως εὐμενῶς εὐμηχάνως
πρὸς φιλίαν εἵλκυσεν αὐτοὺς τὴν πάλαι,
ἀμνηστίαν δοὺς τῶν σφίσι πεπραγμένων.
πρὸς δ' αὖ ἔθη δίδωσιν αὐτοῖς τὰ πάλαι,
καὶ σφῶν ὅσων εἴληφε τὸ πρὶν οὐσίαν
καὶ τήνδε βασίλειος ἐφρούρει στέγη,
τοῖς Βενετίκοις ἀπέδωκε προφρόνως.
Γενναίαν ἄναξ οὑτοσὶ πλουτῶν φύσιν,
ὀξύρροπός τ' ὢν ἐν μάχαις ἀντιπάλων,
δραστήριός τε καρτερόψυχος λίαν,

tunc incolebant, festinanter omnes conscensa nave vespertino tempore, velaque ventis naviter pandentes (4345) in suam patriam fuga devenerunt; sicque Venetiis interim manserunt. multo post tamen, ordinata classe, facili cursu infestabant insulas: verum opposita Romanorum classis (4350) cohibebat illos a suo latrocinio. quare dimisso decertandi studio, neque iam hosti navibus nocentes, cum rege Siculo conventione facta fidem iuratam pangunt amicitiae. (4355) cognita re Caesar, imperii tutor, ad Romanorum damna coniuratam deliberavit solvere amicitiam, quam studio ultionis cum rege pepigerant. nempe patienter callide benivole (4360) illos ad veterem traxit amicitiam, facti cuiusvis impertita venia. insuper prisca privilegia indulsit; et quicquid Venetae rei captum fuerat et in quaestorio servabatur regio, (4365) reddidit ipsis animo lubente.

Hic tam egregio praeditus ingenio Caesar, ad pugnas alacer pangendas, efficax, animo admodum constante, et per se ipse bella confi-

καὶ διενεργῶν δι᾽ ἑαυτοῦ τὰς μάχας,
δεῆσαν ἵππον ἀνέβαινεν αὐτίκα
καὶ τῆς στρατιᾶς ἦν προμαχῶν εὐθύμως.
ἔξεισι τοίνυν κατὰ Σουλτάνου πάλιν
κατατρέχοντος Ῥωμαϊκὰ χωρία,
καὶ γίνεται δὴ πρὸς θέμα Δορυλαίου,
ἔνθα χρονίζων εὖ ἀνακτίζει τόδε.
τείχει τ᾽ ὀχυρῷ καὶ περιτείχῳ ξένῳ
περιβαλὼν εὖ κατοχυρώσας θ᾽ ἅμα,
καὶ δοὺς φυλακὴν ὡς ἐνῆν τῷδ᾽ ἀξίαν,
μερῶν ἀπανίστατο τοῦ Δορυλαίου.
ἐφίσταται δὲ φρουρίῳ τῷ Σουβλέῳ,
κἀκεῖν᾽ ὁμοίως ἀνακτίσας ὡς δέον,
καὶ πάντα θεὶς εὖ, πρὸς πόλιν ὑποστρέφει.
Βραχὺς ἐφεξῆς παρελήλυθε χρόνος,
καὶ καθ᾽ ἑαυτοὺς βασιλεὺς καὶ σουλτάνος
ὑπέσμυχον πῦρ ἐν σποδιᾷ καρδίας,
ἔναυσμα βραχὺ μνησικακίας χόλου,
καὶ τοῦτ᾽ ἀνάψαι κατέσπευδον εἰς φλόγα·
ἑκάτερος γοῦν ἐγκαλῶν ἑκατέρῳ
ὑπῆρχε σαφῶς καὶ διηπείλει μέγα.
ὅθεν βασιλεὺς τὰς ὑπούσας δυνάμεις
πάσας ἀθροίσας ὡς ἐνῆν πανταχόθεν,
ἄλλας τ᾽ ἐπ᾽ ἄλλαις συναγαγὼν ὡς δέον
ἐξ Ἰταλῶν τε καὶ Σκυθῶν παριστρίων,
καὶ συγκροτήσας μυριάριθμον στῖφος,
ἀφανίσων ἄπεισι Περσικὸν φῦλον

ciens, (4370) ubi opus erat, statim equo inscenso primus in acie strenue perstabat. iterum ergo pergit in Sultanum, a quo Romanae incursabantur terrae, et usque ad thema pervenit Dorylei. (4375) ibi subsistens instauravit urbem, validis moenibus miroque vallo ei circumposito cum propugnaculis; impositoque idoneo praesidio ex agro Dorylei castra movit, (4380) atque Subleo adfuit castello; ipsoque pariter apte communito, et reliquis dispositis, ad urbem redit.

Sed brevi requies intervallo fuit: invicem quippe Caesar et Sultanus (4385) ignem fovebant sub cordis cineribus, fomitem promptum meditatae ultionis, atque erupturum protinus in flammam. uterque scilicet accusabant invicem querelis manifestis minisque gravibus. (4390) quamobrem Caesar vires universas undique contrahens, hisque supplementa alia atque alia, ut par erat, addens ex Italis atque Scythis ad Istrum positis, congregatoque innumero exercitu, (4395) Persi-

καὶ κατερείψων Ἰκόνιον εἰς ἔδος,
πρὸς δ' αὖ γε περσάνακτα καθέξων βίᾳ
καὶ συμπατήσων ὡς ἔθος κατ' αὐχένος.
ἀπάρας οὐκοῦν ἐκ Βυζαντίου τάχος
μετὰ στρατιᾶς διὰ Φρυγίας μέσης,
εἰς Χώνας ἦλθεν, εὖ πόλιν ᾠκισμένην·
κἀκεῖθεν ἐξώρμησεν εἰς ἔρυμά τι
ᾧ Μυριοκέφαλον ἦν κλῆσις πάλαι,
ἀφ' οὗπερ εἰσήλαυνεν εὐθὺ Περσίδος
τειχῶν Ἰκονίου τε τοῦ περικλύτου
μετὰ στρατιᾶς εὐσθενοῦς ῥωμαλέας
καὶ ταγματαρχῶν ἀρεϊκῶν ἐν μάχαις,
σταθμοὺς ἀπάρσεις νουνεχῶς καὶ σὺν λόγῳ
τὰς καθ' ὁδὸν δρῶν χάριν ὑποζυγίων,
ἃ μηχανὰς ἀνεῖχε καὶ σφῶν τεχνίτας
ὄντας ἀόπλους ἀδαεῖς τε τῆς μάχης.
πλὴν οὐδ' ὁ σουλτὰν ἠμέλει στρατευμάτων,
συμμαχικὸν δ' ἤθροισεν ἐκ τῶν συμφύλων
πρὸς ἀντιπαράταξιν ηὐτρεπισμένον.
πρέσβεις δ' ὅμως πέπομφε πρὸς βασιλέα
αἰτῶν ἐνόρκους φιλίας καὶ συμβάσεις
ἐξάνυσίν τε βασιλεῖ βουλητέων.
ἐπεὶ δ' ἑώρα συμβάσεις ἀνηνύτους,
αἱρεῖ προφθάσας σουλτάνος δυσχωρίας
καὶ τὰς στενωποὺς ἀτριπῶν πορευσίμων
κλεισούρας, ἣ κέκλητο Τζιβρίτζη πάλαι,

4420 *τοὺς* V **4421** *αἳ κέκληντο?* cf. Nicet. p. 232 24.

cum pergit ceu deleturus gentem Iconiumque humi prostraturus, eiusque regem insuper capturus, ut pede collum de more calcaret. igitur raptim profectus Byzantio, (4400) cum suis copiis Phrygiam pertransiens, Chonas devenit, elegantem urbem. illinc ad castrum quoddam est progressus cui nomen vetus erat Myriocephalum: unde pervasit in dicionem Persicam, (4405) tendens ad moenia inclyti Iconii, cum exercitu valido fortissimo et cum expertis proeliandi ducibus, itineris stationes prudenter metiens propter iumenta machinis onusta (4410) cum artificibus suis inermibus neque gerendi belli peritis. nec vero Sultanus non cogebat copias, immo gentiles accersebat suppetias et defensionem strenue apparabat. (4415) tamen legatos misit ad Caesarem, iuratum foedus qui memorarent fidemque ratam esse postularent. sed enim irrita foedera cernens Sultanus, locos occupat difficiles (4420) atque viarum obsidet angustias, clausuram olim dictam Tzibritzen, per quam Romanus

δι᾽ ἧς στρατιὰ Ῥωμαϊκὴ καὶ κράτωρ
ἔσπευδον ἐλθεῖν ἐκ Μυριοκεφάλου·
οὗ παραβύει σουλτάνος τὰς δυνάμεις,
λόχον καθίσας ὡς ἔθος τοῖς βαρβάροις,
ὡς ἂν ἐπεισπέσωσι Ῥωμαίοις δόλῳ.
ἔστι δ᾽ ὁ χῶρος ἀπόκρημνος εἰσάπαν,
στενὸς κομιδῇ δυστίβευτός τε πλέον,
Ταίναρον Ἅιδου καὶ Χαρώνεια πέδα,
αὐλὼν προήκων δυσπόρευτον εἰς τρίβον.
ἁψαμένης οὖν στρατιᾶς δυσχωρίας,
στρατεύματα μὲν καὶ λοχαγοὶ ταγμάτων,
οἷς ἦν προάγειν στρατιᾶς τεταγμένον,
διεκδραμόντες ἀπαθεῖς κακῶν τόπον
εἰς πλάτος ηὐλίσθησαν ἔξω κινδύνου·
ἀγχοῦ δὲ κράτωρ παριὼν οὐραγίας
ἐπεισπεσόντων ἐξ ἐνέδρας βαρβάρων
βέλη τ᾽ ἐπ᾽ αὐτὸν ἀφιέντων καὶ λίθους,
ὡς κατὰ πρανοῦς ἐξ ἑκατέρου μέρους,
οὐκ ἔχει ῥᾷστα τὴν ὁδὸν παριέναι,
ἤγουν ἑαυτῷ κινδυνεύοντ᾽ ἀμύνειν.
ἀλλ᾽ οὐδὲ πάλιν ἐκ στρατιᾶς τις δρᾶσαι
γενναῖον ἠδύνατο μαχητῇ πρέπον,
βοῶν, ἁμαξῶν, τειχομάχων ὀργάνων
ὡς ἀντίφραγμα τῆς ὁδοῦ προκειμένων.
καὶ κατὰ νώτου Περσικὴ φάλαγξ πάλιν
βελῶν νιφάδας ἀφιεῖσα μυρίων
παλινδρόμησιν χαλεπὴν ἔδρα πάνυ.

4440 εἶχε?

cum Caesare exercitus gressurus erat, veniens Myriocephalo. illuc Sultanus suas copias coniicit, (4425) more barbarico latens in insidiis, ut mox dolose Romanos invaderet. est autem locus undique praeruptus, angustus valde et prorsus impervius, Taenarus infernus, Charontis campus, (4430) vallis difficiles ducens in anfractus. illapso igitur in angustias exercitu, velites quidem et ordinum praefecti, queis praecedendi ceteris cura data, praetereuntes sine damno locum (4435) ad spatiosa tuti devenerunt. at imperator in extremo agmine, post iam exortos insidiis barbaros telaque in ipsum saxaque iacientes, utpote acclivi ex utroque latere, (4440) nec iter persequi facile poterat, nec propulsare a semet periculum. nec quisquam aliquid agere in exercitu milite dignum strenuumque poterat, curribus bobus machinisque bellicis (4445) aggeris instar viam impedientibus. a tergo autem Persicus exercitus nimborum instar iacula coniiciens arduum prorsus reddebat regres-

ἔπιπτε τοίνυν βοῦς ἅμα βοηλάτῃ,
ἱππεὺς σὺν ἵππῳ συναπέψυχον βίᾳ
ἐν Περσικῷ βλήματι θανατηφόρῳ,
καὶ πάντες ἐσφάττοντο κατὰ πληθύας
ὡς ἀγέλη τις θρεμμάτων φεῦ ἀλόγων,
καὶ πάντες ἐφθείροντο συγκεκλεισμένοι
ἐν δυσπορεύτῳ δυσβάτῳ τε χωρίῳ.
τῶν νεκριμαίων σωμάτων αἱ κοιλάδες
τέμπη τε καὶ σήραγγες ὑπῆρχον πλέαι.
προὔβαινον, οἴμοι, ῥύακες λύθρων ὅλαι
ἐξ ἀλόγων αἵματος, ἐκ βροτῶν ἅμα,
καὶ πάντα μεστὰ συμφορᾶς ἦν καὶ γόων.
καὶ ταῦτ᾽ ἐδρᾶτο κράτορος δεδορκότος
καὶ συμπαρόντος, μὴ σθένοντος δ᾽ ἀμύνειν,
ἐν χρῷ δὲ μᾶλλον κινδύνου πεφυκότος.
μόλις μετὰ τραύματα, τῷ θεοῦ σθένει,
ὅμως διαδρὰς τὰς λαβὰς τῶν βαρβάρων
θεοῦ συνάρσει καὶ κραταιᾷ δυνάμει,
σκιὰν ὑπελθὼν ὁ κρατάρχης ἀχράδος,
ἰσχὺν καμοῦσαν ἀνεκτᾶτο μετρίως,
πρὸς δ᾽ αὖ ἑαυτὸν ὡς ἐνῆν ἀναψύχων,
μὴ σώματος φύλακα, μὴ δορυφόρον
ἔχων συνεστῶτά γε τῷ τηνικάδε.
οὕτω δ᾽ ἔχοντα κατιδών τις ἱππέων
Ῥωμαϊκῆς φάλαγγος, ἀσήμου γένους,
τῆς συμφορᾶς ᾤκτειρεν αὐτὸν τῆς τότε·
ὅθεν προσελθὼν ἀσμένως στεφηφόρῳ

sum. cadebat ergo bos cum bubulco suo, (4450) cum equo eques exspirabat misere Persarum telis confixus mortiferis; atque turmatim caedebantur omnes tanquam brutarum grex beluarum, et circumclusi feriebantur cuncti (4455) imperviis in furcis et sine exitu. et plenae valles erant cadaveribus faucesque hiantes montium et cavernae. rivi cruoris decurrebant heu! mixto brutorum hominumque sanguine. (4460) cuncta erant plena miseriae et gemituum. atque haec fiebant Caesare spectante qui suis nullam ferre opem poterat. quin summo erat ipse in discrimine: nam post accepta vulnera, deo favente, (4465) vix barbarorum manibus elapsus, dei profecto auxilio et magna ope, piri silvestris umbram imperator subiit, fessas refecitque vires, solus, ut poterat semet refocillans, (4470) orbatus omni corporis custode, nullo cum armis milite praesente. sic solitarium conspicatus quidam exercitus Romani gregarius eques, acerbi casus misericordia tactus (4475) ad Caesarem ac-

διακονεῖν ᾕρεῖτο τὰ κατὰ σθένος,
καὶ τῇ κεφαλῇ κυνέην συνηρμόκει
τῆς ἐν κεφαλῇ παρακλίνασαν ἕδρας,
καὶ σύμμαχος δ' ἦν τῆς ἐνεστώσης τύχης.
τούτου βασιλεὺς εἰς χεῖρα λαβὼν δόρυ
Πέρσας ἐπ' αὐτὸν εἰσρέοντας ἀπλέτους
καὶ τόνδ' ἑλεῖν σπεύδοντας ἢ καὶ κτιννύναι
ἀπώσατο σφᾶς τῇ θεοῦ συμμαχίᾳ,
καὶ διαπείρει τῶν ἐπιόντων ἕνα,
ἄλλον τε πάλιν ἱππότης κτείνει ξίφει.
μετ' οὐ πολὺ δὲ τῶν ὁπλιτῶν Αὐσόνων
περὶ κρατοῦντα συναλισθέντων δέκα,
σὺν τοῖσδε τὴν ἔμπροσθεν ἤνυσε τρίβον,
τοῖς φθάσασι τάγμασι συμμῖξαι θέλων.
πρὶν ἢ δὲ ταῦτα συμπεσεῖν, ὑπ' ἀχράδα
ἑαυτὸν ἀνέψυχεν ὡς εἶχε κράτωρ·
Πέρσης δ' ἐπελθὼν εἷλκεν αὐτὸν ἡνίας,
ὁ δ' αὖ κεφαλῆς κατενεγκὼν καιρίαν
δορατίου τμήματι τοῦ μετὰ χέρας
τοῦτον θανατοῖ, καταλαβὼν εἰς χθόνα.
Ἔπασχε δὲ τάγματα χειρόνως λίαν,
ὅσα γε συγκέκλειστο τῇ δυσχωρίᾳ,
καὶ πλὴν ὀλίγων πάντα κακῶς ἐφθάρη·
εἰ γὰρ παρῆλθον καὶ φάραγγα τὴν μίαν,
ἀλλά γε λοιπὰς οὐκ ἐνῆν διεκδῦναι
ἀκινδύνως ἓξ τὰς ταφρώδεις κοιλάδας,

4494 τῷ V

cessit prompto animo, opemque ferre pro viribus coepit; atque illi in capite galeam composuit quae capitalia prohiberet vulnera, praesentisque socius fortunae aderat. (4480) huius correpta imperator lancea plurimos Persas contra se ruentes, ut vel captivum ducerent vel occiderent, reppulit omnes numinis auxilio; atque unum quidem ipse irruentem fixit, (4485) alium similiter eques ense occidit. paulo post circa Caesarem armati decem de nostro exercitu adstiterunt, cum quibus iter reliquum coepit prosequi, praeviis coniungi cupiens ordinibus. (4490) sed haec priusquam fierent, atque Caesar solus sub piro adhuc se reficeret, Perses accurrens hunc trahebat loro: sed imperator Persae caput ictu mortali vulneravit hastae fragmine, (4495) eumque exanimatum stravit humi.

Ergo miserrime tunc laboravit in illis furcis clausus exercitus, paucisque exceptis perierunt cuncti. nam etsi anfractum unum transierant, (4500) adhuc supererant ad evadendum omne periculum sex profundae

Περσῶν ἐφεστώτων γε ταῖς διεξόδοις.
πρὸς τοῖσδε καὶ πνεύσαντος ἀνέμου τότε
καὶ θῖνα βαθεῖάν γε παρακειμένην
ἐκ γῆς ψαμμώδους ἀνακυκῶντος βίᾳ
δεινῶς τ' ἀναφέροντος εἰς ὕψος μέγα,
καὶ νύκτα δρῶντος ἀτεχνῶς τὴν ἡμέραν,
Ῥωμαϊκαὶ φάλαγγες, ὡς δὲ βαρβάρων,
φύρδην ἀναμὶξ συμπλακεῖσαι πρὸς μάχην
ἐν νυκτομαχίᾳ καθὰ καὶ σκότει,
ἔκαινον ἀπέσφαττον ἀλλήλους ξίφει,
μηδὲν διακρίνοντες ἐξ ἀβλεψίας.
ἐπῆγε φίλος τὸ ξίφος κατὰ φίλου,
καὶ βάρβαρος δ' ἔσφαττε τὸν συμφυλέτην
ὡς ἀντίμαχον δυσμενῆ κακεργάτην,
ὥστ' ἀτεχνῶς φάραγγα πεπλῆσθαι τάχα,
ὥς τις βλέπων ἔφησε κατ' ἄλλον λόγον,
τῶν νεκριμαίων πτωμάτων καὶ σωμάτων
τῶν Ῥωμαϊκῶν ἀναμὶξ καὶ βαρβάρων,
καὶ θνησιμαίων παντοδαπῶν ἀλόγων,
ἵππων βοῶν ὄνων τε σὺν ἡμιόνοις,
τάφον τε κοινὸν τοῖς ὅλοις χρηματίσαι,
μᾶλλον πολυάνδριον, εἰ χρεὼν φάναι,
ἐκ γηγενῶν πάμμικτον ἀλόγων θ' ἅμα.
πεπτώκασι πλείους δὲ Ῥωμαίων μάχῃ,
καὶ τῶνδε πλείους τοῦ βασιλείου γένους.

4506 ἀναφέροντα V 4510 καθάπερ? 4517 sine dubio designat Ephraemius Nicetae Choniatae historiam 6 3, ubi haec ipsa partim verba leguntur. se autem interfuisse rebus gestis Manuelis Caesaris, ait ipse Nicetas in historiae prooemio. M.

valles, quarum Persae obsidebant exitus. praeterea validus spirabat ventus, qui circumiectum pulverem multum (4505) ex arenoso solo sustollens late spargebat cum molesto turbine, diemque noctis instar efficiebat. quare Romanus miles cum barbaro tumultuario conflictu mixtus (4510) tanquam in nocte pugnam conserebat. caedebant invicem et iugulabant, nullum discrimen patiente tempore. sic ergo amicus amicum feriebat, barbarus occidebat gentilem suum (4515) quasi sibi adversarium et maleficum. sic vallis indiscretim complebatur, ut quidam dicit oculatus testis, scriptor historiae, mortuis corporibus Romanorum pariter ac barbarorum (4520) cum interfectis variis animalibus, equis ac bobus, asinis, mulabus, quasi in communi conditis sepulcro. immo erat hominum coemeterium, si fas ita loqui, admixtis beluis. (4525) Romani sane perierunt plurimi, quos inter ingens regiae stirpis numerus.

Καὶ ταῦτα μὲν πέπρακτο τόνδε τὸν τρόπον·
ὁ δ᾽ αὐτοκράτωρ, ὡς ἔφην, ἠπειγμένος
ἴλαις συνελθεῖν ταῖς προηγησαμέναις,
Τούρκοις πορείας εἴργεται τῆς εἰς πρόσω,
οὐδὲν δὲ μεῖον καὶ κολωνοῖς πτωμάτων.
ὅμως διελθὼν δυσπόρους μόλις τόπους
καὶ τὸν παραρρέοντα χειμάρρου ῥόον,
καὶ στῖφος ἄλλο Ῥωμαϊκὸν ἁλίσας,
ὡς εἶχε, διήνυτε τὴν προκειμένην.
ὃν παριόντα βαρβαρική τις φάλαγξ,
ἵπποις ὁπλισμοῖς ἐκπρεπὴς Ἀρραβίοις,
ἰδοῦσ᾽ ἐπ᾽ αὐτὸν ἐμμανῶς πως συνέθει,
ὡς θήραμα σπεύδουσα τόνδ᾽ ἑλεῖν τάχα.
ὁ δ᾽ ἀρρενώσας τῶν συνόντων τὰς φρένας
ὁδοστάτας ἥττησε ῥᾷστα βαρβάρους.
κατὰ βραχὺ δὲ συμπροϊὼν καὶ βάδην,
νῦν μὲν νόμῳ μάχης τε καὶ μεθ᾽ αἱμάτων,
ἐνιαχοῦ δὲ καὶ μάχης πάλιν δίχα,
τρισάσμενος μέμικτο τοῖς ποθουμένοις,
οὐ μᾶλλον αὐτῶν δυσχεραίνουσι χάριν
ἤπερ δι᾽ αὐτὸν μὴ παρόντα ταῖς ἴλαις
ἀγωνιῶσι καὶ δεδοικόσι σφόδρα.
Μήπω δὲ τοῖς τάγμασι συμμίξας κράτωρ,
ἀλλ᾽ ἐν παραρρέοντι χειμάρρῳ πέλων,
πιεῖν ὕδωρ ᾔτησε, διψήσας μέγα·
καί τις ὕδωρ ἤνεγκεν αὐτῷ πρὸς πόσιν.
σπάσας δὲ τοῦδε καὶ περικλύσας στόμα

Atque haec talem habuerunt exitum. imperator autem dum conatur assequi legiones suas, ut dixi, praecedentes, (4530) a Turcis vetabatur ulterius progredi, nec acervatis minus cadaveribus. tamen difficiles eluctatus locos, nec non torrente superato fluvio, alio et adiuncto Romanorum globo, (4535) viam, ut poterat, absolvebat reliquam. quem transeuntem conspicata phalanx Arabum equitum, splendide ornatorum, ruit in ipsum violento cursu ut quasi praeda potiretur ilico. (4540) is vero hortatus animos suorum barbaricum manipulum vicit facile. paulatim autem lenteque progrediens, modo cruenta pugna decertans, modo etiam hoste liber, ad extremum (4545) magno cum gaudio ad suos pervenit, qui quidem nihil gravius dolebant, quam quod cum ipsis non adesset Caesar, summoque erant metu solliciti.

Antequam autem misceretur suis (4550) Manuel, rivos decurrentes nactus aqua levare depoposcit sitim; cumque ei quispiam aquam obtulisset, hac summis labris leviter gustata, statim ex ore reliquam proie-

τὸ λοιπὸν ἐκ στόματος ἐκχεῖ σὺν τάχει,
ὡς τοῦ ποθέντος μὴ κατωλισθηκότος
δι᾽ οἰσοφάγου πρὸς τὰ κάτω κοιλίας.
εἶτα ποτὸν γνοὺς συμπεφυρμένον λύθρῳ
ᾤμωξεν, εἰπὼν οὐ καλῶς γεγευκέναι
ὑδατοφύρτων Χριστιανῶν αἱμάτων.
καί τις παρεστὼς ἰταμὸς θρασὺς τότε,
τὴν γλῶτταν ἀκόλαστος, ἀναιδής, λάλος,
κατὰ Σεμεεὶ λοιδορεῖν εἰθισμένος,
Χριστῷ κυρίου λοιδορούμενος λέγει
"οὐκ ἄρτι πρώτως ἀλλὰ πολλάκις, ἄναξ,
πλήρη κρατῆρα Χριστιανῶν αἱμάτων,
ὑπήκοον πᾶν καλαμώμενος, πίνεις·
ἢ καὶ πεπείρους καθὰ συνθλίβων βότρυς,
εἰσπράξεσι φόρων τε καὶ τελῶν βάρει
αἵματος αὐτῶν ἐμφορῇ κατακόρως."
ὁ δ᾽ ἠμέρως ἤνεγκε τὴν παροινίαν,
ἀνεξικάκως τονθορύσας μηδ᾽ ὅλως,
μηδ᾽ ὑπ᾽ ὀδόντα γρύξας ὁ πραῢς ἄναξ.
καὶ πάλιν αὐτοῦ καθορῶντος θυλάκους
τοὺς τοῦ χρυσοῦ φύλακας ἐκρηγνυμένους
ἐκ θρασύτητος καὶ βίας τῆς βαρβάρων,
καὶ τοὺς ἑαυτοῦ ῥωννύοντος ὡς δέον
ἐπεισπεσεῖν τε σφίσι καὶ κτᾶσθαι τάδε
ἄμεινον αὐτῶν συμφερώτερον πάνυ,
αὖθις ἐπιστὰς ὁ θρασὺς μωμοσκόπος
ἐλοιδορεῖτο τῷ κρατάρχῃ καὶ πάλιν,

cit, (4555) ceu si potus ille non descenderet ad imum stomachum renitente oesophago. mox ubi agnovit tinctam aquam tabo, ingemuit, sibi haud placuisse dicens aquam Christiano sanguine foedatam. (4560) tum quidem praesens importunus audax impudens blatero et lingua intemperans, Semei novellus, conviciari solitus, sic Christo domini coepit maledicere. "haud nunc primum, sed antea saepe, (4565) plenum cratera Christianorum sanguine bibisti, subditos divexans populos maturus veluti racemus comprimitur, per tributorum gravium exactiones potans illorum abundanter sanguinem." (4570) tulit patienter Caesar hanc vesaniam, nec contra quidem quicquam mussitavit mitis monarcha, nec infrenduit dentibus. iterum Caesar cum videret sacculos publici nummi custodes diripi (4575) a persequentium barbarorum impetu, atque ad tutelam hortaretur suos, ut aliena pulsa vi servarent futuram ipsis utilem pecuniam, denuo adstans ille audax nebulo (4580) novo convicio

ἄνακτι Δαβὶδ Σεμεεὶ καθὰ πάλαι·
"ἑκὼν πρὶν ἐχρῆν ταῦτα Ῥωμαίοις νέμειν,
οὔκουν γε νυνί, δυσχερὴς κτῆσις ὅτε.
εἰ δ' αὐτὸς ἀνὴρ τυγχάνεις ὢν ἰσχύος,
ἡρπαγμέν' ἀνάσωσον Αὔσοσι πάλιν."
ὁ δ' αὖ προσηνῶς κερτόμου φέρει λόγους
ὡς κωφὸς αὐτόχρημα, μὴ κλύων ὅλως.
Ἐπεὶ δὲ παύει νὺξ ἐπελθοῦσα μάχην,
καθῆστο πᾶς ἔμφροντις, ἀσχάλλων μέγα,
ἐν νῷ προαθρῶν τὸν προκείμενον μόρον.
ὁ δ' αὐτοκράτωρ τῆς φρενὸς καὶ τοῦ κράτους
ἀναξίαν ἔφρασε βουλὴν ἐν μέσῳ,
οἷς εἶχε θαρρεῖν ἀνδράσι βουληφόροις.
ἡ δ' ἦν λαθραία δυσκλεὴς φυγὴ νύκτωρ,
ψυχῶν δὲ λοιπῶν ἐπαγωγὴ πρὸς μόρον
πρός αἰχμαλωσίαν τε δυστυχεστάτην.
ἣν πᾶς διωλύγιον ᾤμωξε κλύων,
καὶ βαρέως ἤνεγκε τὰ δεδογμένα,
παραφρονοῦντος, οὐχ ὑγιοῦς δεσπότου
τὸ σκέμμα κρίνας καὶ κατακρίνας πλέον.
τούτοις μαλαχθεὶς Μανουὴλ τὴν καρδίαν,
καὶ σχὼν λογισμὸν ποιμένος καὶ προστάτου,
πάντ' ὦπτο καὶ δρῶν καὶ λέγων πρὸς συμφέρον.
θεὸς δ' ὁ ποιῶν πάντα καὶ μετατρέπων,
ὁ μαστιγῶν τε καὶ θεραπεύων πάλιν,
ὁ θανατῶν τε καὶ πνοὴν αὖθις νέμων,
ὁ ῥάβδον ἀφεὶς ἀσεβῶν οὐκ εἰς τέλος

regem verberabat, velut ille Simei quondam Davidem. "sponte oportebat hunc nobis antea nummum dare, non nunc aegre recipiendum. quodsi tu validus vir es et frugi, (4585) raptam recupera nobis pecuniam." Caesar tranquille convicianteim pertulit, praeteriitque verba surdis auribus.

Sed postquam pugnam nox diremit, sedebat unusquisque valde maerens, (4590) mente praesentem fati vim revolvens. tum Caesar animo et dignitate sua indignam prorsus protulit sententiam inter adstantes viros consiliarios: nempe nocturnae auctor erat fugae, (4595) fato permissa reliqua multitudine miserrimaeque captivitati. quam quisque audiens magnopere ingemuit, aegroque tulit animo sententiam, idque consilium veluti insanientis (4600) Caesaris iudicans ultro reprobavit. ergo iam mentem Manuel immutans seque pastorem atque ducem praebens exin saluti consulebat publicae. sed deus auctor mutatorque rerum, (4605) plagas imponens vicissimque curans, mortificans et vitam rursus

κλήρῳ δικαίων καὶ λάχει χριστωνύμων,
ὃ πρὶν λεόντων ἡμερώσας τὸ θράσος
ἵν' ἀσινὴς γένοιτο δίκαιος πάλαι,
κἀκεῖνος οὗτος ἡμεροῖ τοῦ βαρβάρου
τὴν θηριώδη καὶ φονῶσαν καρδίαν.
πρεσβείαν οὐκοῦν ἐκπεπομφὼς σουλτάνος
σπονδὰς ἀπαιτεῖ καθαρὰς καὶ φιλίαν.
καὶ σπένδεται δὴ βασιλεὺς τῷ σουλτάνῳ·
εἶτ' ἀπαναστὰς τῶν στυγητῶν χωρίων,
δι' ἧς προῆκεν ἀσμένως ὑποστρέφων,
οἰκτρὸν βλέπει θέαμα, μεστὸν δακρύων,
καὶ συμφορὰν οἴκτιστον, ἀξίαν γόων,
τραγῳδίαν τ' ἄρρητον. ὤμοι τοῦ πάθους,
Ἱερεμίου τῆς φιλοίκτου καρδίας
τῆδ' ἂν ἀποχρήσοντος εἰς θρηνῳδίαν,
ὃς ἐξισοῦν κάτοιδε πάθεσι γόους.
ὡρῶντο γὰρ φάραγγες ἄλση κοιλάδες
πεδία τέμπη καὶ νάπαι καὶ χαράδραι
τῶν νεκριμαίων σωμάτων πεπλησμέναι,
ὡς εἰς κολωνὸν ὑπερανῳκισμέναι.
καὶ κειμένων πᾶς ἦν σεσυρμένος δέρας
τὸ τῆς κορυφῆς καὶ φαλοὺς τετμημένος,
ὡς ἦν ἀκούειν, βαρβάροις πεπραγμένον,
ὡς ἂν τὸ νικῶν ἀμφίδοξον τυγχάνῃ,
ἑκατέρωθεν μυρίων πεπτωκότων.
Ὅμως βασιλεὺς πεφθακὼς Χώνας πόλιν

tribuens; qui virgam impii non sinit perpetuam contra iustorum sortem Christianorum; olim leonum qui inhibuit impetum, (4610) ut iustus ille maneret incolumis; idem nunc barbari ferinam regis et sanguinariam mitigavit indolem. itaque missis Sultanus legatis sincerum foedus amicitiae obtulit. (4615) sic inter Caesarem pax Sultanumque convenit. inde digressus, per infaustos locos quibus processerat, nunc lubens revertitur Manuel, et cernit lugubre spectaculum, dignam infinitis stragem lacrimis, (4620) malorum ineffabilem tragoediam, cui gemebundum Hieremiae pectus pro merito deflendae opus foret, atque exaequando lacrimis tanto malo. nam videre erat foveas, lucos, valles, (4625) campos, saltus, voragines, fauces montium, interfectis corporibus oppletas, quorum acervi passim consurgebant. iacentium autem cutis detracta erat capitibus, et virilia quoque exsecta; (4630) barbarorum opus, ne circumcisus victor a victo incircumciso iam differret, quoniam utrinque innumeri ceciderant.

Denique Caesar Chonas urbem tenuit, ibique requievit cum omni

ἐκεῖσ' ἐνηυλίσατο σὺν πάσαις ἴλαις,
αὐτόν τε στρατὸν ἀναπαύων ἐκ πόνων.
εἶτ' εἰς Φιλαδέλφειαν ἧκε τὴν πόλιν,
κἀκεῖ διατέτριφε συχνὰς ἡμέρας·
ἀφ' οὗ πεπομφὼς ἀγγέλους Βυζαντίοις
τὰ συμβεβηκότα γε πάντα μηνύει
καί γ' ἐκτραγῳδεῖ συμφορᾶς ὄγκον λόγῳ.
ἐπεὶ δὲ Δορύλαιον οὐ κατεσκάφη,
καταστροφῆς γε κειμένης ἐν ὁρκίοις,
πρεσβεύεται δὴ πρὸς κρατοῦντα σουλτάνος,
καὶ τῶν πρὸς αὐτὸν ἀνέμνησεν ὁρκίων·
ὁ δ' οὐ προσίσχειν τοῖς κατ' ἀνάγκην φράσας
πρέσβεις ἀπράκτους ἐξαποστέλλει πάλιν.
μανεὶς δ' ὁ Πέρσης, στρατιὰν ἀποκρίνας
πρὸς εἴκοσι τέτταρας ἀριθμουμένην
ἐς χιλιάδας, εὐσθενῆ, ῥωμαλέαν,
καὶ ταγματάρχην τῇδ' ἐπιστήσας ἕνα
τῶν ὑφ' ἑαυτὸν ἐκπρεπῶν μεγιστάνων,
κατ' ἀστέων πέπομφε τῆς Ῥωμαΐδος
τῶν πρὸς Μαιάνδρῳ τῷ ποταμῷ κειμένων·
ὃς καὶ παρεστήσατο Τράλλεις τὴν πόλιν
Λοῦμά τ' Ἀντιόχειαν τὴν πρὸς Φρυγίᾳ
καὶ Πεντάχειρα σὺν ἐρύμασιν ὅσοις,
κώμας σκυλεύσας καὶ παραθαλαττίους.
ἀλλὰ βασιλεὺς ἐκπεπομφὼς δυνάμεις
ἴλας τε συχνὰς καὶ καλοὺς στρατηγέτας
ἠμύνατ' ἐχθροὺς ἀνελὼν κατὰ κράτος,

exercitu, (4635) semet et militem relaxans laboribus. Philadelphiam postea progressus ibi permultis perstitit diebus. illinc praemissis nuntiis Byzantium omnem rei gestae ordinem exponit, (4640) et dirum casum verbis non imminuit. tum quia Dorylaeum non diruerat, cuius eversio rata erat foedere, misit legatos Sultanus ad Caesarem, qui de iurata admonerent fide. (4645) Caesar coactis non standum dicens legatos re infecta ad eum remisit. Persa furens, iterum collecto exercitu, viginti quattuor armatorum milibus ex validiore delectorum numero, (4650) praeponens ipsis bello gerendo ducem de suis nobilibus satrapis unum, mittit in nostrae dicionis urbes quae ad Maeandrum flumen sunt positae. is dux Tralles urbem sibi vindicat, (4655) Luma et Antiochiam in Phrygia sitam, item Pentachira cum castellis aliquot, atque maritimos populatur pagos. sed Caesar missis suis exercitibus, multis legionibus cum egregiis ducibus, (4660) hostes praevalida manu cecidit;

ὡς ἐκ τοσούτων ἰσχῦσαι βραχυτάτους
τὸν ἐκ ξίφους θάνατον ἐκπεφευγέναι.
πολλὴν δὲ τουτὶ τὴν ἀνάρρωσιν φέρει
τοῖς Αὐσόνων πράγμασι τοὖργον τῷ τότε,
φρόνημα Περσῶν καταβαλὸν καὶ θράσος.
Τούτου κρατοῦντος καὶ πόλις ἡ Κλαυδίου
ἔπασχε κακῶς βαρβάροις τοῖς ἐξ Ἄγαρ·
ὃ γνοὺς Μανουὴλ εὐσταλῶς μάλ᾽ αὐτίκα,
ὡς εἶχεν, ἐξώρμησεν εὐθὺ φρουρίου,
ἀνακτορικὴν οὐ κλίνην, οὐ στοιβάδα,
ἀλλ᾽ οὐδὲ βασίλειον αὐλαίαν φέρων
ἐν τῷ προφθάσαι τειχομαχοῦντος θέλειν.
οὐκοῦν ἰαύων ἀΰπνους καὶ τὰς νύκτας
ἐχρῆτο φωτὶ πρὸς πορείαν λαμπάδων,
διὰ Βιθυνῶν δυστιβήτων χωρίων
σφοδρῶς ἐλαύνων τὸν προκείμενον δρόμον.
ὅπου δ᾽ ἐχρῆν γε διαναπαῦσαι δέμας,
ἦν καθέδρα τοὔδαφος αὐτῷ καὶ κλίσις,
πάλιν φορυτὸς ὑπεβέβλητο κλίνη.
καταρραγέντος ὑετοῦ ποτ᾽ οὖν λάβρου
ἐν ᾧπερ ὑπνοῦν ηὐτρέπιστο χωρίῳ,
ταῖς σταγόσιν ἄνωθεν ὠχλεῖτο σφόδρα
καὶ κατιόντι ῥεύματι κάτω κλίνης.
ὁ δ᾽ ὑπερήσθη συμβεβηκότι πλέον
ἢ βασιλικῶν στρωμάτων οἱ κειμένων
ἀνακλιθεὶς ὕπνωττεν ἔξω φροντίδων.
ὅμως πεφθακὼς πλησίον τῆς Κλαυδίου

quorum ex tanto numero paucissimi necis cruentae fatum vitarunt; multamque attulit recreationem rebus Romanis facinus praesens, (4665) quoniam Persarum fregit audaciam.

Sed et Claudiopolis sub idem tempus ab Agarenis tentata est barbaris. cognita re Manuel expedite admodum atque e vestigio itineri se commisit, (4670) sine regali lecto, sine culcita, ne proprium quidem ferens tentorium, dum obsessores satagit praevertere. itaque noctes agebat insomnes, et viae duces adhibebat lampadas (4675) per Bithynorum asperas regiones, valde festinans destinatum iter. sicubi corpori quies tribuenda erat, scamnum praestabat ad residendum tellus, stramineumque supponebat lectum. (4680) ergo quandoque ruente pluvia, sicubi rex decreverat dormire, molestae desuper perluebant guttae et subter rivus aquae decurrebat. attamen Caesar magis his gaudebat, (4685) quam si regali stromate supinus curisque liber somnis indulgeret. tandem progressus prope Claudiopolim barbares Persas coniecit in fu-

φυγάδας εἰργάσατο Πέρσας βαρβάρους,
ἀστυπολίταις καὶ προσοίκοις δ' αὖ πάλιν
θάρσος παρέσχε καὶ φάος θυμηδίας.
Οὗτος μονὴν ἤγειρεν ἐν Κατασκέπῃ,
κατ' αὐτὸ Πόντου κειμένην που τὸ στόμα,
τῷ τῶν ἀΰλων στρατιῶν ἀρχηγέτῃ
πιστῶν δ' ὁδηγῷ, Μιχαὴλ πρωταγγέλῳ,
καθ' ἣν τι κτησείδιον οὐδὲν οὐδ' ὅλως
οὔτε πλέθρα γῆς οὐδ' ἀγρούς, οὐ χωρία.
μονοτρόπων δὲ συναγαγὼν προκρίτους
ἐν τῇδε προυνόησεν αὐτοὺς ἀνύτειν
ἀπράγμονά τε καὶ φιλήσυχον βίον,
τὰς σφῶν σιτήσεις καὶ διαίτας δι' ἔτους
κοινοῦ ταμείου θεσπίσας προσλαμβάνειν.
Παρὰ δὲ Ῥωμαίοις γε θεσμοῦ κειμένου,
κρατοῦντος οἶμαι τοῦδε κἀπὶ βαρβάροις,
τοῖς στρατιώταις τὰς δόσεις ὀψωνίων
ἐκ τοῦ ταμείου παρέχεσθαι δι' ἔτους,
καὶ τούσδ' ἀκριβοῦν εἰ πεπείρανται μάχης,
εἰ τόξον εὖ οἴδασιν ἐντείνειν μάλα
δόρυ τε κινεῖν καὶ κραδαίνειν ἐντέχνως,
εἰ σώματος φέρουσι ῥώμην καὶ σθένος
ψυχῆς τε παράστημα πρὸς τοὺς κινδύνους,
κἄτ' ἐγγράφεσθαι σὺν λόγῳ καταλόγοις,
οὗτος σιτηρέσια τῶν στρατευμάτων
κατέσχε λαβὼν ὡς λίαν ἀσυμφόρως,

4695 corruptus locus aut hiulcus.

gam, simulque civibus et agri incolis (4690) fiduciam attulit et lumen laetitiae.

Hic imperator struxit in Catascepe ad ipsa Ponti ostia monasterium duci fidelium Michaeli archangelo atque militiae spiritalis principi: (4695) nil tamen prorsus possidendum tribuit, non agri praedia, non villarum reditus; sed monachorum selectiores congregans, illic eos voluit in coenobio degere curis expertem et quietam vitam. (4700) annui porro victus subsidia publico iussit ex aerario accipere.

Iam cum Romanis aeque barbarisque usque ad hunc Caesarem firma lex fuisset ut cibariorum demensa militibus (4705) exhiberentur ex aerario annua, atque horum peritia exploraretur, num arcum apte in primis scirent tendere, movere hastam et vibrare ex arte; num corpus firmum validumque haberent, (4710) nec non audacem ad pericula animum, atque ita in albo scite scriberentur; hic imperator militum cibaria sustulit, lucro rei publicae damnoso; hisque incolarum pensiones

ἐπινοεῖ δὲ τῶν παροίκων τὰς δόσεις,
καὶ ταῖσδε δίψος σφῶν θεραπεύειν θέλει.
ἐντεῦθεν οὐκοῦν οὐκ ἐπιλέγδην ἅπας
τάγμασι κατείλεκτο τῶν στρατευμάτων,
ἀλλὰ θελήσας ἐγκριθεὶς ἦν αὐτίκα.
ταῦτ' ἄρ' ἀνατέτραπτο τὰ τῶν Αὐσόνων,
καὶ χειρόνως πάσχουσιν, ὡς ἔστι βλέπειν.
Ἔμφυτον ἄναξ εὐτυχῶν χάριν λόγων
εὐγλωττίας κλέος τε καὶ φρενῶν βάθος,
οὐ λαμπρῶς ἦν συντιθεὶς γράφων μόνον
ἐπιστολῶν χάριτας οἷς δέδοκτό οἱ,
ἀλλ' ὠδίνων γε καὶ κατηχητηρίους
ἢ παῖδας ἀπέτικτεν εὐγενεῖς λόγους,
οὓς φασι σελέντια, συνετοὺς ἄγαν.
ὁδῷ προϊὼν ἡμμένος καὶ δογμάτων
περὶ θεοῦ λέγειν τι καὶ κλύειν θέλει.
νοῦν δυσεφίκτοις δόγμασι δ' ἐφιστάνων
πεύσεις προσῆγε καὶ λύσεις τούτων πέρι
ὡς ἂν μυηθεὶς πρὸς Χριστοῦ τούτων πέρι.
ζητήσεως οὖν τηνικαῦτα συμβάσης
διεξιόντων γραφικοῦ ῥητοῦ πέρι
ὡς προσδέχεσθαι προσφέρειν τε συνάμα
σάρκα λαβόντα τὸν θεόν τε καὶ λόγον,
καὶ τῶν τότ' ἀνδρῶν ἐν λόγοις τεθραμμένων
ἀποκριθέντων εἰς ἐναντία μέρη,

4714 τῶν] τὰς V 4723 οὐκουν? 4733 ex hoc versu usque ad v. 4751 exstat locus apud Allatium contra Creyght. p. 526. M.

substituit, (4715) quibus ingluviem militum satiaret. hinc nemo rite iam miles conscriptus adlegebatur in copiarum ordines, sed voluntarius quisque fiebat miles; et sic Romana pessum res est data, (4720) et quam videmus patimur ruinam.

Caesar doctrinis a pueritia imbutus, verborum gloria, sensuum altitudine, non solum splendido stilo componebat epistolarum pro libito gratiam, (4725) sed catecheticos etiam sermones ceu genuinam parturiebat sobolem, vulgo silentia dicta, cate admodum. hinc sumpta audacia etiam de dogmatibus divinis voluit dicere et audire; (4730) mentemque abstrusis inserens mysteriis horum quaestiones ambiebat solvere tanquam edoctus esset a Christo interpres. ergo tunc orta quadam controversia super scripturae loco disputantium, (4735) in quo et accipere simul et offerre dicitur incarnatum verbum dei, cum eius temporis eruditi homines discordes ferrent hac de re sententias, verba fiebant ex utraque

τῶν πρὶν δ᾽ ἀνάκτων καθικνούμενον μάλα
ὡς λοιδορούντων ἀμαθῶς θεῷ λόγῳ.
εἰς ἀκρόασιν ἐκδίδωσι τὸν τόμον·
ὁ πατριάρχης ἀντέβη θαρσαλέως,
καὶ πᾶς συνιὼν συνομαρτεῖ ποιμένι.
καὶ μᾶλλον ὁ πρόεδρος Θεσσαλονίκης,
περιβόητος ἀρετήν τε καὶ λόγον,
τῶν ποιμεναρχῶν Εὐστάθιος τὸ κλέος,
ζήλῳ θεϊκῷ καταφλεχθεὶς καρδίαν
ἤλεγξε δόγμα καινοφανὲς καὶ νόθον,
"εἴην ἂν ἀνάξιος" εἰπὼν "παντάπαν
τῆς ποιμεναρχῶν καὶ στολῆς καὶ τοῦ θρόνου,
ἠλίθιος δὲ καὶ νομιζοίμην πάλιν,
εἰ παιδεραστὴν καὶ καμηλώδη πλάνον
μύστην τε πάσης πράξεως βδελυκτέας
καὶ μυσταγωγὸν ἀσεβῶν διδαγμάτων,
ὁλόσφυρόν τι καὶ πεπλασμένον τέρας
ψιλῆς ἐπινοίας γε καὶ στυγητέας,
θεὸν καλοίην ἀτρεκῆ, κτίστην ὅλων."
ὁ δ᾽ ὡς πεπονθὼς ἐσχάτην παροινίαν
ὀνείδεσιν ἔπλυνε τοὺς ἀρχιθύτας,
κόσμου τὰ μωρὰ τούσδε καλῶν ἀλόγως·
κἀπὶ μεγάλης δικάσασθαι συνόδου
πρὸς τούσδ᾽ ἀπειλῶν ἐμμανῶς ἐκεκράγει,
πάπα παρόντος, τῶν προκειμένων χάριν.
ὅμως θυμοῦ λήξαντος ὁ πραῢς ἄναξ,
σπουδῇ προέδρου τῆσδε τῆς Κωνσταντίνου,

Mohametis faventem fidei, ac superiores castigantem Caesares tanquam inscite maledixissent deo; (4785) atque hunc libellum edidit legendum. sed patriarcha restitit audacter, et cum pastore conspirarunt omnes; Thessalonicae praesul inter primos, vir celebratus virtute ac literis, (4790) atque pastorum gloria, Eustathius, zelo divino viscera perustus, novum ac spurium improbavit dogma, dicens "enimvero forem ego indignus episcopali stola atque solio, (4795) prorsusque insanus merito aestimarer, si a paederasta vafro mulione, magistro omnis actus exsecrandi et doctrinarum scelestarum mysta, qui monstrum quoddam finxit holosphyron (4800) vili mentis partu et detestando, deum dicerem omnium creatorem." at Caesar oestro percitus insano probrosis verbis obruit episcopos, mundi quisquilias stolide appellans; (4805) seque oecumenica minabatur synodo disceptaturum, furiose inclamans, papae interposito de his iudicio. mox ira emissa mansuetus Caesar praesulis

τῷ Θετταλίας ἀρχιθύτῃ συνέβη,
ἐνδοὺς τά οἱ δόξαντα φάναι προφρόνως.
τέλος δ' ἐπειπὼν καὶ βασιλεὺς τοιάδε,
ὡς δεῖ σοφόν τε συνετὸν πεφυκότα
μηδὲν παρακαίρια λαλεῖν θρασέως
μηδὲ προβάλλειν ῥήματ' αἰσχρὰ καθάπαξ,
τοῦ μηνιᾶν ἔπαυσε πρὸς τὸν ποιμένα.
οὕτω μὲν ἐξήνυστο τάδ' ὡς ἂν ἔφην·
τὰ δόγματα δ' ὥριστο τῇδε συνόδῳ
ὡς τῶν βιβλίων ἀπαλειφῇ παντάπαν
"ἀνάθεμ' εἴη τῷ θεῷ τοῦ Μωάμεθ,"
ἀντεγγραφῇ δ' ἀνάθεμα τῷ Μωάμεθ
καὶ τῇ διδαχῇ τοῦδε καὶ πάσῃ πλάνῃ.
καὶ τοῦτο κυρώσαντες οἱ τῆς συνόδου
τῶν συνόδων λήγουσι καὶ τῶν συλλόγων.
Περιπεσὼν δὲ βασιλεὺς δεινῇ νόσῳ
καὶ γνοὺς ἑαυτὸν πλησιάζοντα μόρῳ,
σκῆπτρα παριδὼν καὶ τὰ λαμπρὰ τοῦ βίου,
ἐλθών τε κακῶν εἰς συναίσθησιν ὅλων,
τὸ τῶν μοναχῶν ἀμφιέννυται ῥάκος·
εἶτ' ἀπολείπει τὸν βίον καὶ τὸ κράτος,
ὀκτὼ κατάρξας καὶ τριάκοντα χρόνους,
ταφεὶς πατρῴᾳ πρὸς μονῇ σεβασμίᾳ,
κλῆσιν φερούσῃ παντοκράτορος λόγου,
ἧσπερ δομήτωρ βασιλεὺς Ἰωάννης,
γυναικὶ λιπὼν σὺν ἀώρῳ τεκνίῳ
κραταρχίαν τε καὶ διοίκησιν ὅλων.

opera Byzantinae urbis (4810) cum Thessalo pastore pacem fecit, illi concedens liberam sententiam. postremo id quoque dixit imperator, frugi et prudentem virum non decere aspere quicquam inhonestumque loqui, (4815) nec turpia verba prorsus effutire: atque in pastorem furere desivit. hic fuit dicti exitus negotii. tamen in synodo definitum fuit ut e libellis prorsus delerentur (4820) verba "sit anathema Mohametis deo," sed scriberetur "Mohameti anathema eiusque magisterio et omni errori." atque hoc perscripto decreto patres fecerunt coetuum synodique finem.

(4825) Postea Caesar gravi morbo implicitur, seque iam morti proximum cognoscens, sceptrum contemnens splendoremque mundi praeteritaeque vitae iam paenitens pauperem induit monachi tuniculam; (4830) moxque cum sceptro vitam deseruit post annos regni octo et triginta, sepultus sacro patris monasterio, omnipotente cui nomen a verbo, Caesare auctore aedificii Ioanne. (4835) reliquit autem Manuel imperium uxori et aevi teneri filiolo.

Ἀνδρόνικος ὁ Κομνηνὸς σὺν Ἀλεξίῳ τῷ υἱῷ Μανουὴλ ἔτος α' καὶ μόνος ἔτη β'.

Ἐπιβεβηκότος δὲ τῆς κραταρχίας
παιδὸς Μανουὴλ σὺν τεκούσῃ φιλτάτῃ,
ἡλικίαν ἄγοντος ἁπαλὴν ἔτι,
ἀκοσμίας πέπληστο Ῥωμαίων πράγη
καὶ πλημμελῶς ἔπασχε καὶ σφόδρ' ἀτάκτως,
καὶ χεῖρον ἤπερ Φαέθων παῖς ἡλίου,
ὅτ' ἦν ἐπιβὰς χρυσοκολλήτου δίφρου,
ὡς μῦθος αἱρεῖ, καὶ τὸ πᾶν ἐφθαρκότος
ἁπαλότητι καὶ πλέον γ' ἀπειρίᾳ.
οὗτος γὰρ Ἀλέξιος ἁπαλὸς κράτωρ,
κυνηγεσίοις προστετηκὼς ἐκτόπως
ἱππηλασίαις καὶ μίμοις καὶ παιγνίοις,
κοινῶν ὀλίγα φροντίδων γε προυνόει.
μήτηρ δὲ πάλιν καὶ βασιλὶς Μαρία,
φροντίδα κοινῶν ἀναθεῖσα πραγμάτων
πρωτοσεβαστῷ πρωτοβεστιαρίῳ,
ἄφροντις ἐξήνυεν αὐτὴ τὸν βίον.
τοίνυν ἀπεπνίγοντο τοῖς τελουμένοις
οἱ τῆς γερουσίας τε καὶ τῶν ἐν τέλει,
πρωτοσεβαστὸν ὑφορώμενοι λίαν
ὡς ἀτεχνῶς τύραννον ἐκ τῶν πραγμάτων.
Κομνηνὸς δ' Ἀνδρόνικος, οἰκήσεις ἔχων
καὶ διατριβὰς κατὰ χῶρον Οἰναίου,
ἐπεὶ πύθοιτο τοῦ κρατοῦντος τὸν μόρον,
ἐκεῖθεν ἤει πρὸς πόλιν Κωνσταντίνου,

Andronicus Comnenus cum Alexio Manuelis filio an. 1. et solus an. 2.

Cum Manuelis filius ad imperium cum sua dilecta matre pervenisset, teneram adhuc exigens aetatem, (4840) Romana res susque deque perturbata pessime habebat valdeque incomposite, magis quam cum Phaëthon solis filius aureum regens, veluti est in fabulis, currum, mundana cuncta exurebat (4845) ob puerilem suam imperitiam. Alexius hic tener imperator, assiduis vacans perdite venatibus, equitationi, mimis, et aliis ludicris, tenuem rei publicae curam gerebat. (4850) Maria item genitrix regina, negotiorum commisso regimine protosebasto protovestiario, expertem curis vitam agitabat. suffocabantur interim tributis (4855) cuncti optimates ac senatores; atque suspectam magnopere habebant protosebastum veluti tyrannum. Comnenus autem Andronicus, habitans longa iam mora in Oenaeo oppido, (4860) postquam rescivit de monarchae obitu, illinc Byzantium coepit accedere, omnes decipiens fallensque sermonibus

πάντας ἀπατῶν καὶ φενακίζων λόγοις
οἷς ἐντύχοι γ' ἄν, τοῖς δ' ἀποῦσι καὶ γράφων,
ὑπὲρ κρατοῦντος τὴν ἔλευσιν τιθέναι
καὶ τοῦ φυγεῖν κίνδυνον ἕρποντα θέλειν
ἄνακτι τῷδε τοῦδε τῇ συμμαχίᾳ,
καὶ τοῦ φυλάξαι βιβλίον τῶν ὁρκίων,
ὃ πρὸς βασιλεῖς ἦν ὀμωμοκὼς πάλαι,
ὅτε προσῆλθεν ἄνακτ' ἐκ τῆς Χαλδίας.
τοῦτον γὰρ Ἀνδρόνικον ὄντα φυγάδα
ἐθνῶν τε πολλῶν διαμείψαντα τόπους,
παρὰ δ' Ἀλτούχῳ τῷ κρατοῦντι Χαλδίας
τέλος καταλύσαντα καὶ πεπαυμένον
ἄλης τε πικρᾶς καὶ μακρῶν περιδρομῶν,
μετακαλεῖται Μανουὴλ αὐτοκράτωρ
καὶ δεξιοῦται δωρεαῖς φιλοφρόνως,
καὶ πρὸς πόλιν Οἴναιον στέλλει διάγειν,
ὅρκους πρὸς αὐτοῦ πρίν γε προσδεδεγμένος
ὀρθῆς πρὸς αὐτὸν ἀγάπης καὶ φιλίας.
ἔπειτ' ἀπῆρεν, ὡς ἔφην, ἐξ Οἰναίου
Κομνηνὸς Ἀνδρόνικος, Σίσυφος τρόπους,
χώρας δ' ἐπιστὰς τοῖς ὅροις Παφλαγόνων
πολλοὺς ἐπεσπάσατο πρὸς συμμαχίαν
καὶ συνερίθους τῆς ἑαυτοῦ κακίας.
μεθ' ὧν ἐπιὼν πάντα κυκῶν ἐστρόβει,
καὶ μᾶλλον ᾧπερ προυτίθει δελητίῳ,
ὡς ὑπὲρ αὐτοῦ τοῦ νέου βασιλέως
ἅπαντα καὶ δρᾶν μηχανῷτο καὶ λέγειν.

4882 δ' om V

praesentes verbis, literis longinquos, seque pro Caesaris salute adesse, (4865) atque ut periculum latens effugeret novus monarcha per suum auxilium; denique ut fidem tueretur datam regiae domui, sacramento adhibito, cum e Chaldaea redux ad aulam venit. (4870) hunc Andronicum enim, qui exsul fuerat multasque gentium sedes permutaverat, atque apud Altuchum Chaldaeae principem postremo versabatur, ibique demum finem molesti erroris cursuumque fecerat, (4875) Manuel imperator revocavit, donisque exceptum perhumaniter in Oenaeo urbe hospitari iussit, iuratum tamen antea promissum exigens fore in officio ac fide permansurum. (4880) Oenaeo discessit posthinc, ut dixi, Comnenus Andronicus Sisyphii moris, atque Paphlagonum occupatis locis multorum sibi suppetias adiunxit suaeque improbitatis socios fecit. (4885) quibus stipatus cuncta perturbabat, illa praesertim abutens fraude, quod se pro novi Caesaris salute cuncta fingebat agere atque dicere. sane protose-

πρωτοσεβαστὸς δ' ἦν πάλιν μισητέος
καὶ πᾶσιν ἀπόστοργος ἐκ δυσπραξίας,
ὡς τῶν καθ' αὐτὸν ὑπερόπτης τυγχάνων
καὶ βασιλείας ἀνέχων τὰς φροντίδας·
οὐδὲν γὰρ ὑπῆν τῆς ὅλης κραταρχίας
ὃ μὴ διεξήνυστο τοῦδε τῷ κράτει.
τῷ τοι πρὸς Ἀνδρόνικον ἅπασα πόλις
ἐλπίδας ἀνέτεινε τῆς σωτηρίας,
καὶ τόνδ' ἐκάλει τῆς τυραννίδος λύτην,
καὶ παρεκάλει γράμμασι λαθριδίοις
τὴν εἰς βασιλεύουσαν εἴσοδον πόλιν
καταταχῆσαι μηδένα δεδοικότα,
ἀλλ' ὑπτίαις, ὅ φασι, χερσὶν ἀσμένως
ἀναπετασόντων γε τῷδε τὰς πύλας.
ὃ δ' ἀσμένως μὲν καὶ τάδ' ἦν δεδεγμένος,
ἀεὶ δ' ἐχώρει πρὸς σαφῆ τυραννίδα,
χώραις ἐπιὼν φρουρίοις τε καὶ τόποις.
ἐπεὶ δ' ἐπέστη καὶ Βιθυνῶν Νικαίᾳ
καὶ τήνδ' ἑλεῖν ἔσπευδεν αἱμύλοις λόγοις,
οὐκ ἔσχεν αὐτοῦ τοῖς λόγοις πειθηνίαν,
ἀλλ' ἐμφανῶς ἦν ἀτίνακτος ἀπάταις.
ἀλλ' ὡς ἐπιβέβηκε τῆς Νικομήδους
καὶ τήνδ' ἐπεσπάσατο πρὸς συμμαχίαν,
μεθ' ἱκανῆς ἔσταλτο ταξιαρχίας
στρατηγὸς Ἀνδρόνικος Ἄγγελος θέσιν
πρὸς ἀντιπαράταξιν ἅμα καὶ μάχην·
ὃς ἐκτομίᾳ συμπλακεὶς Ἀνδρονίκου,

4915 τοῦ Ἀνδρονίκου V

bastus in odio erat (4890) vulgoque detestabilis ob actus suos, quoniam mortales cunctos despiciebat sibique uni rem publicam vindicabat: nil enim erat in universo imperio quod huius potestati non pareret. (4895) quare cuncta metropolis spem salutis in Andronico reponebat uno, atque hunc tyrannidis appellabat vindicem, et clandestinis invitabat literis ut ad regalem adventare urbem (4900) omni seposito festinaret metu: nam se prompto cives dicebant studio urbanas illi portas aperturos. hos ille audiebat perlibenter nuntios, iamque affectabat manifesto tyrannidem (4905) castellis occupandis ac provinciis. accessit etiam Nicaeae Bithyniae, eamque blandis tentavit sermonibus: sed illa verbis minime gessit morem, eiusque fraudibus fuit insuperabilis. (4910) sed cum occupavisset Nicomediam eamque suis iam partibus adiunxisset; missus est cum iusto copiarum numero dux Andronicus cognomento Angelus, ut bello aperto hostibus resisteret: (4915) qui cum

ἐκ Παφλαγόνων στρατιᾶς ἡγουμένῳ
καὶ γηπονούντων, ἀδαῶν ὅλως μάχης,
ἥττητο κακῶς, καὶ τρέχει πρὸς τὴν πόλιν.
ἡττημένον γοῦν εἰσδραμόντα τὴν πόλιν
χρήματ' ἀπῄτουν καταθέσθαι σὺν τάχει,
ὅσα πρὶν ἀνάλωσε πρὸς μάχας φθάσας.
ὅθεν λυπηθεὶς πρὸς φυγὴν εὐθὺς βλέπει
μεθ' υἱέων ἕξ, ὁπλιτῶν ῥωμαλέων,
καὶ τῆς πρὸς Ἀνδρόνικον ἅπτεται τρίβου,
ὃς θάρσος ἄρας Ἀγγέλου παρουσίᾳ,
πορθεῖν ἐάσας καὶ κατατρέχειν τόπους,
εὐθὺ μετ' αὐτοῦ τῆς Κωνσταντίνου τρέχει.
καὶ δὴ πεφθακὼς πλησίον Χαλκηδόνος
σκηνὴν ἐκεῖ πήγνυσι καὶ παραμένει.
πρωτοσεβαστὸς δ' Ἀλέξιος οὐκ ἔχων
πεζῇ στρατιᾷ καθελεῖν ἀποστάτην,
τόνδ' ἀπελάσαι δεῖν κρίνει ναυμαχίᾳ.
πλείστας τριήρεις τοιγαροῦν ἐξαρτύσας,
καὶ ταῖσδε καλύψας γε τὴν Προποντίδα,
καὶ τὸν μέγιστον Κοντοστέφανον Δοῦκαν
δείξας στολάρχην τοῦ στόλου καὶ προστάτην,
πρὸς τὴν κατ' ἐχθροῦ δυσμενοῦς πέμπει μάχην
ἢ καὶ φυλακὴν τῆσδε τῆς Κωνσταντίνου.
μετὰ βραχὺ δὲ πρέσβις ἐκ βασιλέως
σταλεὶς πρὸς Ἀνδρόνικον ὁ Ξιφιλῖνος,
εἷς τῶν ἀρίστων ἐντρόφων ἐκκλησίας,

4924 Ἀνδρονίκου V

eunucho Andronici congressus, duce copiarum Paphlagoniarum, rudium quamvis belli agricolarum, turpiter profligatus Byzantium fugit. ergo cum victus redisset ad urbem, (4920) ab eo pecuniam statim repetebant cives, quam belle gerendo insumpserat; quod aegre ferens maturavit fugam cum sex armatis fortibusque liberis, et semet recta ad Andronicum contulit. (4925) qui roboratus Angeli praesentia, aliosque omittens occupare locos, cum Angelo Byzantium direxit iter; et cum Chalcedonis esset in vicinia, ibi tentorium fixit substititque. (4930) protosebastus haud potis Alexius exercitu pedestri rebellem opprimere, nauticis copiis resistendum censuit; cum ergo plurimas instruxisset triremes, ita ut totam implerent Propontidem, (4935) et Contostephanum maximum Ducam scholarcham creavisset summumque ducem, iussit cum hoste inviso decertare, vel certe Byzantinam tutari urbem. paulo post missus legatus a Caesare (4940) ad Andronicum ivit Xiphilinus, unus illustrium

ἐπαγγελίας ἀφθόνων δωρημάτων
αὐτῷ προσῆγεν ἀξιῶν τε μειζόνων,
εἰ σκέμμ' ἀφεικὼς τὸ προκείμενον τάχος
παλίνδρομος γένοιτο χωρὶς αἱμάτων.
ὁ δ' οὐ προσέσχεν· ἐμβριθῶς δὲ μηνύει
(παραιφάσει δ', ὥς φασι, τοῦ Ξιφιλίνου)
ὡς εἴ περ Ἀνδρόνικον ἀθρῆσαι θέλεις
πάλιν ἐπανήκοντα σὺν ἡσυχίᾳ,
πρωτοσεβαστὸν ἀπέλασον ἐκ μέσου,
καὶ πλημμελείας εὐθύνας ἐκτιννύτω.
σὲ δ' ἡ τεκοῦσα βασιλίς, ἄναξ, πάλιν
κατὰ μοναχοὺς τὴν τρίχα κειραμένη,
βίον βιούτω καθ' ἑαυτὴν ὡς δέον.
σὺ δ', ὡς πατρῴα διαθήκη βούλεται,
κληροῦχος ὢν ἄνασσε τῆς κραταρχίας.
οὔπω παρῆλθον ἡμέραι συχναὶ πάνυ,
καὶ παραλαβὼν τὰς τριήρεις δοὺξ μέγας
χωρεῖ πρὸς Ἀνδρόνικον ἀπτέρῳ τάχει·
καὶ τοῦτ' ἐπῆρε τοῦ τυράννου τὸ θράσος,
πρωτοσεβαστὸν δ' ἠφάνισε καθάπαξ.
τοίνυν ἀποστὰς τοῦδ' ἅπας τῶν ἐν πόλει,
βαλών τε τοῖς σκώμμασιν ἀνέδην,
προστίθεται δὴ φανερῶς ἀποστάτῃ,
καὶ τοῦδε γῆρας καὶ φυὴν ἦν σεμνύνων.
πρὸς τοῖσδ' ἀνεῖντο παῖδες εἱρκτῆς ὡς τάχος
αὐτοῦ τυράννου καὶ κατακλείστων στῖφος·

4963 αὐτον ἀνέδην?

ecclesiae alumnorum, ipsi oblaturus plurimam pecuniam et dignitatum titulos summarum, si, quod susceperat, omisso molimine (4945) statim incruentus retro cederet. renuit ac superbe respondit ille, ut fama est, hortante Xiphilino, "si quidem, Caesar, Andronicum aves retro pacifice cedentem cernere, (4950) protosebastum loco depelle, criminumque poenas ab eo reposce. praeterea regina parens tua, monacharum instar attonsa comam, vitam, ut par est, solitariam degat: (4955) tu vero, ut est in patris supremis tabulis, heres imperii regnato legitimus." paucis deinde elapsis diebus dux magnus, sumptis secum triremibus, ad Andronicum celeri cursu fugit; (4960) quae res tyranni extulit audaciam, protosebastum autem prorsus fregit. passimque populus in urbe rebellans hunc impudenter appetebat conviciis, apostataeque partibus adhaerebat, (4965) eius demirans formam et senectam. insuper filii liberantur carcere tyranni eiusdem, aliique plurimi: clauditur autem,

καθείργνυται δέ, φεῦ τύχης τῆς ἀστάτου,
πρωτοσεβαστὸς ἐν μέσοις ἀνακτόροις,
καὶ σβέννυται δὴ τὰς κόρας τῶν ὀμμάτων,
Ἀνδρονίκου κρίναντος ὧδ' ἀποστάτου
μετὰ φαεινῶν προκρίτων γερουσίας.
ὅστις ἀπῆρε πρὸς πόλιν βασιλίδα,
καὶ τῷ βασιλεῖ προσκύνησιν προσνέμει
βαθεῖαν, εἰς γῆν τανυθεὶς καὶ δακρύων.
κοινῶν ἔπειτα πραγμάτων δεδραγμένος
ἐχρῆτο τοῖσδε καθά οἱ δεδογμένον,
κυνηγεσίοις βασιλεῖ προσανέχειν
ἐνδοὺς ὁ δεινὸς παιδιαῖς τε προσφόροις
μετὰ φυλάκων δυσμενῶν κατασκόπων.
Ἔπειτ' ἀνεζώσατο κοινῶν φροντίδα
βροτῶν Ἐριννὺς καὶ φιλαίματος κύων
ῥέκτης τε κακῶν Ἀνδρόνικος, ὢ πάθους,
καὶ φανερῶς ἥψατο τῆς τυραννίδος.
ἀμείβεται μὲν δωρεαῖς ἁβραῖς πάνυ
ἄλλους τε πολλοὺς καὶ πλέον Παφλαγόνας
τοὺς τῷδε συμπράξαντας ἀποστασίαν,
τιμᾷ δὲ λαμπραῖς καὶ μεγάλαις ἀξίαις
οὓς εἶχε πιστοὺς καὶ συνεργοὺς κακίας.
ἀνδρῶν ἐριτίμων δὲ καὶ λαμπρῶν γένει
οἱ μὲν φυλακαῖς ἐγκαθείργνυντ' ἀλόγως,
οἱ δ' οἰκίας τε συγγενῶν καὶ πατρίδος
μακρὰν ἀπηλαύνοντο χωρὶς αἰτίας,

4968 *τῆς τύχης τῆς* V   4975 *τανυσθεὶς?*

o fortunae inconstantia! protosebastus regio in palatio, (4970) eique lumen oculorum exstinguitur, sic decernente Andronico rebelle cum splendidorum procerum corona. tum ipse ad urbem adventavit regiam, regique humile obtulit obsequium, (4975) humi prostratus, lacrimas profundens. exin correptis rei publicae habenis coepit ad arbitrium cuncta suum gerere. et regem quidem occupabat venatibus astutus homo et lusibus idoneis, (4980) custodia septum vigili et malivola.

Ipse regendi imperii suscepit curam, mortalium dira Erinnys, cruentus canis, maleficus Andronicus, proh calamitas! ac manifestam invasit tyrannidem. (4985) et praemiis quidem ornavit eximiis cum alios multos tum apprime Paphlagonas, qui rebellandi sibi auxilium tulerant; ac dignitates splendidas sublimes amicis suis attribuit et noxae sociis. (4990) illustres autem viros et stirpe nobiles partim iniusto carcere conclusit, partim domo, cognatis, patria procul nullius pepulit

ἄλλοι δ' ἀπεσβέννυντο λύχνους ὀμμάτων.
καὶ πάντα μεστὰ συμφορᾶς ἦν καὶ πάθους,
πλήρη δακρύων καὶ στεναγμῶν καὶ γόων.
ἔσπευδε καὶ γὰρ Ἀνδρόνικος ἐκ μέσου,
ὡς συνελὼν εἴποιμι, θεῖναι ταχέως
προύχοντας ἄνδρας, εὐγενεῖς βουληφόρους,
ῥώμῃ διαφέροντας ἢ καὶ συνέσει,
ὡς δ' ἀδεῶς τε κωλύμης πάσης δίχα
ἄρδην τὸ βασίλειον ἐκτρίψῃ γένος.
ὁ δ' αὖ σουλτάνος, Μανουὴλ γνοὺς τὸν μόρον,
κατέσχε Σωζόπολιν ἄλλας τ' αὖ πόλεις
καὶ τὸ Κοτυάειον ἄστυ τῇ μάχῃ,
Ῥωμαϊκὰ δὲ καὶ πρόσοικα χωρία
πλεῖστα παρεστήσατο τῷ μάχης νόμῳ.
ἔπασχον οὐχ ἧττον δὲ δυστυχεστάτως
Ἀσιαναὶ κῶμαί τε καὶ πολλαὶ πόλεις
ἐξ ἐμφυλίου στάσεως φθισιβρότου.
Εὔνους βασιλεῖ καὶ φιλόστοργος θέλων
δοκεῖν πανοῦργος Ἀνδρόνικος τυγχάνειν,
χερσὶ στεφθῆναι ποιμένος σπεύδει τάχα
τὸν Ἀλέξιον αὐτοκράτορ' Αὐσόνων,
ὅντιν' ἐπ' ὤμων ὡς ἄνακτα βαστάσας
ἐπ' ὀκρίβαντος ἀνάγει δακρυχέων·
ὅθεν τισὶν ἔδοξε πατρὸς βελτίων
καὶ κηδεμὼν εἶναί τις ἄνακτος νέου.
ἄρας δὲ τόνδε κατέρραξεν εἰς χάος,

criminis convictos; alios denique oculis privavit. (4995) ergo ubique miseria, ubique dolor, suspiria ubique, lacrimae, eiulatus. nam properabat Andronicus homines, breviter ut dicam, tollere de medio vel genere conspicuos vel consilio (5000) vel forti manu praeditos vel prudentia, ut tuto, remoto obice, regium genus funditus extereret. at Manuelis Sultanus morte cognita Sozopolim occupavit aliasque urbes (5005) et Cotyaeam arcem armata manu; insuper terras Romanorum proximas plurimas sibi vindicavit bellans. nec vero interea minus laborabant per Asiam pagi rustici multaeque urbes (5010) civili seditione cum variis caedibus.

At enim callidus Andronicus, volens studiosus regis ac peramans videri, a patriarcha mox coronari iussit imperatorem Romanorum Alexium, (5015) quem ipse propriis humeris ut regem extulit sublimem in suggestum cum fictis lacrimis; quamobrem vulgo est creditus patre melior, regisque adulescentis tanquam tutor. sed enim hunc proiecit mox

ὥς που μελῳδεῖ Δαβὶδ ὁ προφητάναξ.
μετὰ δὲ τὸ ξύμπαντας ἐκ μέσου δρᾶσαι,
ὡς κυριεύων τῆς ὅλης καταρχίας
καὶ τήνδε καθὼς ἐσκόπει διεξάγων,
ἀναπολῶν ἣν κατὰ νοῦν ὁσημέραι.
καὶ πρῶτα μέν, φεῦ τῆς ἀπανθρώπου δίκης,
μόρον κατακέκρικεν ἄδικον πάνυ
τῆς βασιλίσσης, αἰτίας ἀναπλάσας·
ἣν ἀπαγαγὼν πνιγμονῇ πικρᾷ βίου
(σῆς ἀνοχῆς, εὔσπλαγχνε Χριστέ μου λόγε!)
ψάμμῳ κρυβῆναι τῆσδε νεκρὸν ἀτίμως
ἀκταῖς κελεύει τῆς θαλάσσης ὡς τύχοι.
σπουδῇ δ' ἔπειτα φρατρίας Ἀνδρονίκου
συμβασιλεύειν Ἀνδρόνικος προυκρίθη
νέῳ βασιλεῖ καὶ κράτος συνδιέπειν.
καὶ καταλαβὼν τὸν θεοῦ μέγαν δόμον
καὶ ταινιωθεὶς ὡς ἔθος στεφηφόροις,
ἄρτον δεῆσαν οὐράνιον λαμβάνει,
καὶ κατὰ φρικτῶν ὀμνύει μυστηρίων
ἦ μὴν φυλάξειν τῷ νέῳ στεφηφόρῳ
πίστιν ἀκραιφνῆ, καὶ νεμεῖν τοῦδε κράτει
τὴν δυνατὴν σύναρσιν ὡς πατὴρ φίλος.
ἐπεὶ δ' ἔσω γένοιτο τῶν ἀνακτόρων
ἀναγορευθεὶς βασιλεὺς αὐτοκράτωρ
ἔφορκος Ἀνδρόνικος, αἱμύλος φύσει,
μνήμην φέρων ἔναυλον ὁρκίων ἔτι
ὡς θὴρ ἐφορμᾷ τῷ νέῳ στεφηφόρῳ,

in barathrum, (5020) ut David ait alicubi, rex fatidicus. iam postquam omnes sustulit e medio, mente agitabat sedula quotidie quo pacto totum raperet imperium proque suo voto gereret ac libito. (5025) in primis igitur, o diram sententiam! morte reginam damnat iniustissima criminibus confictis, eamque laqueo crudeli suffocatam vita spoliat; atque, o patientiam, Christe bone, tuam! (5030) arena iubet obrui cadaver, marino abiectum littore sine honore. mox coniuratae suae factionis studio socius imperii Andronicus dicitur, ut iuvene cum rege rem summam gereret. (5035) igitur progrediens in templum maximum, more solemni, redimitur stemmate, atque caelesti rite pane vescitur; ibique formidandis in mysteriis iurat se fidem adulescenti regi (5040) immotam servaturum, eiusque imperio pro viribus fauturum, ut patrem decet. deinde regium ingressus palatium acclamatusque rex et imperator, perfidis Andronicus blanditiis usus, (5045) recentem sacramenti memoriam gerens,

καὶ τόνδ᾽ ἐθοινήσατο. φεῦ οἰκτροῦ πάθους·
τόξου γὰρ αὐτὸν πνιγμονῇ νευρᾶς νύκτωρ
βίου παρόντος δυστυχῶς ὑπεξάγει,
ἐπεισπεσόντων τῷδε τινῶν ἀδίκως.
καὶ σῶμα μὲν δίδωσι θαλάττης βάθει,
τὴν δ᾽ αὖ κεφαλὴν σώματος τετμημένην
ἐν παραβύστῳ κατακοντίζει τόπῳ.
Οὕτως Ἀλεξίου δὲ λιπόντος βίον
Ἀνδρόνικος μόναρχος ὤφθη τοῦ κράτους,
πολιὸς ἀνήρ, ἀποφράς, κακῶν ῥέκτης,
ἀνδρῶν Ἐριννὺς καὶ φιλαίματος κύων,
δράκων δαφοινός, σκορπίος βροτοκτόνος,
κακόν τι τερμέριον, Ἅιδης παμφάγος,
Στὺξ συμφορῶν γέμουσα δακρύων γόων,
φέναξ, σοβαρός, ἀγέρωχος τὸν τρόπον,
ἀπατεών, θώψ, ποικίλος χαμαιλέων,
τῶν καθ᾽ ἑαυτὸν ὀργιλώτατος γέρων,
καὶ μισοφαής, δυσμενὴς ὑπηκόοις,
δήμιος ἀνδρῶν εὐγενῶν ἀριστέων,
καὶ βασιλείου τοῦ γένους ἀναιρέτης.
ὃς παραλαβὼν τὴν ὅλων αὐταρχίαν
μνηστῇ συνήφθη πρὸς γάμους Ἀλεξίου
λίαν ἀθέσμως, φιλόπορνος ὢν γέρων.
ἐκλιπαρεῖ δὲ πατριάρχην ποιμένας
τοῦ πρὸς Μανουὴλ ὁρκίου λαβεῖν λύσιν·
οἱ δ᾽ ὡς τὰ πάντα πρὸς χάριν καὶ φιλίαν

ilico regem iuvenem aggreditur, eumque mactat, proh lugubre facinus! etenim arcus nervo noctu strangulat, sicque infelicem vitae imponit finem, (5050) usus ad id quorundam iniquo officio. et corpus quidem mergit profundo mari, avulsum autem cervicibus caput secreto loco sepeliendum curat.

Sic ergo Alexio deserente vitam (5055) solus imperium tenuit Andronicus, vir canus, detestandus et maleficus, civium Erinnys, caedique anhelans canis, draco cruentus, scorpiusque letifer, horrendum monstrum, Orcus insatiabilis, (5060) Styx plena miseriis gemitibus lacrimis, dolosus, tetricus, moribus superbis, deceptor, assentator, versipellis, varius, senex suorum temporum furiosissimus, lucifugus, et in subditos ira plenus, (5065) natorum loco nobili virorum carnifex, denique regiae exstinctor prosapiae. qui summo rerum occupato imperio Alexii sponsam sibi nuptiis iunxit scelere manifesto scortator senex. (5070) quin sacramenti Manueli praestiti a patriarcha petiit atque episcopis absolutionem; qui servientes gratiae pro suo ligandi solvendique arbitrio divinitus con-

δεσμεῖν τε λύειν πρὸς θεοῦ δεδεγμένοι,
ἀμνηστίαν ἔνειμον ἠνομημένων
καὶ λύσιν ὅρκων δυσλύτων τῷ πεμπέλῳ.
καὶ φαῦλον ἔσχον ἀντιμισθίαν γέρας,
σφᾶς συνεδρεύειν, εἰ τύχοι, καθημένῳ.
Τούτου τυραννήσαντος, ὡς ἔφη λόγος,
ἀποστατοῦσι τοῦ κράτους τῶν Αὐσόνων,
εἴκειν τυράννῳ μὴ θέλουσαι πρὸς βίαν,
Προῦσά τε καὶ Νίκαια Βιθυνῶν πόλεις.
στρατιὰν οὐκοῦν Ἀνδρόνικος ὁπλίσας
εὐθὺ Νικαίας ἵεται, θυμοῦ πνέων,
καὶ τήνδ' ἑλεῖν ἔσπευδε τειχομαχίαις
καὶ μηχαναῖς γε καὶ μάχαις πολυτρόποις.
οὐδὲν πλέον δ' ἤνυεν ἱστὰς τὴν μάχην,
ἀλλ' ἦν ἀσινὴς ἀτίνακτος ἡ πόλις
ταῖς μηχαναῖς τε καὶ βελῶν ταῖς νιφάσιν.
ὅμως ὑπείκει βασιλεῖ συμφωνίᾳ,
καὶ τὴν πρὶν ἀπέλαβε τάξιν ἐννόμως,
Νίκαια καλλίπυργος, εὖ ᾠκισμένη.
ἐφίστατο δὲ καὶ Προυσαέων πόλει
μετὰ στρατιᾶς βασιλεὺς ῥωμαλέας,
καὶ χάρακα θεὶς τειχομαχίαις ὅλαις
καὶ μηχαναῖς ἔσπευδε καθελεῖν πόλιν·
ἀλλ' ἡ πόλις ἦν ἀντέχουσ' ἐρρωμένως,
καὶ μηχανὰς λύουσα ῥᾷστα καὶ μάχας.
καὶ συμπλοκαὶ δ' αὖ ἐξ ἑκατέρου μέρους
πολλάκις ἦσαν ἡμέρας πεπραγμέναι.

cesso dederunt veniam, (5075) tam gravi sacramento solventes senem; ridiculumque rettulerunt praemium, ut cum ipso interdum considerent.

Hoc exercente, ut diximus, tyrannidem a Romanorum defecere imperio, (5080) propterea quod tyranno parere nollent, urbes Bithyniae Prusa et Nicaea. igitur Andronicus instructo exercitu statim Nicaeam pergit, iram spirans; quam nitebatur capere moenia quatiens, (5085) et machinis et vario pugnae genere. nec tamen bene evenit oppugnatio, sed firma urbs perstabat atque incolumis machinas contra telorumque nimbos. sed regi demum, acceptis condicionibus, (5090) cessit, ad pristinum ordinem revertens, Nicaea pulchris domibus turrisque instructa. tunc Prusam Andronicus castra transtulit exercitu cum valido, structisque vineis et vallo circumiecto variisque machinis (5095) urbem summis viribus conabatur capere. sed tamen illa resistebat fortiter, propulsabatque machinas et aggressiones. sic pugnabatur ab utroque exercitu,

καὶ τοῦτ᾽ ἐπὶ μέγιστον ἐδρᾶτο χρόνον.
τέλος λεπισθέντος δὲ τείχους βραχύ τι
καὶ τοῦ σεσεῖσθαι δόξαν ἀστοῖς εἰσάπαν
κλίσιν τε παθεῖν ἐμβαλόντος ἐσχάτην,
πᾶς τις μαχητὴς ἔνδον ἀνείθη χέρας,
ἐναποθανὼν παρὰ βραχὺ τῷ δέει.
ἐντεῦθεν εἰσήλασαν ἔνδον εἰς πόλιν
οἱ τήνδ᾽ ἑλεῖν σπεύδοντες ἄνευ κωλύμης,
χρησάμενοι κλίμαξι πρὸς συνεργίαν.
ὁ δ᾽ Ἀνδρόνικος εἰσπεπαικὼς εἰς πόλιν,
ὡς ἄγριος θήρ, ὡς λέων βρυχητίας,
πάντας παρανάλωμα θυμοῦ καὶ ξίφους
μικροῦ κατειργάσατο, φεῦ τοῦ πάθους,
τοὺς μὲν παραδοὺς πικροτάτῳ θανάτῳ,
τοὺς δὲ στερήσας τοῦ φάους τῶν ὀμμάτων.
ὧν δ᾽ αὖ πόδας τέτμηκεν ἄμφω πρὸς βίαν,
καὶ χεῖρας ἄλλων, αἱμοχαρὴς καρδία·
οὓς δὲ στερεῖ φάους τε καὶ τῶν δακτύλων,
ποδῶν πάλιν ἄλλους τε καὶ τῶν ὀμμάτων.
Θεόδωρον δ᾽ Ἄγγελον, οἰκτίστου πάθους,
ἠΐθεον κάλλιστον, ἄνδρα γεννάδαν,
ἐξ ὀμμάτων θεὶς δυσανάλγητος γέρων,
ὄνῳ τ᾽ ἐπιθεὶς εὐτελεῖ πομποῦ δίχα,
γῆς Ῥωμαϊκῆς ἀπελαύνει μακρόθεν·
ἀλώμενον Τοῦρκοι δὲ τόνδ᾽ εὑρηκότες,
ἀπαγαγόντες εἰς ἑαυτῶν οἰκίας,

5112 φεῦ φεῦ?

saepe repetitis per diem proeliis, bellumque longo trahebatur tempore. postremo cum laborasset murus leviter, subrutam cives prorsus crediderunt, et mox ruinam tracturum extremam; quae res bellantium intus resolvit manus, mortalique animos pulsavit metu. tunc obsessores, repugnante nemine, in urbem irrumpebant studio alacri, superabantque appositis moenia scalis. porro Andronicus ipse in urbem irruit ceu violenta fera leoque rugiens, suaeque irae et gladio, pro dolor! cives cunctos propemodum consumendos tradidit. atque alios quidem diro supplicio enecuit, aliis exstinxit lumen oculorum, aliis utrumque pedem abscidi iussit, at manus aliis, heu sanguinarium animum! hos oculis digitisque privavit simul, illos vicissim pedibus atque oculis. at Theodorum Angelum, heu diram poenam! adulescentem nobilem et pulcherrimum, effossis oculis senex crudelissimus asino vili imposuit absque duce, Romanisque finibus procul expulit; quem errabundum invenientes Turcae suis receperunt domibus et ho-

ἐπιμελείας ἀξιοῦσιν ἀξίας.
Λέοντα δ' αὖθις Συνέσιον τοὐπίκλην
καὶ τὸν Λαχανᾶν Μανουὴλ, ἄνδρας ξένους,
μετὰ δεκάδος τετραπλῆς ποσουμένης
ἀνδρῶν ἀρίστων, εὐγενῶν ἀριστέων,
οἰκτρῶς ἀπηώρησε δένδρων τοῖς κλάδοις
παραπεφυκότων γε Προυσαίων πόλει.
ποιναῖς δ' ἀπηνῶς ὑποβαλὼν μυρίους
ἐκεῖθεν ἧκε πρὸς Λοπάδιον πόλιν,
κἀκεῖ παραπλήσια τοῖς πρῴην δράσας,
ἐπισκόπων ἕνα τε θεὶς ἐξ ὀμμάτων,
οὐκ εὐαφόρμως ἀλλὰ συνθεὶς αἰτίαν,
πρὸς τὴν βασιλεύουσαν ἔρχεται πόλιν,
γαυρούμενος Καδμείᾳ δυσκλεῶς νίκῃ,
γαννύμενός θ' αἵμασι τοῖς ἐμφυλίοις.
Ἦν Ἀνδρονίκῳ καὶ θρασὺς ὑπηρέτης,
ὅμοιος, ἧ λέγουσι, παραπλησίῳ,
θερμουργός, αἰσχρός, ἀποφράς, μιαιφόνος,
προαιρέσει σύμμορφος αὐτοῦ δεσπότῃ,
τῶν συμφορῶν ὄργανον, ἀνὴρ αἱμάτων,
πλήρης κακίας καὶ χόλου καὶ πικρίας,
ἀκαμπὲς ἀμείλικτον ἦθος εἰσφέρων,
καλούμενος Στέφανος ἐξέτι νέου,
τῆς ὕβρεως στέφανος αἰσχύνης ἅμα,
ἐπώνυμον δ' Ἁγιοχριστοφορίτης,
ἢ μᾶλλον εἰπεῖν Ἀντιχριστοφορίτης.

spitio, et qua par erat confoverunt cura. Leonem item cognomine Synesium et Manuelem Lachanam, egregios viros, cum quadraginta circiter ornatissimis (5130) deque primaria nobilitate hominibus, miserabiliter ramis suspendit arborum, quae circa urbem Prusam germinabant. sic post inflictas quamplurimis poenas illinc ad urbem transiit Lopadium, (5135) ibique pari grassatus saevitia, excaecatoque etiam uno episcopo, non quasi temere sed conficta causa, ad principalem urbem pedem rettulit, gaudens Cadmea misere victoria, (5140) atque civili sanguine fuso gestiens.

Habebat Andronicus audacem famulum similem prorsus, ut aiunt, suo simili, acrem, audacem, turpem, sanguinarium, seque studiose conformantem domino, (5145) malorum instrumentum, cruentum virum, plenum malitia acerbitate bile, immiti rigidaque natura praeditum, Stephanum, id est coronam, a puero dictum, coronam nempe infamiae et contumeliae; (5150) martyris quidem nomen prae se ferentem, sed An-

τούτῳ βασιλεὺς ὀργάνῳ κεχρημένος
πλείστους ἀνῄρει κατέλευεν ἠδίκει·
δι᾽ οὗ γε κατέλευσεν ἀδίκῳ κρίσει
καὶ Δούκαν Ἀνδρόνικον σὺν Μακροδούκᾳ,
ἄνδρας ἀρίστους, εὐγενεῖς στρατηγέτας·
τειχῶν γὰρ ἐκτὸς ἐν βασιλείοις δόμοις
ἄνακτος ὄντος, Μαγγάνῃ κεκλημένοις,
ὁρμῆς τε πλείστης συνδρομῆς παντὸς γένους
ἐκεῖσε προστάγματι συνηθροισμένου,
ἐξάγεται δὴ τῶν ἐκεῖ που δωμάτων
ἀνδρῶν λεχθεῖσα δυὰς ὡς θανουμένη,
καὶ παρὰ πάντων λιθολευστεῖται τάχος,
Στεφάνου κατάρχοντος ἀνόμου φόνου
καὶ πάντα θαρρύνοντος εἰς φονουργίαν.
εἶτα νεκροὺς σφῶν, ὢ μισανθρώπου τρόπου,
ξύλοις ἀπῃώρησαν ἄστεος πέραν.
    Τοιοῖσδ᾽ ἐνησμένιζεν ἔργοις ἀτόποις
ποιναῖς ἀπανθρώποις πράξεσιν ὁσημέραι
καὶ θανασίμοις τε καὶ στυγητέαις
φονουργὸς Ἀνδρόνικος, ἡ φαύλη φύσις.
    Τούτου κρατοῦντος Θεσσαλονίκη πόλις,
πόλις περιώνυμος, ἀρίστη κλέος,
πρόεδρος οὖσα Θετταλικῶν ἀστέων,
φεῦ φεῦ, ἑάλω Σικελῶν ὁμαιχμίᾳ
καὶ βαρβαρικῷ κατεδουλώθη κράτει.

5169 an ποιναῖς τ᾽ ἀπανθρώποις ὁσημέραι μικροῦ καὶ πράξεσιν θανασίμοις στυγητέαις? 5175 σικελικῶν V

Antichristi opera patrantem. hoc Andronicus instrumento utens plurimos laesit mactavit lapidavit. per hunc iniuste lapidavit etiam (5155) Andronicum Ducam cum Macroduca, viros egregios nobilesque duces. nam cum in regia extra muros domo, Mangane dicta, imperator degeret, atque illuc plurima plebis infinitae (5160) ipsius iussu turba coacta esset, producti sunt in publicum ex iis domibus duo praedicti viri ad supplicium, perque omnium manus sunt lapidati, caedis faciente initium iniquae Stephano, (5165) atque ad cruentum facinus exhortante. deinde exstinctos, o crudele facinus! lignis suspenderunt e regione urbis.

His se oblectabat immanibus operibus, suppliciis inhumanis et exsecrandis (5170) et exitiosis actibus quotidie crudelis Andronici ingenium pessimum.

Hoc imperante urbs Thessalonica, nobilis illa gloriosa civitas, Thessalicarum urbium regina, (5175) heu Siculorum capta est exercitu et in barbaricum cessit dominatum. etenim quidam Comnenus

Ἀλέξιος γὰρ ἐκ Κομνηνῶν τις γένους,
κάκιστος ἀνὴρ καὶ φθορεὺς Ῥωμαΐδος,
παρ' Ἀνδρονίκου φυγαδευθεὶς εἰς Σκύθας,
φυγὰς ἀπαίρει πρὸς Σικελίαν τρέχων,
καὶ τῷ τυραννεύοντι τῆσδε Λατίνῳ
εἰς ὄψιν ἐλθὼν εἰς ὁμιλίαν λόγων,
ὡς εἶχεν, ἐξέμηνε κατ' Ἀνδρονίκου·
ὅθεν στρατιὰν εὐτρεπίσας μυρίαν,
πεζήν τε ναυτικήν τε, ῥὴξ Σικελίας
ἐπὶ πόλεις πέπομφε χώρας τ' Αὐσόνων,
ἐπὶ μὲν Ἐπίδαμνον στρατὸν ἱππέων,
τὸν ναυτικὸν δὲ κατὰ Θεσσαλονίκης.
καὶ τὴν μὲν Ἐπίδαμνον ὡς νόμος μάχης
στρατὸς κατέσχε, καὶ σὺν αὐτῇ τὰ πέριξ·
καὶ διαδραμὼν καὶ σκυλεύσας τὰν μέσῳ
ταῖς ναυτικαῖς μέμικτο ταξιαρχίαις,
Θεσσαλονίκης προσμενούσαις τοῖς ὅροις.
καὶ συνδραμούσης στρατιᾶς ἑκατέρας
καθ' ἅλα κατ' ἤπειρον εἰς ὁμαιχμίαν,
καὶ προσβαλούσης τῇ πόλει πανταχόθεν,
φεῦ φεῦ, ἑάλω Θεσσαλονίκη πόλις,
πόλις προεδρεύουσα τῶν Μακεδόνων,
καὶ Σικελοῖς ἔκλινε πρὸς βίαν κάραν.
καὶ λοιπὸν οἵας τῶν κακῶν Ἰλιάδας
καὶ συμφορῶν πέλαγος ἢ τραγῳδίας
πέπονθεν εἶδεν ἀθλίως αὕτη πόλις,
οὐκ ἐκτραγῳδήσειεν ἄν τις ἀξίως.

Alexius, pessimus homo patriaeque exitium, ab Andronico relegatus in Scythiam, (5180) profugus exsul venit in Siciliam, atque Latinum insulae tyrannum conveniens, atque admissus ad colloquium, hunc Andronici tanto inflammavit odio ut congregatis copiis innumeris (5185) nauticis et pedestribus rex Siciliae contra Romanas expediret terras, equestres quidem Epidaurum copias, nauticas autem ad Thessalonicam, et Epidaurum quidem virtute bellica (5190) cepit terrestris miles cum vicinia; populatusque terras interpositas cursu pervenit illinc ad classem suam Thessalonicae in finibus exspectantem. utroque igitur concurrente exercitu (5195) a continente terra ac mari, et quaquaversus urbem circumdante, heu heu, capta est Thessalonica civitas, illa, inquam, Macedonum metropolis, et Siculis coacta cervicem flexit. (5200) deinceps quantas malorum Iliadas, calamitatum tragoediaeque pelagus perpessa sit ac viderit infelix civitas, nemo pro meritis sane

τῶν Σικελῶν γὰρ εἰσρυέντων εἰς πόλιν
ἡβηδὸν ἐσφάττοντο πάντες τῷ ξίφει,
ἄλλοι δὲ πάλιν ἐσκυλεύοντ' ἀθλίως.
γυναῖκες ὑβρίζοντο παρθένοις ἅμα,
καὶ πᾶς νεώς τις παρθενών τε καὶ δόμος
τῶν ἔνδον ἠρήμωτο πάντων πρὸς βίαν.
πᾶσα δ' ἀγυιὰ καὶ στενωπὸς καὶ τρίβος
αἱματοφύρτοις ἦν κεχραμένη λύθροις
καὶ νεκριμαίων σωμάτων πεπλησμένη.
πανταχόθεν γοῦν δάκρυα θρῆνος γόος
καὶ κώκυτός τις καὶ τραγῳδία ξένη,
ἵνα καθάπαξ συνελὼν τὸ πᾶν φράσω,
καὶ συμμιγὴς θροῦς ἀνεπέμπετ' ἀθρόον.
τοιοῖσδ' ἐτετρύχωτο κακοῖς ἡ πόλις.
Ὁ δ' Ἀνδρόνικος τῶν κακῶν οὐκ ἠμέλει,
ἀλλ' οἷα δοῦλος ἀτεχνῶς Ἐριννύων
ἢ Τελχίνων ὢν δαιμόνων ὑπηρέτης,
ἤγουν ἀπηνὴς Ἔχετος ἢ Καμβύσης
ἢ Φάλαρις ἄγριος ἢ Ταυροσκύθης,
ὑπήκοον πᾶν ἐκρεανόμει τάλας.
ὁμαίμονας μὲν Σεβαστιανοὺς δύο
κακῶς ἀναρτᾷ καὶ θανατοῖ τῷ ξύλῳ·
Ἀλέξιον δὲ Μανουὴλ παῖδα νόθον,
ὃν εἶχε γαμβρὸν εἰς θυγατέρα νόθην,
ἐξ ὀμμάτων τίθησιν ἀδίκῳ δίκῃ,
καὶ τῶν ὑπ' αὐτὸν ἐκτυφλοῖ τοὺς βελτίους,
ἕνα δὲ τὸν Μάμαλον ὑπογραφέων

narrare queat. Siculis enim in urbem irrumpentibus (5205) puberes cuncti caedebantur gladio, matronae virginesque dehonestabantur; omnia templa et parthenopaea despoliabantur violenta manu; (5210) plateae omnes, angiportus, viae morticinis corporibus plenae erant, cruentique tabi rivis redundabant. ergo lacrimae ubique, luctus, clamor, ululatus et horribilis tragoedia: (5215) sic enim paucis dicere rem verbis iuvat; mixtusque ferebatur ad caelum clamor. atque his civitas atterebatur malis.

At Andronicus malitiam suam non desinens, quin adeo ceu Furiarum quidam famulus, (5220) et lymphatorum daemonum minister, aut crudelis Echetus vel Cambyses, vel Phalaris ferinus vel Scytha Tauricus, subditos cunctos miser devorabat. etenim fratres Sebastianos duos (5225) diro suspensos interfecit ligno. Alexium, Manuelis nothum filium, cui spuriam filiam suam iugarat nuptiis, oculis cassum fecit sententia iniqua, eiusque potiores assedas excaecavit. (5230) scribam

πυρὶ παραδέδωκεν ἐν τῷ σταδίῳ.
καὶ Τρίψυχον δ' αὖ (ὡς ἐπαινῶ σ' ὦ δίκη),
ὃς ἔδρασεν χείριστα πολλοὺς ἀδίκως,
ἔθηκε τυφλόν, μὴ βλέποντα φωσφόρον.
ὡς ἐν κεφαλαίῳ δὲ καὶ βραχεῖ φάναι,
ἐφ' ἡμερῶν τούτου γε Τίμωνος τρόπον
θλῖψις, ὀδύνη, συμφορῶν μυρμηκιά
πάντας κατεῖχε, συνοχή τε δακρύων
καὶ χαλεπῶν σύρροια καὶ τρικυμίας·
καθ' ἣν γὰρ οὐκ ἔδρασε κακῶς ἡμέραν
τῶν τινὰ λαμπρῶν τιμίων τῶν ἐν τέλει,
παντάπαν ἀβίωτον ἡγεῖθ' ἡμέραν.
ὅθεν γυναῖκες ἄνδρες ἠγμένοι βίᾳ
φρουρᾷ τε λιμῷ καὶ κολάσει καὶ μόρῳ
ὠπῶν σβέσει τε, σωματικαῖς αἰκίαις
ἄλλαις τε ποιναῖς παρεδίδοντ' ἀδίκως.
Τοιαῖσδ' ἐνησμένιξε πράξεων ἄναξ.
ὅμως μετεῖχεν ἀγαθῶν καὶ μετρίων·
ἔθαλπε καὶ γὰρ δωρεαῖς ὑπηκόων
τοὺς ἐνδεεῖς τε καὶ πένητας πλουσίως,
ἣν εὐνοοῦντας ᾔσθετο σφᾶς ἀδόλως.
καὶ τῶν δυνατῶν ἁρπαγὰς τὰς ἀδίκους
καὶ κακιῶν πίδακα πλεονεξίαν
ἐκ Ῥωμαΐδος ἀπελάσας χωρίων
ἐπαρχίας ἤγαγεν εἰς ἐπιδόσεις.
οὐκ ἦν ἀπειλὴν πράκτορος κλύειν τότε,

5239 τρικυμία?

autem quemdam dictum Mamalum flammis exurendum in stadio tradidit. Tripsychum quoque, o iustum dei iudicium! inique multis pessima qui fecerat, caecum solisque radiis carentem fecit. (5235) atque ut summatim breviterque dicam, huius novelli tempore Timonis poenae, tristitiae, calamitatum cumulus cunctos tenebant, lacrimaeque iuges, et malorum quidam torrens ac tempestas. (5240) qua die enim nemini male fecerat nobilium hominum atque procerum, hoc se vixisse non putabat die. feminae ergo et viri rapti domibus vinclis, fame, mortibus, vexationibus, (5245) oculorum orbitate et cruciatibus aliisque poenis plectebantur innocui.

His se oblectabat actibus imperator. sed boni quiddam aequique simul inerat: nam beneficiis recreabat plurimis (5250) pauperes subditos tenuesque, siquidem vere sibi benivolos comperiret; ac praepotentium iniustas direptiones criminumque fontem avaritiam cuncto Romano submovens imperio, (5255) meliori condicioni provincias reddidit.

καὶ τὰ πενήτων πάντα καλαμωμένου
ἐν τῷ μόνον πρόφασιν εὑρεῖν κακίας·
οὐ. δημοσίων ὠνίους τὰς ἐκτίσεις
ὁρᾶν τελουμένας γε τοῖς ᾑρημένοις,
ἀλλ᾽ ἀποδούς τις Καίσαρι τὰ Καισάρων
ὑπῆρχε λοιπὸν ἀπαθὴς κακῶν ἔτι,
ὡς δημόσια πᾶς τις εἰσπράττων τότε
ὀψωνίοις ἦν τάδ᾽ ἀπαιτῶν ἐν δίκῃ,
ἀρχαιρεσιῶν προῖκα παρεσχημένων
πασῶν ἀριστίνδην τε καὶ κατ᾽ ἀξίαν,
οὐδὲν δὲ πλουτίνδην γε τοῖς ἐκ τριόδων.
ἧ Δαβὶδ οὐκοῦν ἐμμελῶς ψάλλων λέγει,
δικαιοσύνης, πρὸς δέ γ᾽ εἰρήνης χάρις
συνῆλθον ἠσπάσαντο φιλίως τότε.
ἔθος δ᾽ ἐναγὲς καὶ παράνομον λίαν
καὶ πρᾶξιν ἀπάνθρωπον ἀδικωτάτην,
τῶν ναυαγουσῶν φορτίδων κατὰ τόπους
ἐκ πνευμάτων βίας τε καὶ καταιγίδος
καὶ συντριβεισῶν, εἶτ᾽ ἀκταῖς ἐρριμμένων
ἀγωγίμων σκύλευσιν ἁρπαγὴν λύσιν,
πρὸς τῶν προσοίκων ἀσεβῶς τελουμένας,
ἔστησεν οὗτος, ἀντιπνεύσας ὡς κράτωρ
σφοδραῖς ἀπειλαῖς, προσταγαῖς ἐμβριθέσιν,
ἀσυμπαθῶς θάνατον ἕξειν ζημίαν
πάντα παραβαίνοντα προστεταγμένα
παρεγγυώσαις καὶ κυρούσαις εἰσάπαν.
"εἴ τις γὰρ" εἶπε "χωρίων παραλίων

tunc nusquam exactoris audisses minas, qui tenuiorum patrimonia quateret, quamlibet obtendens malitiae causam. neque venalia exposita vidisses (5260) tunc vectigalia publica redemptoribus: verum qui Caesari rem dedisset Caesaris, de reliquo securam agebat vitam. iam qui tributa publica exigebat, stipendiis ipse instructus id iuste agebat, (5265) quia gratis dabantur dignitates cunctae cuique optimo ac merenti, nemini indigno qui pecunia emeret. ergo ut carminibus psaltes David cecinit, iustitia simul et venusta pax (5270) tunc coniuratae amice osculabantur. insuper morem impium scelestissimum, facinus inhumanum iniustissimum, uti naves alicubi naufragae, ventorum violentia et tempestatis (5275) confractae, et mox ad littora proiectae sarcinae direptionem ac perniciem contra fas omne ab accolis paterentur, sustulit Andronicus regio nutu; qui gravi iussu ac minis vehementibus (5280) certam constituit mortem ac supplicium his qui decretum violarent suum, idque cum poena aeternum ratumque voluit. si quis loco-

κύριός ἐστιν εὐγενῶν ἐριτίμων,
ἢ παρ᾽ ἐμοῦ πέφυκεν ἀρχὴν διέπων,
πρώτισθ᾽ ἑαυτόν, εἶθ᾽ ὑπηκόων στῖφος
καταρτισάτω πρὸς θεοῦ θεῖον φόβον
ὑποστολήν τε τῆς ἐμῆς κραταρχίας·
ἢ δεσπότης πᾶς κτήματος παραλίου
ἐπαρχίας ἄρχων τε, κἂν ᾖ τιμίων,
ὁ παρὰ νηῶν ναυαγουσῶν λαμβάνων
ἀγωγίμων τι, φανερῶς γινωσκέτω
πρόστιμον ἕξων τὸν θάνατον ἐνδίκως,
κἂν ᾖ μὲν αὐτὸς καθαρὸς τῇ καρδίᾳ
χερσὶ δ᾽ ἀθῷος ἀμέθεκτός τ᾽ εἰσάπαν,
οἱ δ᾽ ὑπὸ χεῖρα κάτοχοι ταῖς αἰτίαις·
ἄρχοντι καὶ γὰρ ἐξισοῦσθαι προστάτῃ
εἴωθεν ἅπαν ὑποχείριον θέλειν.
τίσει δὲ πότμον ἐντολῶν παραβάτης
φρικαλέον τε καὶ δυσήκουστον τάχα,
παθὼν κρεμάθραν ἀνάτασίν τ᾽ ἀθλίαν
νεὼς ἐφ᾽ ἱστοῦ συντριβείσης τῷ σάλῳ."
τοιόνδ᾽ ἐπισείσας γε σύμπασι δέος
θεοστυγὲς πέπαυκε κρατῆσαν ἔθος·
καὶ λοιπὸν οὐκ ἦν καθορᾶν τὰς φορτίδας,
περιπεσούσας ἐκ σάλου ναυαγίῳ,
ἀγωγίμων σκύλευσιν ὑφισταμένας,
ἀλλ᾽ ἦν γαλήνην ἐκ τρικυμίας βλέπειν
διαγελῶσαν ναυαγούσαις ὁλκάσιν.

5295 ἀμέθυκτός V

rum, inquit, maritimorum possessor est de genere optimatium, (5285) seu magistratum traditum a me gerens, primo se ipsum dein subditorum ordinem ad dei sanctum timorem instituat, atque ad imperii nostri reverentiam. tum praedii si quem dominum maritimi (5290) provinciaeve praesidem, quamvis nobilem, de naufragarum navium quidpiam sarcinis percepisse certo constabit indicio, hunc manet dirum merito supplicium, etiamsi forte ipsemet mente purus (5295) manuque prorsus incontaminatus fuerit, si tamen eius subditi se reos fecerint, quandoquidem rectori praesidentique subditi cuncti conformari solent. transgressor autem legis perpetietur (5300) inauditam illico horrendamque mortem: triste suspendium extensionemque in malo navis naufragae experietur. cum talem cunctis incussisset metum, inveterati moris cessavit scelus. (5305) exin iam nulli contingebat navi ut spoliaretur onere a praedonibus, si forte in mari faceret naufragium; sed tempestati serenitas successerat, periclitantibus favens onerariis.

Ἦν καὶ κολαστὴς χειροδίκαις ἀνδράσι,
ποινήν τε τιθεὶς ἀδικοῦσι καὶ δίκην,
κἂν ἦν ἀδικῶν εὐγενῶν λαμπρῶν γένει,
ὡς μὴ κατ' ὄψιν ἀλλὰ δικαίως κρίνων,
καὶ κατὰ μικρόν, ᾗ φασί, καὶ τὸν μέγαν.
Καὶ τῶν τεσσαράκοντα Χριστοῦ μαρτύρων
ναὸν περιώνυμον ἠγλαϊσμένον,
χρόνῳ παλαιωθέντα καὶ κεκμηκότα,
ἀνανεοῖ κάλλιστα πλείσταις δαπάναις·
οὗ καὶ δόμους ἤγειρε πρὸς κατοικίαν,
δεῆσαν ἐλθεῖν πρὸς νεὼν τῶν μαρτύρων,
πολυτελεῖς τε ποικίλους τέχνῃ, ξένους.
καὶ πατέρας δὲ τῶν λόγων καὶ τοὺς λόγους
οὗτος βασιλεὺς ἀξίους τιθεὶς λόγου
σφᾶς δωρεαῖς ἥδυνεν ἁβραῖς ὡς θέμις.
Ὧν δ' ἀτεχνῶς μάγειρος ἀνθρώπων ὅδε,
μᾶλλον δὲ Σατὰν ἄλλος ἀνθρωποκτόνος,
ᾗ φησὶ Δαβίδ, ὠδινήσας δὴ πόνον
παρανομίας ἀποτίκτει φεῦ μόρον.
ὥριστο τοίνυν, ὢ μισανθρώπου τρόπου,
καθειργμένους ξύμπαντας εἴτε φυγάδας
ἄρδην βυθῷ τε καὶ ξίφει καὶ θανάτῳ
παραδοθέντας τὸν βίον καταστρέφειν,
αὐτούς τε πάντας καὶ προσήκοντας γένει·
τί γάρ, κεφαλῆς εἰ μιᾶς τετμημένης

5321 τε] τε καὶ V

(5310) Insuper Andronicus iniustos homines poena adficiebat debitaque ultione, quantumvis reus nobilis clarusque foret: scilicet haud pro persona sed iuste iudicans, et tenuem atque magnum perinde aestimans.

(5315) Is etiam Christi quadraginta martyrum celebrem valde aedem et ornatissimam, tunc laborantem temporis iniuria, instauravit optime impensa plurima; ibique aedes ad habitandum struxit, (5320) si quando ad dictum templum ipse accederet, vario artificio sumptuosoque miras. insuper literas cum suis professoribus hic imperator plurimi aestimavit, largisque fovit donis, prout fas erat.

(5325) Iam cum hic esset prorsus lanius hominum, immo vero Satan alter homicida, ubi concepit, ut ait David, dolorem, iniquitatis peperit eheu mortem. decretum fit, proh inhumanum facinus! (5330) ut cuncti inclusi carcere vel exsules mari vel gladio vel alio mortis genere, nemine excepto, vitae finem cernant, ipsi et coniuncti omnes iure generis. "cur enim" ait "uno resecto capite (5335) alia consurgent plura

φυήσεται κάρηνα χείρω καὶ πλέω;
ὦ παμμιάρου καὶ θεοστυγοῦς δίκης
καὶ σατανικοῦ σκέμματος μισητέου,
κατακρίνοντος παντὸς ἀνθρώπου μόρον.
σκέμμα πονηρὸν ἐγγραφὲν τόμοις τόδε
πρὸς τῶν κρινόντων ἄνομα δικασπόλων
εἴληφεν Ἀνδρόνικος φυλάττειν κράτωρ·
ὃ τάχ' ἂν ἐξήνυστο, φεῦ φεῦ, πρὸς πέρας
καὶ πάντες ἐσφάττοντο θρεμμάτων δίκην
οἱ πανταχοῦ γῆς Αὐσόνων καθειργμένοι
σὺν τοῖς καθ' αἷμα καὶ προσήκουσι γένει,
εἰ μὴ βροτουργὸς τῶν ὅλων καὶ δεσπότης
ἔθηκεν Ἀνδρόνικον ἐκποδὼν φθάσας,
σκέμματα δ' ἀπέδειξεν ἄκυρα τάδε.
Οὗτος στενά οἱ καθορῶν πανταχόθεν
πράγματα συμβαίνοντα, δύσκολα πάνυ,
ἐκ Σικελικῶν δυσμάχων στρατευμάτων,
ἅπερ παρεστήσατο Θεσσαλονίκην,
ὡς ἀνόπιν εἴρηκεν ἱστορεῖν φθάσαν,
καὶ μέχρι Σερρῶν καὶ Βολεροῦ πεφθάκει,
πρὸς δ' αὖ ἑαυτῷ δυσμενοῦς ὑπηκόου,
ἀπεῖδε πρὸς πρόγνωσιν ὧν μέλλων χρόνος
τὴν ἔκβασιν δίδωσιν ἠρωτηκόσι,
τὴν διὰ πλυνοῦ μαντικῆς τε φευκτέας.
ἀλλὰ παρεῖναι τοῖς τελουμένοις τότε
αὐτὸς μὲν ἀπείπατο, μῶμον ἐκκλίνων,
ὑπηρέτῃ δ' Ἁγιοχριστοφορίτῃ

et peiora?" hem exsecranda horribilis sententia! hem maledictum satanicum decretum, a quo tot leto destinabantur homines! atque hoc inscriptum libellis decretum, (5340) ab iniquissimis acceptum iudicibus, Andronicus imperator custodiebat; idque heu quantocius executurus erat, pecudum instar tot homines iugulans quot per imperium in vinclis erant, (5345) cum consanguineis cunctis et affinibus, nisi creator generis humani ac dominus praeoccupasset perdere Andronicum taliaque in cassum vertere consilia.

Interim Andronicus cuncta cernens (5350) adversa sibi fieri et difficilia propter victores Siculos exercitus, qui Thessalonicam occupaverant, prout superior narravit historia, et nunc iam Serras Bolerumque advenerant, (5355) insuper gnarus subditis se invisum, ad divinandum temporis futuri casus per homines hariolos convertit animum, abominanda utens hydromantia. et interesse quidem cum hariolis (5360) noluit ipse, derisionem cavens: verum haec ministro commisit Stephano

φέρων ἀνατίθησι νυκτεργασίαν·
ὃς παραλαβών τινα Σὴθ κεκλημένον,
πηρὸν μὲν ὄψεις μαντικὴν δ' ἠσκημένον,
οὗ χάριν ἐκκέκοπτο τὰς κόρας πάλαι
πρὸς πορφυρανθοῦς Μανουὴλ μάλ' ἐνδίκως,
πυνθάνεται δὴ τῶν πονηρῶν πνευμάτων,
φαύλης ἐπῳδῆς μαντικῇ πεπραγμένης,
ὅστις μετ' Ἀνδρόνικον ἄρξων τυγχάνει
ἢ παραλύσων τόνδε τῆς κραταρχίας.
πνεῦμα δ' ἀνεῖλεν ἐκ πλυνοῦ βεβυσμένα,
μᾶλλον δ' ἀμυδρῶς ὡς ἐν ὕδασι λέγον
σκιαγραφεῖ γράμμασι πεπλανημένοις
Ἰσαάκιον, ὡς ἐνῆν ἀπεικάσαι,
οὐ κλήσεως γράμματα συντάξαν ὅλα,
ὥσπερ σελήνης δ' ἀμφικύρτου φαντάσαν
ἡμίτονον σχῆμά τι καὶ πεπλασμένον,
καὶ τοῦδ' ἰῶτα προγράφει λοξῶς τύπον.
ἤκουσεν Ἀνδρόνικος πεύσεως λόγους,
καὶ καιρὸν εἰπεῖν ἀξιοῖ καθ' ὃν τάδε.
πεῦσις τὸ λοιπὸν γίγνεται δὴ δευτέρα,
καὶ πνεῦμ' ἀνεῖλε δι' ἐπᾳσμάτων τάδε,
ὡς ἡμέρας ἔντοσθεν ὑπάρξει τάδε
καθ' ἣν τὸ τρισόλβιον ὑψοῦται ξύλον.
μίαν δ' ὁ Σεπτέβριος ἦγε πρὸς δέκα,
ἐπὰν ἐδρᾶτο πρᾶξις ἀρρητουργίας.

5378 scilicet antiquus typus graeci sigmatis est *C*, cui praeposita *I* satis portendebat nomen Isaacii, *IC*. verum Nicetas Choniates, 2 9, ait literam *I* non praepositam sed subiunctam fuisse ob augendam ambiguitatem. M.

sacra nocturno tempore peragere. qui, ad se vocans Sethum quendam nomine caecum, sed arte hariolum, ob idque olim (5365) iusta sententia oculis privatum a Manuele purpurae regiae flosculo, interrogare coepit malos daemonas per nefariae artis incantationes, quisnam post Andronicum Caesar foret, (5370) vel huius quisnam raperet imperium. daemon ex pelvi rettulit ambigua, et perobscure dum per aquam loquitur, delineavit literis fallacibus, quantum coniicere licuit, Isaacium. (5375) nec vero nominis cuncta elementa scripsit, et semiplenae obtulit tamquam lunae figuram dimidiatam, atque ambigue ei lunae iota literam praeposuit. oraculi Andronicus verbis cognitis, (5380) tempus poposcit scire quo haec fierent. iterum ergo rogatur oraculum. tum sic composito carmine daemon ait "haec intra diem exitium sunt habitura quo venerandum solet exaltari lignum." (5385) porro Septembris iam erat

ἃ λῆρον ἡγήσατο γνοὺς ταῦτα κράτωρ,
"πῶς ἂν τότ' ἰσχύσειεν" εἰπὼν "Κυπρόθεν
πλεύσας Ἰσαάκιος ἐν βραχεῖ χρόνῳ
οὕτω καταστρέψαι με τῆς κραταρχίας;"
τὸν Κυπρίων τύραννον οἠθεὶς πέλειν
τὸν καθελεῖν μέλλοντα τόνδε τοῦ κράτους,
ἄνδρα Κομνηνῶν ἐκ γένους κατηγμένον,
ἀποστάτην δὲ τοῦ κράτους δεδειγμένον,
ἀρχήν τε τὴν ὕπαρχον εἰς ἀναρχίαν
τυραννίδα τε δυσμενῶς τεθεικότα,
τὴν Ἰσάκου κλῆσιν δὲ πεπλουτηκότα.
  Οὕτω νομίσας Ἀνδρόνικος καὶ φράσας
εἰς ἀρχικὰ δώματα τὰ πρὸς Ἀνάπλῳ
πρὸς διατριβὴν καὶ διάχυσιν ἔβη.
ὁ δ' αὖ κακοῦργος ἀντιχριστοφορίτης
τρέχων ἀφῖκτο σὺν ὀλίγοις οἰκέταις
πρὸς οἰκίαν εὔκτιστον Ἰσαακίου,
καὶ τόνδ' ἐφώνει τῶν δόμων κατιέναι
καὶ τῷδ' ὁμαρτεῖν οὗ δοκεῖ πορευτέον.
ὁ μὲν δεδιὼς τὴν ὁμοκλὴν αὐτίκα
θεοκλυτῶν ὑπῆρχε ῥυσθῆναι μόρου·
ὁ δ' ἀγρίῳ βλέμματι καὶ βοῇ πάλιν
αὐτὸν κατελθεῖν ἐγκελεύεται τάχος.
ἀλλ' ὡς ἑώρα βραδύνοντα καὶ πάλιν,
τοῖς οἰκέταις ἦν ἐγκραγὼν μετὰ χόλου
σύροντας αὐτὸν κατάγειν οἰκημάτων.

dies undecima, cum haec arcana divinatio fieret. has imperator nugas esse credidit: "quomodo enim" inquit "Cypro poterit huc navigare Isaacius tam brevi tempore, (5390) meumque regni solium evertere?" existimabat enim tyrannum Cyprium ad eversionem sui venturum throni, virum Comnena de gente progenitum, qui perduellem se imperio exhibens (5395) insulae praefecturam ad se rapuerat, ibique saevam exercebat tyrannidem, atque Isacus nomine appellabatur.

Sic Andronicus dicens atque existimans ad regias aedes ivit quae sunt in Anaplo, (5400) ut sese in illo oblectaret hospitio. interim tamen maleficus Stephanus cum paucis raptim venit familiaribus ad pulchras aedes Isaacii Angeli, eumque voce iussit prodire domo, (5405) seque ducem sequi quorsum tenderet. ille minaci consternatus voce, ut se morti subduceret deum rogabat. Stephanus torvis oculis inclamans iterum ut sine mora sequeretur iubet. (5410) verum ut vidit demorantem adhuc, intendit vocem ad satellites suos, ut eum correptum aedibus

μόλις κατελθεῖν ἐκβιασθεὶς τῇ βίᾳ
ἵππον τ' ἀναβὰς ηὐτρεπισμένον τότε
ἐξ Ἀγγέλων Ἴσακος, ἀνδρειοφρόνως
σπασάμενος φάσγανον ἠκονημένον,
ἐφάλλεται δὴ ἀντιχριστοφορίτῃ,
καὶ κατενεγκὼν τοῦδε πληγὴν καιρίαν
διχῇ κεφαλὴν διέκοψε τῇ σπάθῃ.
ὃν καὶ προκεῖσθαι τοῖς κυσὶ λιπὼν ἕλωρ,
ὅλῳ ῥυτῆρι πρὸς νεὼν τρέχει μέγαν
δι' ἀγορᾶς τε καὶ λεωφόρου μέσης,
καὶ χειρὶ γυμνὸν τὸ ξίφος φέρων ἔτι
πᾶσιν τορὸν κέκραγε τῷδε τῷ ξίφει
τεμεῖν κεφαλὴν ἀντιχριστοφορίτου.
ἐπεὶ δὲ ναὸν εἰσέδραμε τὸν μέγαν,
τὸν τῶν φονουργῶν ἔσχεν εἰς στάσιν τόπον.
εἶτα συνέρρει κατὰ χιλιοστύας
ἄπειρα πλήθη πρὸς θέαν Ἰσακίου,
οὓς καὶ καθικέτευσε τῷδ' ἐπαμύνειν
καὶ τὴν δυνατὴν εἰσφέρειν συμμαχίαν,
ὄντι πρὸς αὐταῖς τοῦ θανάτου ταῖς πύλαις.
ᾧ καὶ κατανεύοντας εἶχεν εἰς τόδε
ἄλλους τε πολλοὺς καὶ προσήκοντας γένει.
ἐπεὶ δὲ παρῆν οὔτις ἐκ βασιλέως
ἐπαγανακτῶν οὐδ' ὅλως τοῖς δρωμένοις,
οἱ συλλεγέντες θάρσος ἀνειληφότες
ἐχρῶντο γλώττῃ παντάπασιν ἀπύλῳ,

5427 cf. Nicetas Choniates 2 10. M.

protraherent. tum demum tali vi coactus equum, qui bene instructus aderat, conscendit (5415) Angelus Isaacius, sumptoque animo acutum gladium de vagina promens impetu contra Stephanum impium ruit, atque eum mortali consecutus ictu caput bifariam ensis acie secuit; (5420) et praedam canibus hominem relinquens, effuso cursu magnum ad templum venit per viam publicam perque forum medium; nudumque adhuc manu gladium gerens cunctis inclamabat "hoc ego gladio (5425) capite obtruncavi scelestum Stephanum." at ubi in magnum pervenit templum, homicidarum pulpitum insedit. deinceps confluente turba maxima innumereque populo ad Isaacium, (5430) hos obsecrabat ut sibi suppetias ferrent et validam defensionem, in ipsa posito mortis ianua. et erant permulti ad hoc fautores, maxime quidem genere propinqui. (5435) cumque a rege nemo superveniret qui coepta illa minis disturbaret, praedicti fautores sumpta audacia liberis iam succlamabant voci-

καὶ τῷδ' ἐπηγγέλλοντο σύναρσιν ξένην.
ὡς οὖν ἐκείνη παρέδραμεν ἡμέρα,
ἄλλη δ' ἐπῆλθε, πρωΐας οὔσης ἔτι
ὅμιλος ἅπας ἀστικὸς Βυζαντίδος
κατὰ ποταμῶν ῥεύματα ταχυρρόων
εἰς ναὸν εἰσέρρευσε τοῦ θεοῦ μέγαν.
καὶ τί με δεῖ γράφοντα μηκύνειν λόγον;
βάλλουσιν Ἀνδρόνικον ταῖς δυσφημίαις,
κρίνουσι δ' Ἰσάκιον ἄξιον στέφους.
πρὸς τοῖσδε πάντας φυλακαῖς καθειργμένους
ἀνέντες εἱρκτῆς πλεῖστον ἤθροισαν στῖφος.
ἦν λοιπὸν ἰδεῖν μυρίους ξιφηφόρους,
πεφραγμένους θώραξιν ἀσπίσιν ὅπλοις,
ἄλλους ῥοπάλοις καὶ ξύλοις ὡπλισμένους.
καὶ συναγωγῆς παμμιγοῦς ἠθροισμένης
Ἰσαάκιος βασιλεὺς αὐτοκράτωρ
φημίζεται δὴ παρὰ πάντων χειλέων,
ἐφαρμόσαντός τινος αὐτοῦ τῇ κάρᾳ
στέφος μεγίστου κράτορος Κωνσταντίνου,
ἄνω τραπέζης μυστικῆς ἠρτημένον.
τούτου τὸ πρῶτον Ἀνδρονίκου τῷ δέει
στεφηφορίαν ῥᾷστα μὴ δεδεγμένου,
θεῖος συνεστὼς οἱ Δούκας Ἰωάννης,
ἀνὴρ πολιὸς φαλακρὸς βαθυγέρων,
κάλυμμα κάρας ἐκβαλὼν ἐλιπάρει
ἐπὶ κεφαλὴν ἰδίαν θεῖναι στέφος.
δῆμος δ' ἰδόντες ἐψιλωμένην κάραν,

bus, atque Isaacio firmam spondebant opem. (5440) ergo ut illa praeteriit prima dies, iamque alia advenerat, summo mane populus cunctus Byzantinae urbis fluminis instar ociter ruentis ad praecipuum confluxit templum dei. (5445) cur autem ego longos sermones nectam? incessunt maledictis Andronicum, Isaaciumque dignum edicunt stemmate. insuper omnes carceribus clausos emittunt, atque turbam conficiunt maximam. (5450) tunc vero innumeros vidisses ensiferos, thoracibus et scutis armisque accinctos, alios denique lignis clavisque instructos. sic ergo adstante concione omnigena rex atque imperator Isaacius (5455) concordi labio a cunctis acclamatur, cum ei quidam in caput imponeret imperatoris maximi Constantini coronam, quae de sacra pendebat mensa. cum Andronicum tamen adhuc timens (5460) coronam Isaacius aegre admitteret, patruus eiusdem praesens Ioannes Ducas, vir canus, immo et calvus et senecio, denudans caput pileo, obsecrabat ut suam frontem redimerent stemmate. (5465) populus recalvastrum caput cernens,

λαβεῖν ἀπηγόρευσαν αὐτῷ τὸ στέφος,
γέροντ' ἐπ' αὐτοὺς βασιλεύειν μηκέτι
δι' Ἀνδρόνικον μὴ θέλειν εἰρηκότες,
πολλὰ παρ' αὐτοῦ τῶν κακῶν πεπονθότες.
Τέως δ' ὑπάρξας δημοπρόβλητος κράτωρ
Ἴσακος, ὡς ἄνωθεν ἱστορεῖν ἔφη,
ᾔει πρὸς οἴκους τοὺς βασιλείους βάδην
σὺν πατριάρχῃ καὶ λεῷ πλείστου στίφει.
Ἀνδρόνικος δ' ὢν ἐν Μηλουδίου δόμοις,
ἐπείπερ ἠνώτιστο τὰ πεπραγμένα,
ἧκε τριήρει πρὸς παλάτιον μέγα
ἐν ἀπτέρῳ δή τινι πεπλευκὼς τάχει.
ὡς οὖν ἀφῖκτο καὶ νεόχριστος κράτωρ,
ἀντιμαχεῖν ἤρξατο κρατάρχης γέρων,
ἱστοὺς ἀφιεὶς ὑψόθεν σὺν βραχέσιν
πᾶσιν ἐπιοῦσί τε καὶ στεφηφόρῳ.
ὡς τηνάλλως δ' ἔγνωκε μοχθεῖν τριγέρων,
πέδιλα ῥίψας κοκκοβαφῆ καὶ στέφος,
καὶ τοῦ τραχήλου σταυρὸν ἐκβαλὼν τάλας,
ἐνθεὶς δὲ κρατὶ βαρβαρικόν τι πῖλον,
ἐμβὰς τριήρει πρὸς Ταυροσκύθας ἔπλει.
εἴσω δ' Ἰσαάκιος ἀρχικῶν δόμων
εὐθὺς παρελθών, βασιλεύς τ' αὐτοκράτωρ
ἀναγορευθεὶς Ῥωμαΐδος τῆς ὅλης,
ἔστειλεν Ἀνδρόνικον ἄξοντας τάχος.
ὃν κατὰ Χηλὴν ἄστυ συνειληφότες,
ὡς φθὰς ἔφην, φεύγοντα πρὸς Ταυροσκύθας

negavit huic coronam se donaturum; aitque regem senem se iam nolle, Andronici causa, a quo malorum tantam nuper congeriem perpessi erant.

(5470) Tunc ergo a populo electus imperator Isaacius, ut meum hactenus carmen dixit, ad regiam pedetemtim ibat domum cum patriarcha populoque plurimo. at Andronicus in Meludii regia (5475) versans, ut gestam rem inaudiit, venit trireme ad palatium magnum, volucri nempe cursu fretum permeans. superveniente tunc novello Caesare, repugnare coepit armis senex dominus, (5480) tela cum paucis desuper coniiciens contra adventantes omnes atque Caesarem. sed cum se frustra laborare senex sensit, purpureas crepidas et coronam abiecit, crucemque miser collo abstulit; (5485) barbaricumque capiti imponens pileum, trireme inscensa ad Tauridem fugiebat; ingressus autem palatium Isaacius, statim Romani universi imperii dominus acclamatus atque imperator, (5490) misit qui Andronicum ad se retraherent; quem prope urbem Chelen compre-

ἄνακτι παρέστησαν Ἰσαακίῳ.
καὶ λοιπὸν οἵαις ἐξέτριψεν αἰκίαις
ὅσαις τε ποιναῖς Ἰσαάκιος κράτωρ
τὸν ἄθλιον γέροντα τόνδε καὶ βίαις,
οὐκ ἄν τις ἰσχύσειεν εἰπεῖν ῥᾳδίως·
ὅμως φράσαιμ' ἂν συνελὼν κατὰ σθένος.
Καθείργνυται πρῶτα μὲν οὗτος εἰς πόλιν,
δεσμοῖς σιδηροῖς ἐνδεθεὶς δειρὴν πόδας·
εἶτ' ἐμφανισθεὶς ἀθλίως οὕτως ἔχων
τῷ βασιλεῖ σκώμμασι βάλλεται τάλας
καὶ λοιδορησμῶν νιφάσιν ἀπειρίτων.
ῥαπίζεται μάστιξι γλουτοὺς καὶ ῥάχιν,
κάραν ψιλοῦται τῶν τριχῶν καὶ τὴν γένυν,
καὶ τοὺς ὀδόντας ἐξεκρούσθη πρὸς βίαν.
ἐκδίδοται παίγνιον ἄθυρμα γέλως
μισοῦσιν αὐτὸν καὶ κακοῦν ᾑρημένοις.
φέρει παροινίας τε μάστιγας ὕβρεις,
πυγμὰς κατὰ στόματος, ἄλλας αἰκίσεις,
κακῶν Ἰλιάδα τε καὶ τραγῳδίαν
καὶ συμφορῶν πέλαγος οὐ μετρούμενον.
καὶ πρὸς γυναικῶν ἐμπαροινεῖται πλέον
πρὸς τοῦδε φάος ὀμμάτων ἐσβεσμένων,
ἢ καὶ παθουσῶν ζημίαν τῶν συζύγων,
τυχὸν δὲ καὶ σφῶν ἐκτύφλωσιν ὀμμάτων,
πρὸς μισοφαοῦς τοῦδε φαύλης καρδίας.
τέλος καθεσθείς, ὢ ξένων ἀκουσμάτων,
ἐπὶ καμήλου ψωριώσης ἀθλίως

hensum, cum fugeret, ut diximus, ad Scythas Tauricos, imperatori obtulerunt Isaacio. quantis deinde attriverit cruciatibus (5495) quotque suppliciis Isaacius imperator infelicem hunc senem quotque poenis, vix est humano effabile eloquio, attamen dicam breviter pro viribus.

Urbano primum concluditur carcere, (5500) collum catenis vinctus atque pedes; atque hac tristi exhibitus in specie regi conviciis appetitur miser maledictisque obruitur innumeris; verberibus lumbos teritur et nates, (5505) barba et capillo carptim nudatur caput, excutiuntur dentes inflictis ictibus, ludibriique gratia ac risus traditur suis inimicis et carnificibus. fert petulantias contumelias verbera. (5510) tunditur os alapis, varie affligitur, malorum Iliadem tragoediamque patitur et miseriarum infinitum pelagus. maxime vero vexatur a feminis, quibus oculorum lumen eripuerat, (5515) vel maritos partim abstulerat partim effossis oculis excaecaverat pro sua saevitia mortalis hic pessimus. postremo impositus, hem auditu horribile! scabioso infeliciter camelo,

ὁ πρὶν βασιλεὺς αὐτοκράτωρ Αὐσόνων,
ὁ βασιλικοῖς ἀναδούμενος κρότοις,
δι᾽ ἀγορᾶς τε καὶ μέσης λεωφόρου
πομπεύεται κάκιστα συνειλεγμένοις,
σῶμα καλύπτων εὐτελεῖ τῷ ῥακίῳ,
ἀκαλυφές τε δεικνύων τὸ κρανίον,
οἰκτρά τις ὄψις, ἀκοὴ φρικαλέα,
πηγὰς δακρύων ἐκκαλούμεναι τάχα
οἷς ἡμέροις ὄμμασι πρὸς κακουμένους
καὶ συγγενὲς πέφυκεν ἀθρεῖν ἐνθέως.
ὁ ξυγκλύδων ὄχλος δὲ καὶ τῶν συρφάκων,
ἀλλαντοπῶλαι βυρσοδέψαι καὶ ῥάπται,
παλιγκαπήλων ἀλόγιστος φρατρία,
πομπῇ παρόντες καὶ θριάμβῳ τῷ τότε,
ἀτιμοποιῷ καὶ γελοιώδει πλέον,
οὐδὲν παρῆκαν αἰκίας τιμωρίας
εἶδός τι λοιπῆς κακίας βδελυρίας,
ὃ μὴ προσῆγον ἀσεβῶς Ἀνδρονίκῳ.
οἱ μὲν γὰρ αὐτῶν, ὢ περιττῆς μανίας,
ἔτυπτον ἐσπάραττον αὐτοῦ κρανίον
καὶ νῶτ᾽ ἀφειδῶς ταῖς κορύναις καὶ ξύλοις·
οἱ δ᾽ αὖ γε πλευρὰς καὶ νεφροὺς πρωκτὸν πάλιν
ξιφιδίοις ἔπειρον ἢ καὶ ῥαφίσιν.
ἄλλοι δ᾽ ἐμίνθουν τὴν ῥῖνα τοῖς βολβίτοις,
τῶν δ᾽ ὄψεων λύματα τὰ τῶν γαστέρων
σπόγγοις κατηκόντιζον αὐτοῦ συχνάκις.

5536 τε?

(5520) qui Romanorum nuper imperator, quem circa regii resonabant plausus, per forum ducitur perque vias publicas, triumphum turba spectante turpissimum, ipse vix tectus vili tunicula, (5525) tegmine nudum cranium ostentans; lugubre visu narratuque horribile, uberes lacrimas sine dubio eliciens mitibus ex oculis, qui solent miseros naturaque socios, prout fas est, aspicere. (5530) at plebeiorum vilissima colluvies, factores et coriarii ac sutores, dardanariorum stolida collegia, pompam ducentes triumphumque huiusmodi, vel potius id ludibrium et deridiculum, (5535) nullum praetermittebant poenae genus, opprobrii, maleficii, contumeliae, quin Andronico per nefas impingerent. alii siquidem, o vesanum furorem! percussum discerpebant ipsius cranium (5540) dorsumque ligneis inclementer clavis; alii latus renes atque podicem suffodiebant cultris atque subulis; alii inquinabant fimo nares bubulo; alii spurcitias corporum in vultum eius (5545) spongiis expressas saepe

οἱ δὲ θρασεῖς τε καὶ πλέον τολμητίαι
ἐλιθολεύστουν, ἀποκαλοῦντες κύνα
καὶ Κέρβερον θῆρά τε καὶ μιαιφόνον
καὶ τοῖσδε τὰ σύστοιχα. φεῦ τῆς μανίας.
ὡς ἂν δὲ φαίην ἐν βραχεῖ τὸ πᾶν λόγῳ,
οὐδεὶς ὑπῆρχε συναλισθείσης θέας
ὃς οὐ κακοῖς ἔβαλλε βλήμασι λόγοις
τὸν δυστυχῆ γέροντα τῷ τηνικάδε.
μία δὲ γυνὴ πορνικὴ λαγνιστάτη
ἐξ ὀπτανείου σκεῦος ἁρπάσασά τι
σφοδρῶς γε καχλάζοντος ὕδατος πλέον
τούτου παρειῶν ἐμμανῶς καταχέει.
τόσα δὲ παθὼν καὶ πολὺ τούτων πλέω
καὶ τηλικαῦτα δυσχερῶν ὁ γεννάδας
πρὸς συμφορῶν κύματα καὶ καταιγίδας
καὶ χαλεπῶν πέλαγος ἀντέχων ὅμως
καὶ νιφάδας φέρων τε κακῶν εὐψύχως,
ἐν πᾶσιν εὐχάριστος ἦν πρὸς δεσπότην,
ἐρρωμένον φρόνημα κἂν δεινοῖς ἔχων.
οὕτως δ᾽ ἀπαχθεὶς ἀτίμως ἐν σταδίῳ
ποδῶν ἀπῃώρητο, βραχύ τι πνέων,
ἐν τοῖς ἐκεῖ που καθιδρυμένοις στύλοις.
μετὰ δ᾽ ἀπῃώρησιν ἄφρονες πάλιν,
ὡς μὴ λαβόντες τοῦδε τῶν σαρκῶν κόρον,
αἰδῶ τε κακῶς παιδικούς τε διδύμους
χιτῶν᾽ ἀναστέλλοντες ἔδρων, ὢ πάθους.

coniiciebant: audaces autem quidam ac ferociores lapidibus adpetebant, dicentes canem et Cerberum atque feram sanguinariam, atque his similia per summum furorem. (5550) verum ut verba ad compendium conferam, nemo in immenso illo fuit spectaculo quin molestis ictibus et conviciis tunc infelicem senem verberaret. scortum denique quoddam impudentissimum (5555) correptam de culina in viam deferens ollam, fervente admodum aqua plenam, in Andronici effudit furiose genas. atque haec perpetiens multoque plura, contra tot mala durans vir magnanimus (5560) in tot dolorum fluctibus et procellis, tantoque miseriarum obluctans pelago, malorum inquam nimbo quamvis pressus, fortiter tamen domino agebat gratias, constantem in suppliciis mentem retinens. (5565) sic ergo in stadium ductus cum ignominia, parumper adhuc spirans ad columellas prostantes illic pedibus est suspensus. furiosus tamen populus necdum satur vorandis eius carnibus, suspensi miseri (5570) membris etiam genitalibus insultavit, tunicula reducta,

καὶ κατὰ τοῦ φάρυγγος ὡσεί τις ξίφος,
καί τις Λατίνων καθ' ἕδρας ἀκινάκην·
λοιποὶ περιστάντες δὲ τόνδε Λατίνων
τοῖς ξίφεσιν ἔπαιον αὐτοῦ σαρκίον,
συχνὰ καταφέροντες αὐτοῦ συντόνως,
πεῖραν δοκιμὴν προσλαβεῖν ᾑρημένοι
ὁποῖον αὐτῶν τμητικώτερον πέλει.
οὕτως ἐναθλῶν ἐν τοσαύταις βασάνοις
καὶ τηλικαύτῃ συμφορῶν τρικυμίᾳ
ψυχὴν ἐναπέρρηξεν αὐτοῦ πρὸς βίαν
ἐπὶ στυλίσκων ἀτίμως ἠρτημένος.
Τοιοῦτο τέρμα τοῦ κράτους καὶ τοῦ βίου
πολύτλας Ἀνδρόνικος εὗρεν ἐν βίῳ,
χρόνοις μὲν ἄρξας δυσί που στεφηφόρος,
κοινῶν δ' ἑνὶ κύριος ὢν τῶν πραγμάτων
ἄνευ χλαμύδος καὶ πολυτίμου στέφους.
ἦν οὖν φυὴν σώματος εὐφυὴς πάνυ,
ἡρωϊκόν τ' ὄρθιον εὖ φέρων δέμας,
ἀγητὸς εἶδος καὶ γεραρὸς εἰσάπαν,
σῶμα προδεικνὺς ὑγιές τ' ἐρρωμένον.
μεθ' ἡμέρας δὲ κατενεχθεὶς ὑψόθεν
ὁ τοῦδε νεκρὸς ἐν μιᾷ τῶν ἁψίδων
ἀτημελήτως ἐρρίφη τοῦ σταδίου·
εἶτα περί που τὴν μονὴν τὴν Ἐφόρου
ἔν τινι κατέθεντό τινες χωρίῳ.
ὀπτάνεται δὲ σῶμα τοῦδ' ᾑρημένοις
ἀκραιφνὲς ἀλώβητον εἰσέτι μένον.

hem pudorem! quidam acutum gladium per guttur egit, alius Latinus podicem ense fodit: Latini vero circumstantes reliqui (5575) gladiis caedebant miserum corpusculum ingeminatis continenter ictibus, sponsione velut mutua utri acutius acinaces ferirent experientes. sic Andronicus in suppliciis luctans (5580) in tantoque cruciatuum mari naufragus spiritum sibi violenter raptum in columellis illis effudit turpiter. atque hunc imperii vitaeque finem habuit homo aerumnosus, postquam imperaverat (5585) biennio fere stemmate revinctus, uno praeterea dominatus anno absque corona et purpurae decore. erat is egregia forma corporis, proceritate praeditus heroica, (5590) augusta facie et prorsus admirabili, praevalidaque utens valetudine. post aliquot autem dies de suspendio detractum eius cadaver in quodam stadii fornice sine cura proiectum iacuit, (5595) donec ad Ephori tandem monasterium composuerunt quidam in brevi loculo, ubi adhuc corpus spectatur a cupidis,

ψυχὴν δὲ παντάπασιν ἦν ἐκλιμπάνων
εἰς τοὺς θεαυγεῖς κήρυκος Παύλου λόγους,
ἀφ᾽ ὧν ἀπαντλῶν ἐκ πίδακος ὡς ξένης
ἐπιστολὰς ἤρδευεν αὑτοῦ καὶ λόγους,
ἃ συντιθεὶς ἦν εὐφυῶς καὶ συγγράφων.
οὗ καὶ θεόπτου Παύλου σεπτὴν εἰκόνα
καλλύνας Ἀνδρόνικος ἐν χρυσαργύρῳ,
νεῷ τεσσαράκοντα Χριστοῦ μαρτύρων
ἀνατεθεικώς, προσκυνῶν ἦν καὶ σέβων.
ἥτις ἀπεστάλαττεν ὀμμάτων δάκρυ
Ἀνδρονίκου φθάνοντος οἴκτιστον μόρον.
ὃ γνοὺς ἀκριβώσοντας ἐκπέμπει τάχος
τὴν ἀκοήν τε καὶ τὰ τῆσδε καθάπαξ
τὸν πιστόν οἱ Στέφανον ἄλλοις συνάμα.
ἐπεὶ δ᾽ ἀπῆλθον, ἀντιχριστοφορίτης
σπουδὴν ἐτίθει πάντα σαφῶς εἰδέναι,
ὡς πάντ᾽ ἀληθῶς μηνύσῃ πεπομφότι.
ὑφάσματι γοῦν ἀθιγεῖ Παύλου κόρας
σεπτῶς ἐναπέψησεν· αἱ δ᾽ ὥσπερ πίδαξ
δάκρυον ἀπέλειβον ὡς ψυχρὸν νᾶμα.
ἃ πρὸς θεατῶν Ἀνδρόνικος γνωρίσας,
μέγα στενάξας θαυμάσας τε πλειόνως,
κάραν ταλαντεύσας τε τῇδε κἀνθάδε,
αὑτοῦ χάριν εἴρηκε Παῦλον δακρύειν,
κακὸν προσημαίνοντα τῷδέ που τάχα·
φιλεῖν γὰρ αὐτὸν ἐκθύμως ἄγαν ἔφη,
καὶ οἱ τιμαλφῶν ἐξέχεσθαι ῥημάτων,

integritatem suam prorsus retinens. is autem toto deperibat animo (5600) apostoli divinas Pauli epistolas; a quibus, admiranda velut scatebra, in orationes suas et scripta ducebat rivulos, quae componebat nobili artificio. quin sacram Pauli caelispicis imaginem (5605) auro argentoque insignem Andronicus in quadraginta martyrum delubro a se dedicatam colebat admodum. haec autem Andronici instante fato oculis lacrimarum profudit guttas. (5610) audita re Andronicus statim misit ad explorandam famam studio sedulo fidelem sibi Stephanum cum comitibus. ergo profectus impius ille Stephanus curam impendit probe ut rem cognosceret (5615) veridicoque ore mittenti diceret. quamobrem Pauli oculos linteolo puro abstersit reverenter: is autem veluti fons lacrimarum frigidum fudit rivum. id quod ubi intellexit a spectatoribus, (5620) ingemuit Andronicus, miransque plurimum, caput hac illac quassans, Paulum ait lacrimas illas sua causa profundere, aliquid forte mali portendentem: nam se Paulum amare effictim dixit, (5625) eiusque

πρὸς τοῦδε λοιπὸν ἀντιφιλεῖσθαι δέον.
ὅ τι δὲ κακὸν προὔλεγον τὰ δακρύων,
εἴρηκε σαφῶς ἀνόπιν πεφρασμένα.

Ἰσαάκιος ὁ Ἄγγελος ἔτη θ' ϛ'.

Ὡς οὖν ἐπιβέβηκεν οὕτω ῥᾳδίως
Ἰσαάκιος Αὐσόνων κραταρχίας,
ἱλαρὸς εὐέντευκτος ἦν ὑπηκόοις,
ἡδὺς προσηνὴς καὶ φιλοικτίρμων ὅλοις.
παρ᾽ Ἀνδρονίκου τοὺς κακῶς πεπονθότας
ἢ τῶν ἐνόντων ἐκπεσόντας ἀδίκως
ἢ σώματός τι τῶν μελῶν τετμημένους
ἐδεξιοῦτο δωρεαῖς σφᾶς ἀφθόνως,
ἀφαιρεθεῖσιν ἀποτιννὺς οὐσίας.
ἄναξ γὰρ οὗτος, ἵνα συλλήβδην φράσω,
ὑπῆρχεν ἐκφὺς εὐγενοῦς λαμπροῦ γένους
Κομνηνιαδῶν Ἀγγέλων ὑμνουμένων,
νεανίας κάλλιστος, εὐπρεπὴς λίαν,
ἀκμαῖος εὐμήκης τε καὶ ῥωμαλέος,
εὔρωστος ἰσχὺν καὶ σθεναρὸς τὰς χέρας,
μείλιχος, εὐπρόσιτος, εὐσεβὴς ἄγαν,
ἐς μητράνανδρον παρθένον πίστιν τρέφων
ἄρρητον εἰπεῖν καὶ τιμὴν σέβας σχέσιν,
λόγων ἑταῖρος ἑρμαϊκὸς χαρίεις,
τιμῶν λόγους εὖ καὶ λόγων τοὺς πατέρας,
οἴκτῳ πενήτων καὶ φιλευσπλάγχνοις τρόποις

summe verba pretiosa colere; quare se amari ab illo vicissim aequum. quid autem mali lacrimae praedicerent, a me superius dicta perspicue docent.

Isaacius Angelus an. 8 *mens.* 6.

Igitur postquam tam facile obtinuit (5630) Romani imperii thronum Isaacius, hilaris erat, subditis accessu facilis, suavis, mitis, erga omnes clemens. is ab Andronico male passos vel iniuste bonis pulsos propriis (5635) vel membro aliquo corporis mulcatos prolixis beneficiis recreabat, reddens ablata cunctis patrimonia. hic enim Caesar, ut summatim dicam, genitus erat nobili illustri genere, (5640) e Comneniadis agnomento Angelis, speciosus valde iuvenis et pulcherrimus, floridus, validus, corpore procero, viribus praepollens fortique manu, comis, benivolus, apprimeque pius, (5645) erga deiparam miram fiduciam gerens eamque summa religione colens, literarum amans, gratiosus, doctus, literas ac literatos honorans simul; misericordi animo erga ege-

εὐποιίᾳ τε τὴν ψυχὴν κεκασμένος,
μεταδοτικὸς συμπαθὴς στερουμένοις,
εὐεργετῶν ἅπαντας ἀπορουμένους,
πτωχοὺς πένητας ὀρφανοὺς χήρας ξένους.
ἦν καὶ χορηγῶν παρθένοις τὰ πρὸς γάμους,
καὶ πανδοχεῖα καὶ καχεκτούντων δόμους
ἀνανεῶν τε φιλοτίμως καλλύνων
εἰς ἀνάπαυσιν, εἰς ἴασιν τῆς νόσου
τῶν συνιόντων ἀσθενῶν πτωχῶν ξένων,
τὰ πρὸς δαπάνην προσνέμων μάλα σφίσιν,
ἦθος μαλακός, νωχελής, ἀνειμένος,
πολυτελὴς δίαιταν ἐσθῆτας ἅμα,
τράπεζαν ἀεὶ Σολομώντειον φέρων
καὶ καινοφανεῖς στολὰς καθ᾽ ἡμέραν,
μεταδοτικὸς βρωμάτων διακόνοις.
ἐχρῆτο λουτροῖς ἑβδομάδος πολλάκις,
ὠσφραίνετ᾽ ἀεὶ καὶ μύρων εὐωδίας,
καὶ φιλόκαλος ὡς ταὼν καὶ νυμφίος
ἀεὶ προῄει τῶν βασιλείων δόμων.
ὀργίλος ἦν τις καὶ θυμῷ πλέον νέμων·
πλὴν εἶχε θυμὸν συμπαθεῖ κεκραμένον.
οὐ διέπων κάλλιστα τὴν κραταρχίαν
καινουργὸς ὑπῆν πραγμάτων παραλόγων,
λουτρὰ διαιτήσεις τε καὶ λαμπροὺς δόμους
δομούμενος κτίζων τε καινίζων ξένως,
ἐκκλησίας ἔθιμα καινουργῶν φύρων,

5663 δὲ στολάς?

nos, (5650) ad beneficia conferenda pronus, largus opum, indigos caritate fovens, cunctis subveniens necessitatibus, inopibus mendicis viduis pupillis advenis, virgines quoque dotabat ad nuptias; (5655) publica hospitia atque nosocomia instaurabat studioseque ornabat ad requiem corporum morborumque curam; quicumque convenissent infirmi, pauperes, omnia ad victum affluenter tribuens. (5660) ceterum mollis moribus, ignavus, socors, et sumptuosus valde victu et vestibus. convivium semper Solomonteum apparans, semetque novis stolis quotidie exornans, lautasque suis ministris largiens epulas. (5665) saepe utebatur balneis in hebdomada, unguentorum semper odore fragrans; exornatusque ut sponsus vel ut pavo procedere de regiis solebat aedibus. idem promptus ad iram eique indulgens, (5670) misericordiam tamen irae admiscens. nec vero imperium administrans optime, sed inconsultus potius novator rerum; caenacula, balinea, domos splendidas fundans aedificans sumptuoseque instaurans; (5675) statuta ecclesiae inno-

ὃν μὲν καθιστὰς ποιμεναρχῶν εἰς θρόνον,
ὃν δ' ἐξάγων αὖ καὶ μόνῃ προαιρέσει.
Τούτῳ προσῆλθε τοῦ κράτους τετευχότι
ἀνδρῶν ἀπειράριθμον εὐσθενῶν στῖφος
ἐκ Ῥωμαϊκῶν ἀστέων πανταχόθεν
χώρων τε λοιπῶν τῆς ἕω τῆς ἑσπέρας,
οὓς εἰς στρατιὰν ἀποτάξας ὡς δέον
Ῥωμαϊκοῖς τάγμασιν ἐγκαταλέγει.
καὶ τοῖς θύραθεν οὖσι ταγμάτων πάλιν
ὀψώνια πέπομφε καὶ πλείστας δόσεις,
πρὸς τὴν κατ' ἐχθρῶν παραθαρρύνων μάχην,
κεντηνάρια χρυσίου στείλας σφίσι
ποσούμενα ξύμπαντα τετράκις δέκα.
ἦν δ', ὡς ἔφην, στράτευμα Σικελῶν ἄνω
πόλεις ἐπιὸν Ῥωμαϊκὰς καὶ τρύχον.
Σέρρας μὲν ἐμαύρωσε Στρυμόνος τόπους,
Ἀμφίπολιν δὲ τειχομαχίᾳ πόλιν
ἤδη παρεστήσαντο σὺν τοῖς ἐν κύκλῳ.
εἷλον Βολερόν, Μοσυνόπολιν πόλιν,
καὶ τὴν βασιλεύουσαν αἱρήσειν πόλιν
ὡς νοσσιὰν ἔρημον ᾤοντ' αὐτίκα,
κύκλῳ περιστήσοντες αὐτῶν δυνάμεις.
καὶ σφῶν στόλος δὲ νησίσιν ἀμφιρρύτοις
ἐλλιμενίζει ταῖς περὶ πόλιν φθάσας.
ἀλλὰ στρατηγὸς στρατιᾶς τῆς Αὐσόνων
Βρανᾶς, ἀνήρ τις γεννάδας βουληφόρος,
ἐχθροῖς Ἰταλοῖς συμπλακεὶς κατὰ μάχην

vans perturbans; pastores alios in sede constituens, alios per solum deturbans arbitrium.

Ad hunc regnantem convenerunt undique fortium virorum innumerae catervae (5680) ex urbibus Romanis aliisque terris tum orientalis orbis tum occidui, e quibus iustum conscribens exercitum adnumeravit Romanis legionibus. militibus quin etiam extra metropolim, (5685) ut propulsandis hostibus promptis faceret, victum submisit lautaque stipendia, auri summam cuius pondo centenarios quadraginta appenderet. iam vero, ut retro diximus, miles Siculus (5690) Romanas urbes vexabat concursans: Serras orasque Strymonis devastaverat; urbem Amphipolim expugnatis moenibus ceperat nuper cum propinquis locis; Boleron occupaverat cum Mosynopoli; (5695) ipsamque urbem se capturum regiam ceu nidum derelictum autumabat, copiis suis moenia circumdans. iamque etiam classis Sicula stationem in suburbanis insulis insederat. (5700) verum Romani ductor exercitus Branas, vir magnanimus et con-

θεοῦ συνάρσει συντρίβοντος τὰς μάχας,
τρόπαιον ἱστᾷ κατὰ βαρβάρων μέγα,
καὶ πλεῖστον εἰργάσατο Σικελῶν φόνον,
ζωγρεῖ τε καὶ σφῶν τοὺς λοχαγοὺς ταγμάτων,
τὸν Ῥικάρδον τε καὶ Βαλδουῖνον κόντον,
οὓς βασιλεῖ πέπομφε πρὸς πόλιν κράτους.
ζωγρεῖ δὲ σὺν οἷς ἐρρέθη στρατηγέταις
Κομνηνὸν Ἀλέξιον, πατρίδος φθόρον
ῥέκτην τε κακῶν κυκεῶνά τε ζάλης,
καὶ φωτὸς ἐστέρησεν αὐτὸν ὀμμάτων.
ὅσοι δ' Ἰταλῶν ἐξέφυγον τὸν φόνον,
Θεσσαλονίκην καταλαβόντες πόλιν
ναυσὶν ἀπηλλάττοντο πρὸς τὴν πατρίδα.
ὅσοι δ' ἐναλύοντες ἦσαν τῇ πόλει,
κακοὶ κακῶς ὤλλυντο δικαίως ξίφει,
ἐπιφθασάσης στρατιᾶς σφᾶς Αὐσόνων.
πάντες δ' ἀπεσφάττοντο Σικελοὶ σπάθῃ
ἄλλοις τε πολλοῖς ἀνδράσιν εὐκαρδίοις,
τοῖς δ' Ἀλανοῖς μάλιστα συμμάχοις τότε·
ἀντίρροπα δρῶντες γὰρ οὗτοι Λατίνους
ὧν πρὶν καθυπέστησαν ἀσπλάγχνῳ τρόπῳ
ἐπὶ κατασχέσει γε Θεσσαλονίκης,
ἐπῆγον εὐθὺς τὸ ξίφος κατὰ κάρας
"ποῦ σύγγονος" φάσκοντες "ἢ συμφυλέτης;"
οὓς πρὶν ἀνεῖλον δηλαδὴ κατὰ πόλιν.
τούτων δὲ ναοῖς προσπεφευγότας πάλιν
σφάττοντες ἀνέκραζον ἐν παρρησίᾳ

siliosus, Italo cum hoste consertis manibus, numinis proelia inclinantis ope, magnum de barbaris rettulit tropaeum (5705) et Siculorum plurimam stragem edidit. vivos quin etiam legionum duces Ricardum cepit Balduinumque comitem, quos in metropolim misit ad Caesarem. captivum fecit cum praedictis ducibus (5710) exitium patriae Comnenum Alexium, malorum causam et procellae flabrum, atque oculorum lumine privavit. quotquot autem Itali effugerunt caedem, Thessalonicam properantes urbem (5715) navibus abierunt in patriam suam. qui vero in illa substiterunt urbe, malos male iustus ense perdidit, superveniente exercitu Romano. ergo omnes Siculi peribant gladio (5720) magnanimorum domiti virorum manibus, praesertim ab Alanis tunc auxiliaribus, talionem siquidem reddentes Latinis, saevitiaeque memores recentis Thessalonica capta quam exprompserant, (5725) recta capitibus enses impingebant, fratrum suorum gentiliumque vindices quos illi nempe per urbem mactaverant. quodsi qui ad sacra asyla confugiebant, hos in-

"ποῦ ποῦ παπᾶς πέφυκεν ἀνῃρημένος;"
οὓς ἐν νεῴς ἔκτειναν οἱ μιαιφόνοι.
ἐπὰν ὑπῆρχε καθορᾶν τι καὶ ξένον,
τοὺς κύνας οὐ θίγοντας ἀστῶν σωμάτων
τῶν νεκριμαίων ἀμφόδοις ἐρριμμένων,
τοῖς δ' Ἰταλῶν πτώμασι τῷ τηνικάδε
ἐπιμανέντας ἐσθίειν κατὰ κόρον
καὶ τυμβορυκτεῖν, εἰ δεήσει, πολλάκις.
Οὕτως ἀπηλάθη μὲν ἐκ Θεσσαλίας
ἡ Σικελικὴ στρατιὰ σὺν αἰσχύνῃ·
αἱ δὲ τριήρεις αἱ κατὰ Βυζαντίδος
ἐκπλεύσασαι σφῶν, ὡς ἔφαμεν ἀνόπιν,
κακῶς παθοῦσαι πρὸς στρατιᾶς Αὐσόνων
πλείστους τε ναυτῶν ἀποβαλοῦσαι μόρῳ,
οὖσαι περί που δὶς ἑκατὸν καὶ πλέον,
ᾤχοντ' ἀγεννῶς ἀκλεῶς πρὸς πατρίδα·
ὧν, φασί, πολλαὶ κατέδυσαν εἰς βάθος
κατά γε τὸν πλοῦν πνευμάτων καταιγίσι
περιπεσοῦσαι καὶ κλύδωνι καὶ σάλῳ,
ὡς ἀπολέσθαι κατὰ τάσδε τὰς μάχας
ἀνδρῶν Ἰταλῶν μαχίμων πρὸς Αὐσόνων
πλείους σχεδόν που χιλιοστύων δέκα,
καὶ συσχεθῆναι κατὰ διπλῆν μάχην
ἄνδρας Σικελοὺς τέτταρας χιλιάδας,
οἳ δημοσίαις φυλακαῖς καθειργμένοι
ὤλοντο λιμῷ καὶ κρύει καὶ τῇ νόσῳ.

5752 κατὰ τὴν?

gulantes clamabant ferociter (5730) "ubinam est occisus per vos sacerdos?" nam et se sacris caedibus impiaverant. tum et mirandum quiddam videre licuit, canes parcentes civium corporibus, si quae proiecta iacebant in vicis, (5735) at Italorum certatim cadavera avida fame ibidem devorantes, quin et sepulchris saepe protrahentes.

Sic e Thessalicis pulsus fuit finibus cum ignominia Siculus exercitus. (5740) triremes autem, ut superius diximus, Byzantina urbe fugientes procul male a Romano milite sunt mulcatae, atque amiserunt plurimam turbam nauticam; cumque ducentae essent vel etiam plures, (5745) turpiter victae fugiebant in patriam. quarum permultas fama est in cursu, ventorum vim perpessas et tempestatis naufragas medio periisse mari. quare in his proeliis bellatores Itali (5750) contra Romanum decertantes militem occubuerunt decies ferme mille; terrestrique simul et maritimo bello sunt capti quater mille Siculi, qui carceribus publicis conclusi (5755) frigore sunt enecti et morbo et fame.

Ἠγάγεθ᾽ οὗτος καὶ σύνευνον δευτέραν,
πρώτης θανούσης, παῖδα ῥηγὸς Οὐγγρίας·
ἧς οὐ θελήσας νυμφικὴν δαῖτα γάμους
ἐκ δημοσίων χρημάτων ἑστιᾶσαι
φειδοῖ τε τούτων καὶ φιλοχρύσῳ τρόπῳ,
ἐκ τῶν ὑπ᾽ αὐτὸν ἀστέων ὑπηκόων
χωρῶν τε λοιπῶν ἦν τάδ᾽ ἠρανισμένος.
ὧν χάριν Μυσῶν ἐκταραχθέν πως ἔθνος
κατ᾽ Αἷμον οἰκοῦν, οἳ κικλήσκονται Βλάχοι,
ἀπεστάτησεν Αὐσόνων κραταρχίας,
ἀφαίρεσιν σφῶν θρεμμάτων εὑρηκότες,
τὴν Πάτροκλος πρόφασιν, ἧ φησὶν λόγος,
καὶ συνεπαλείφουσαν αὐτοὺς πρὸς τόδε
δυάδ᾽ ἀδελφῶν, Ἀσάνην τε καὶ Πέτρον,
καὶ τούσδε Μυσοὺς καὶ γένος καὶ τὸν τρόπον·
οἳ πρὶν ὀκνοῦντας βαρβάρους συμφυλέτας
ἀποστασίαν καὶ τὸ ῥαγῆναι κράτους,
σφᾶς παραθαρρύνουσι δραματουργίᾳ
ἢ μᾶλλον εἰπεῖν δαιμονιώδει πλάνῃ.
περιφανῆ κτίζουσιν ἱερὸν δόμον
μυροβλύτῃ μάρτυρι τῷ Δημητρίῳ,
εἰς ὃν θιασώτας γέ τινας δαιμόνων
ἐνθουσιῶντας ἐμβιβάσαντες δόλῳ,
διαστρόφους κόρας τε χαίτας ἀνέτους,

5776 cognomentum hoc s. Demetrio attribuitur etiam in argentea tabella cum his literis in Christianis inscriptionibus αὕτη ἡ στάμνος φέρει μύρον ἅγιον ἐκ τοῦ φρέατος ἀντλήσασα, ἐν ᾧ τὸ σῶμα τοῦ μυροβλύτου θείου Δημητρίου τοῦτο ἀναβλύζον κεῖται. M.

Alteram duxit Isaacius coniugem, mortua priore, Ungarici regis filiam: quarum nuptiarum sponsalisque pompae nolens de fisco regio impensas facere, (5760) dum huic parcit victus avaritia, coepit pecuniam subditis ex urbibus et reliquis castellis coacervare. unde commoti populi Moesorum, incolae Haemi, qui dicuntur Blachi, (5765) fidem Romano negarunt imperio, propterea quod suis gregibus spoliabantur: Patroclus occasio, ut est in proverbio. ad id praeterea facinus sunt compulsi a fratribus duobus Asane et Petro, (5770) Moesis et ipsis genere et ingenio. hi populares suos, qui deficere a partibus imperii subtimebant, exacuerunt callido artificio, seu daemoniaca fraude, ut rectius dicam. (5775) splendidum isti condiderunt fanum Demetrio martyri unguentifluo, ibique quosdam familiares daemonum, lymphatos homines, dolose collocarunt, oculos distorquentes, effusis comis;

τοιάδε θείας ἐξ ἐπιπνοίας τάχα
λέγειν ὑπηγόρευον αὐτοῖς εἰς ὄλους,
ὅτι θεὸς Μυσῶν τε Βουλγάρων γένους
ἐλευθερίαν εὐδοκεῖ, ζυγοῦ λύσιν·
ταῦτ' ἄρα λιπεῖν καὶ Δημήτριον μέγαν
Θεσσαλονίκην καὶ νεῷ κάλλος ξένου
διατριβάς τε Ῥωμαϊκὰς καθάπαξ,
ἐλθεῖν πρὸς αὐτοὺς συμμαχήσοντα σφίσι·
μέλλειν τὸ λοιπὸν οὐδὲ βραδύνειν ἔνι,
χρεὼν δὲ κινεῖν κατὰ Ῥωμαίων ὅπλα,
ἀνηλεῶς κτείνειν τε τούτους ἐν μάχῃ,
ζωγρεῖν δὲ μηδέν, μηδ' ἐπὶ λύτροις λύειν.
τοιαῦτ' ἀνακράζοντες οἱ θεοπρόποι
ὅπλων γενέσθαι κατέπεισαν βαρβάρους,
καὶ τὰ κατ' Αἷμον Ῥωμαϊκὰ χωρία
κατέδραμον ξύμπαντα κείροντες βίᾳ.
Πέτρος δ' ἀναδεῖ καὶ χρυσῷ στέφει κάραν
καὶ φοινικοῦν πέδιλον εἱλίσσει πόδας.
ὅθεν κατ' αὐτῶν ἐκστρατεύσας ὁ κράτωρ
ἐτρέψατο σφᾶς καὶ τίθησι φυγάδας.
Ἀσὰν δὲ Πέτρος, κακίας ἀρχηγέται,
Ἴστρον διαβαίνουσι σὺν ἀποστάταις
καὶ συνέμιξαν βαρβάροις παριστρίοις·
ἄναξ δ' ἐπελθεῖν Μυσίας πάσης ὅρους
καὶ τὰ κατ' αὐτὴν εὖ διαθέσθαι πάνυ
τῇ κωλυσόντων ἰσχύων ἐρημίᾳ,
τοιοῦτον οὐδὲν ὦπτο κατειργασμένος,

(5780) atque his mandarunt ut tanquam inspirati sic loquerentur inter multitudinem, deum Bulgaros atque Moesos in libertatem vindicare velle; propterea Demetrium quoque magnum (5785) Thessalonicam cum suo templo insigni atque Romanos deserentem sedes huc demigrasse opem allaturum. quare iam mora protinus abrupta armis Romanos commotis appeterent, (5790) eosque in proelio sine venia occiderent, neminem vivum pretio dimitterent. haec inclamantes Bacchici divini persuaserunt barbaris ut arma caperent; qui Romanam dicionem ad Haemum sitam (5795) concursaverunt totam diripientes. Petrus quin etiam aurea corona caput vinxit, et pedes calceis purpureis. hos ergo aggressus armis imperator proelio victos compulit in fugam. (5800) Asan vero Petrusque, auctores sceleris, Istro transmisso cum suis rebellibus adiunxere se barbaris loci accolis. Caesar cum posset universam Moesiam percurrere recteque eam componere, (5805) quoniam nuspiam quisquam resistebat, utile nihil ad tutelam praestitit. inflammatis igitur frumenti

πυρὶ δὲ καρπῶν παραδοὺς θημωνίας,
καὶ ταῖς ἀπάταις ὑπαχθεὶς ταῖς τῶν Βλάχων,
παλινδρομεῖ δὴ πρὸς πόλιν βασιλίδα,
τἀκεῖ λελοιπὼς ὠδίνοντα πραγμάτων.
Ἀσὰν δὲ Πέτρος σὺν Σκύθαις εἰς πατρίδα
αὖθις ἐπανέδραμον ἀνυποστόλως.
ἐπῄεσαν οὖν Ῥωμαϊκοῖς χωρίοις,
λείαν Μυσῶν ἅπαντα δρῶντες, ὡς λόγος.
Καθ᾽ ὧν ἀφῖκτο σὺν στρατιᾷ μυρίᾳ
στρατηγὸς Ἀλέξιος Βρανᾶς τοὐπίκλην·
ὃς δὴ τρέφων ἔρωτα πάλαι τοῦ στέφους
καὶ τηνικαῦτα συνδρομὴν σχὼν ταγμάτων,
ἀποστατήσας, σύμβολα τὰ τοῦ κράτους
αὑτῷ περιθεὶς πρὸς Βυζαντίδα τρέχει.
καὶ δὴ πρὸ τειχῶν ηὐλίσατό που φθάσας,
πειρώμενος λόγοις τε τοῖς ὅπλοις πλέον
ἀστυπολιτῶν ὡς ἐνῆν καθ᾽ ἡμέραν.
καὶ βασιλεὺς δὲ στρατιὰν συναλίσας
ἀνδρῶν ὁπλιτῶν ἐκφύλων ἀλλοθρόων,
Σκυθῶν Ἰταλῶν Ἀγαρηνῶν Ἰβήρων,
Ἰταλιώτου Κορράδου συμβουλίᾳ,
ἀντεκατέστη τῷ τυράννῳ πρὸς μάχην.
ὑπῆρχε δ᾽ ἐκφὺς εὐπατριδῶν πατέρων
τῶν παρ᾽ Ἰταλοῖς ἀρχικῶν ὁ Κορράδος,
ἀνὴρ περιώνυμος ἐν καλοῖς ὅλοις,
λαχὼν φυσικὴν εἴ γέ τις εὐκληρίαν

5823 *ἐνὸν* V

cumulis, simul Blachorum fraudibus deceptus, ad urbem regiam rettulit inde pedem, (5810) relictis ibi rebus in discrimine. tum Asan atque Petrus assumptis Scythis in patriam redeunt, prohibente nemine, rursusque ingressi Romanas regiones Moesis exercent dignum latrocinium.

(5815) Contra hos venit cum innumero exercitu Alexius dux cognomento Branas, qui regiae iamdiu inhians coronae, nunc conspirantes legiones nactus, a Caesare deficiens sumpsit purpuram, (5820) atque Byzantium concito cursu veniens constitit improvisus ante moenia; ibique civium, verbis et armis magis, sollicitabat valde quotidie animos. sed imperator congregato exercitu (5825) ex viris militaribus externi generis, Italis Scythis Iberis Turcis, Italici Corradi consilio impulsus ausus est pugna tyranno resistere. nobili genitus fuerat de genere (5830) Italicorum principum Corradus, vir clarus, omni laude florentissimus, naturae dotibus praeditus eximiis, mentis sapientia viribus cor-

φρενῶν τε βαθύτητα, σώματος σθένος,
δραστήριος μάχας τε καὶ ῥωμαλέος,
γαμβρὸς κρατοῦντος εἰς σύναιμον τυγχάνων,
θεόσδοτον δώρημα φανεὶς τῷ τότε
ἄνακτι τῷδε κατὰ τήνδε τὴν μάχην.
ὃς ἐκ Λατίνων συναγείρας ἱππότας
ἀρειμανίους δὶς ἑκατὸν καὶ πλέον,
πεζοὺς καταφράκτους δὲ πεντακοσίους,
ἡγεῖτο τῶνδε καὶ κατορθοῖ τὴν νίκην.
παρῆν δὲ κατάφρακτος ὅπλοις καὶ κράτωρ
μετὰ στρατηγῶν εὐσθενῶν τε ταγμάτων.
ἐπεὶ δ' ὑπῆρχε συμπλοκῆς καιρὸς μάχης,
εὐώνυμον μὲν εἶχε Καμμύτζης κέρας,
πρωτοστράτωρ ὢν εὐγενὴς βουληφόρος,
τὸ δεξιὸν δὲ βασιλεὺς ἦν διέπων,
σὺν Ἰταλοῖς δ' ἴθυνε Κορράδος μέσον.
καὶ Βρανᾶς δ' ἐξήταζεν αὐτοῦ δυνάμεις,
μέσον μὲν αὐτὸς κατέχων τῶν ταγμάτων,
τὰ δ' αὖ ἑκατέρωθεν ἰλάρχαι πάλιν.
καὶ συρραγείσης παρ' ἑκατέρων μάχης,
ἵν' ὡς ἔπος φράσαιμι συνελὼν λόγῳ,
πίπτει Βρανᾶς αἴσχιστα Κορράδου ξίφει,
καὶ τὴν κεφαλὴν τέμνεται παραυτίκα,
καὶ τέρμα μάχη καὶ τυραννὶς λαμβάνει.
ἐπεὶ δ' ἐπρεσβεύσαντο πρὸς βασιλέα
οἷς περ μετῆν σθένους τε λαμπροῦ καὶ γένους,
ἐκλιπαροῦντες λύσιν εὑρεῖν πταισμάτων,

pereis, strenuus patrandis proeliis et praevalidus, (5835) Caesaris sororem in coniugio habens, vere caeleste per id tempus donum regi concessum ob imminens discrimen. hic Latinis collectis equitibus, Martem spirantibus, paulo plus ducentis, (5840) cataphractisque peditibus quingentis, ducem se praebuit victoriamque rettulit. Caesar quin etiam loricatus affuit cum ducibus ac fortibus ordinibus. cumque iam acies essent in procinctu, (5845) sinistro cornu praefuit Cammytzes protostrator et nobilis consiliarius; dexterum ipse Caesar cornu rexit; medium tenuit Corradus exercitum. aciem et Branas ordinavit suam, (5850) mediam ipse occupans phalangem, alas tribunis regendas attribuens. mox concurrentibus utrimque aciebus, ut paucis verbis tantam rem complectar, Corradi Branas cadit ense turpiter (5855) eique caput statim amputatur, fitque simul pugnae finis et tyrannidi. deinde nobiles, qui rebelles fuerant, legationem ad Caesarem submiserunt, criminis

ἄναξ βραβεύει πᾶσι τὴν ἀμνηστίαν,
καὶ προσδραμόντας εὐμενῶς δεδεγμένος
πᾶσι κεχρῆσθαι γνησίῳ μεταμέλῳ
ἐπὶ παραβάσει γε φρικτῶν ὁρκίων
τῶν πρὶν πρὸς αὐτὸν ὑπετίθει σὺν λόγῳ,
λύσιν δ' ἀναθέματος αἰτεῖν αὖ πάλιν
παρ' ἀρχιθύτου τῆσδε τῆς Κωνσταντίνου,
ᾧ σφᾶς καθυπέβαλον ἀστοὶ πρὸ τρίτης
ἑστῶτες ἄνω τειχέων πυργωμάτων
καὶ δρώμενα βλέποντες αὐτοῖς ἀνόμως.
καὶ τῶνδε πολλοὶ τῶν κακῶν ᾐσθημένοι
θερμῶς προσῆλθον τῷ μεγάλῳ ποιμένι·
ἄλλοι δὲ δόξαν εἰσδοχῆς δεδωκότες
τῇ τῆς κεφαλῆς κατανεύσει καὶ μόνῃ,
ὡς λῆρον ἡγήσαντο τὴν συμβουλίαν.
Κατὰ Μυσῶν ἔξεισιν καὶ πάλιν ἄναξ,
καὶ τὰς κατ' αὐτοὺς ἐκδρομὰς τὰς ἀσχέτους
πάνυ τι μικρὸν ἀναχαιτίσας ὅπλοις
τὴν Ἀδριανοῦ καταλαμβάνει πόλιν.
Μυσοὶ δὲ κώμας κατέκειρον καὶ πάλιν
τὰς πρὸς Φιλιππούπολιν κατοικουμένας.
ἀφιγμένου δ' ἄνακτος εἰς πάσχον μέρος,
ἀφ' ὧν ἀπανίστατο χωρίων ἄναξ,
ἐκεῖσ' ἐπῄει δύστροπον Μυσῶν ἔθνος.
οὗτος θέλων οὖν ἀμύνασθαι βαρβάρους
ἐφίσταται δὴ τοῖς ὅροις Τριαδίτζης,
καὶ μηδ' ὁτιοῦν ἐκ κρύους διανύσας

veniam sibi deposcentes. (5860) Caesar se praebuit cunctis indulgentem, atque accedentes benivole excipiens, cunctis prudenter veram paenitentiam violatorum foederum suadebat, atque ut sacri vinclis anathematis (5865) a patriarcha Byzantinae urbis peterent solvi, quibus ante triduum a civibus obstricti rite fuerant, cum summis moeniis stantes atque turribus mala rebellium spectarent facinora. (5870) atque in his multi tacti paenitentia ad magnum praesulem fervide accedebant: at alii vanam speciem consensus capitis nutu tenus simulantes, exhortationem Caesaris ridebant.

(5875) Ipse profectus iterum in Moesiam hostium effusas passim excursiones sane parumper armis compescuit, progressus usque ad urbem Hadriani, interim Moesi devastabant rursus (5880) circa Philippi civitatem pagos. dum laboranti rex parti succurrit, locum quem vacuum abiens reliquerat, contumax statim Moesa gens tenebat. barbaros ergo debellare studens (5885) ad Triaditsae contulit se fines. sed cum rigente

εὔζωνος αὐτὸς τὴν Κωνσταντίνου φθάνει,
στρατὸν παρεικὼς αὐτόθι παραμένειν,
ἵππων ἁμίλλαις ἐντρυφῶν καὶ παιγνίοις.
ἦρος δ' ἀπαίρει τῆς Κωνσταντίνου πάλιν,
καὶ τοὺς Μυσοὺς μέτεισιν αὖθις τοῖς ὅπλοις.
περὶ δὲ παράστασιν ἱδρώσας πάνυ
τινὸς Λοβιτζοῦ φρουρίου τῶν αὐτόθι,
καὶ τοὔργον ἀνήνυτον ἀφεικὼς πάλιν
πρὸς τὴν βασιλεύουσαν εἴσεισι πόλιν·
αἱ χάριτες γὰρ τῆς καλῆς Προποντίδος
αἱ καλλοναί τε τῆσδε καὶ κάλλη δόμων,
τερπνὰ κυνηγέσια σὺν ἱππασίᾳ,
τῶν ἰχθύων ἄγρα τε σὺν εὐθυμίᾳ
μακρὸν θυραῖον τυγχάνειν οὐκ ἠφίει,
ἀλλὰ τρέχειν ἤπειγον αὐτὸν πρὸς τάδε.
κατέσχεν ἄναξ γαμετὴν Ἀσὰν τότε,
καὶ θάτερον δὲ συγγόνων Ἰωάννην
εἴληφε, δόντων εἰς ὁμηρείας λόγον·
ὃς ὕστερον δέδρακε Ῥωμαίων πόλεις
κάκιστα πάντων, φεῦ μισανθρώπου τρόπου.
Τούτου κρατοῦντος τοῦ βασιλείου κράτους,
ἀποστατήσας καὶ Μαγκαφᾶς τοὐπίκλην
Θεόδωρός τις, Φιλαδελφεὺς τῷ γένει,
κατατυραννεῖ πατρίδος καὶ Λυδίας,
καὶ πλεῖστα δεινῶν εἰργάσατο τὰς πόλεις
κώμας τε λοιπάς, αἷς ἐπῄει σὺν ὅπλοις.
ἄναξ δ' ἐπιστὰς Φιλαδελφείας ὅροις

hieme nil proficeret, expeditus ipse Byzantium venit; dumque illic miles manet sub Iove frigido, circi spectabat ludicra certamina. (5890) attamen verno tempore Byzantio rursus discedens Moesos armis petiit: cumque ob capiendum laborasset diu Lobitzum, quoddam Moesiae castellum, inconsummatam operam omittens, (5895) iterum regiam rediit in urbem. scilicet pulchrae gratia Propontidos, aedificiorum commoda et ornatus, venatio dulcis et simul equitatio, piscium praeda, cum hilaritatibus, (5900) diu longinquum non sinebant Caesarem, sed ad fruendum sese compellebant. Asanis quoque uxorem Caesar cepit, tertiumque ex eius fratribus Ioannem obsidis loco traditum accepit. (5905) nihilo hic tamen minus postea nocuit pro sua malitia pessima Romanis urbibus.

Adhuc tenente imperium Isaacio defecit quidam Mançaphas cognomine, Philadelphensis civis, Theodorus, (5910) Lydiaeque et patriae invasit tyrannidem atque urbes plurimis mulcavit damnis cum harum pagis, circum arma ferens. Philadelphiae Caesar ad fines veniens sua

ἔμφρουρον αὐτὸν ἐγκαθιστᾷ πατρίδι,
ἡνίκ' ἐπωνόμαστο καὶ μάλ' ἐνδίκως
ὁ μωροθεόδωρος ἐκ τῶν πραγμάτων.
πλὴν μὴ δυνηθεὶς τὴν Φιλαδέλφου πόλιν
ἅπαξ ἑλεῖν ὅπλοις τε καὶ στρατηγίαις,
πρὸς συμβιβάσεις δεύτερον πλοῦν ἐτράπη,
ὡς ἂν Μαγκαφᾶς παράσημα τοῦ κράτους
ῥίψας καθ' αὐτὸν τὸν βίον διανύτῃ,
ἤθη δὲ τὰ πρὶν ἡ πόλις ἀναλάβῃ
καὶ πάλιν ἰθύνοιτο παρ' οὗ καὶ πάλαι.
Μαγκαφᾶς οὗτος προσρυεὶς τῷ σουλτάνῳ,
Τούρκους τε λαβὼν συμμάχους κατ' Αὐσόνων,
χώρας ἐπῄει Ῥωμαϊκὰς ἐκτρίβων.
σταλεὶς δὲ σὺν χρήμασι πρέσβις σουλτάνῳ,
καὶ τόνδε λαβὼν κατανεύσει σουλτάνου,
πρὸς βασιλίδα τὴν πόλιν ἀναφέρει,
καὶ δεσμὰ καὶ κάθειρξιν ἄληκτα φέρει.
καὶ τοῦτο παρώξυνε σουλτὰν συγγόνους
πρὸς τὴν κατ' αὐτοῦ καὶ μάχην καὶ μανίαν,
ἔγκλημά οἱ φέροντας ἀδίκου δίκης
καταπροδόντι πρόσφυγα δώρων χάριν.
καὶ τάχ' ἂν ἠμύναντο τοῦτον τοῖς ὅπλοις,
εἰ μὴ τιθεὶς πρόφασιν εὔλογον τάχα
ἔφασκεν αὐτὸν ἀποδοῦναι πατρίδι
ἐπ' ἀσφαλείᾳ μήτε θανεῖν μηδ' ὅλως
μήτ' εἰς δέμας τι τῶν κακῶν πεπονθέναι.

5921 τὸν om V

patria conclusit rebellem, (5915) qui tunc idoneum nactus est agnomen dictus ab actis fatuus Theodorus. cum Philadelphi tamen haud posset urbem capere Caesar vi peritiaque bellica, quod fuit reliquum, condiciones obtulit; (5920) ut depositis imperii insignibus privatam vitam Mancaphas exigeret, urbs autem veterem ordinem reciperet, seque priori domino submitteret. Mancaphas tamen profugiens ad Sultanum, (5925) Turcis assumptis secum auxiliaribus, Romani imperii fines incursabat. missus cum donis legatus ad Sultanum Mancapham annuente reduxit Sultano regiam ad urbem, ibique Caesar vinclis (5930) perpetuoque illum addixit carceri. cognita res Sultani exacuit fratres ad iracundiam plurimam atque ad arma, perfidiam criminantes quod prodiderat munerum gratia transfugam sibi supplicem. (5935) iamque armis Sultanum aggressuri erant, nisi hic speciosis rem purgasset verbis: ait enim hominem a se patriae redditum fide interposita, ne moreretur neve quid mali pateretur corpore.

Τῷ τηνικαῦτα καὶ ῥὴξ Ἀλαμανίας
ἔστειλε πρέσβεις, ἀξιῶν βασιλέα
αὐτῷ παρασχεῖν σὺν στρατιᾷ φιλίως
γῆς παραδραμεῖν Ῥωμαΐδος τοὺς ὅρους,
πρὸς Παλαιστίνης τοὺς τόπους ὡρμημένῳ.
πρὸς ῥῆγα τοίνυν τοῦ δρόμου λογοθέτην
ἄναξ πεπομφὼς συμβιβάσεις ἀρτύει·
λαβών τε πίστεις καὶ δεδωκὼς αὖ πάλιν,
ὡς ἔμπεδα κέοιτο τὰ τῆς φιλίας,
αὖθις ἐπανέδραμε πρὸς βασιλέα.
καὶ ῥὴξ ἐπιστὰς τοῖς ὅροις Ῥωμαΐδος
καὶ πρὸς Φιλίππου τὴν πόλιν ἐπεφθάκει,
καὶ δὴ μετά γε τὰς πρὸς ἀλλήλους σχέσεις
καὶ φιλονείκους διενέξεις καὶ μάχας
βασιλικῶν τε ῥηγικῶν τε ταγμάτων
Ἀλαμανῶν στράτευμα πορθμὸν διέβη,
καὶ πρὸς Φιλαδέλφειαν ἧκε τὴν πόλιν.
διὰ δὲ Φρυγίας τε Λαοδικείας
ἐφίσταται τάχιστα Φιλομιλίῳ,
ἐν ᾧ μάχην ἵστησι ῥὴξ πρὸς σούλτανον
καὶ τόνδε νικᾷ καὶ κρατεῖ πολιχνίου,
ὅπερ σκυλεύσας ἐμπιμπρᾷ μετὰ τόδε.
εἶτα πεφθακὼς Ἰκονιέων πόλιν,
καὶ τήνδ᾽ ἑλὼν ὅπλοις τε καὶ μάχης νόμῳ,
ὥδευσε λοιπὸν τὴν προκειμένην τρίβον.
εἰς δ᾽ Ἀντιόχου τὴν πόλιν ἠπειγμένος
ἐναπεπνίγη, φεῦ θεοῦ τῶν κριμάτων,

(5940) Per illud tempus rex quoque Alemanniae misit legatos, qui rogarent Caesarem ut sibi atque exercitui pacificum Romanam per dicionem annueret transitum, proficiscenti ad Palaestinae locos. (5945) ad regem autem cursus logotheta Caesar praemisso foedera composuit. accepta vicissimque oblata fide stabilem fore cum rege amicitiam, logotheta ad Caesarem est reversus. (5950) rex autem fines imperii ingressus usque ad Philippi urbem promovit castra. exin alternabant vario affectu, insuper contendebant dimicabantque regis praedicti Caesarisque milites, (5955) donec Alemannum agmen fretum transiit et Philadelphi usque ad urbem venit, praeteriensque Phrygiam et Laodiceam celeri cursu pervenit Philomelium, ubi rex pugnam cum Sultano ciet, (5960) eoque victo potitur oppidulo, idque direptum consumit incendio. pergit deinde ad Iconium urbem, quam postquam expugnavit virtute bellica, propositum sibi prosequebatur iter. (5965) iamque ad Antiochi urbem properabat, cum suffocatus est, o dei iudicia! rapidis undis flu-

ἐναποληφθεὶς ταῖς δίναις τῶν ὑδάτων.
υἱὸς δ' ἐκείνου τὸ κράτος δεδεγμένος
καὶ μέχρις αὐτῆς Ἀντιοχείας φθάνει,
κἀκεῖθεν ἥκων Συριακὰς πρὸς πόλεις
ἐλευθεροῖ ταύτας γε τῶν ἐκ τῆς Ἄγαρ.
πολλὰ δὲ καμὼν κλήσεως Χριστοῦ χάριν
ἐκεῖ καταλέλυκε καὐτὸς τὸν βίον·
οἱ δ' Ἀλαμανοὶ ναυσὶ πρὸς τὴν πατρίδα
αὖθις ἐπανήχθησαν εὖ σεσωσμένοι.
Καὶ Φραγγίας ῥὴξ Γερμανῶν τ' ἄρχων πάλιν
ναυσὶν ἐπῆλθον ὁπλῖται τοῖς ἐξ Ἄγαρ,
οὐκ ἴσχυσαν ὅμως δὲ Σιὼν ἁγίας
σφᾶς ἐξελάσαι καὶ νεμεῖν χριστωνύμοις,
ᾤχοντο δὲ πλῷ καὶ πάλιν ἐς πατρίδα.
ὁ δ' Ἰγκλίνων ῥὴξ κατάρας ἐς τὴν Κύπρον
ταύτης τε κρατεῖ τοῖς ὅπλοις κατὰ κράτος,
δεσμεῖ δὲ συσχὼν καὶ τύραννον τῆς Κύπρου
Κομνηνὸν Ἰσάκιον, Ἔχετον τρόπους·
καὶ καταπλεύσας πρὸς Παλαιστίνης τόπους
στράτευμα κατέλιπεν οἰκεῖον Κύπρῳ,
ὁ Γερμανῶν ῥὴξ δηλαδὴ τῶν Ἰγκλίνων,
καὶ τῆσδ' ἐκυρίευσεν ὡς ὑπηκόου,
ζωῆς δ' ἀφορμὰς αὐτόθεν κεκτημένος.

5976 *Γερμανῶν*] ita codex. et quidem infra Ephraemius declarat Germanos hoc loco se intelligere Anglos, qui olim scilicet in Britanniam e Germania commigraverant. M.
5984 *Ἰσάκιον*] codex *Ἀλέξιον*, manifesto errore, quem coarguit Nicetas, immo ipse Ephraemius, qui de Isaacio Cypri tyranno in superioribus verba fecit. M.

minis abreptus. ipsius autem filius suscepto imperio usque ad Antiochi progreditur urbem; (5970) unde ad Syriacas pergens civitates Agarenorum iugum ab illis depulit; Christique causa plurimum laborans et ipse vitae terminum illic habuit. tum Alemanni navibus inscensis (5975) reversi sunt in patriam incolumes.

Rex quoque Galliae et Britanniae dominus cum classibus armatis supervenerunt; cumque Agarenos pellere ex urbe sancta frustra tentassent, ut Christianis traderent, (5980) marino rursum cursu in patriam redeunt. antea tamen in Cyprum exscenderat Anglorum rex, et insula potitus fuerat, eiusque vinclis tyrannum tradiderat, Comnenum Isaacium, novellum Echetum. (5985) tum Palaestinas navigans ad terras praesidium suum in Cypro reliquerat, Germanicorum, inquam, rex Anglorum, eiusque dominum se gerebat insulae, et commeatum militi hinc subve-

ἐν τῷ μέλλειν δὲ πρὸς πατρίδ' ἀπιέναι
ῥηγὶ Κύπρον δέδωκε τῆς Παλαιστίνης
οἰκεῖν τε ταύτην, εἰ σχολὴν ἄγει μάχης,
καὶ κυριεύειν καὶ κρατεῖν τῆς Κυπρίων
ὡς ὑπ' ἐκείνου προσνεμηθείσης πόθῳ
ζωηφόρῳ μνήματι τῷ τοῦ κυρίου
καὶ συναφθείσης τοῖς ὅροις Παλαιστίνης.
Ἄγων μετάγων συγχέων μετατρέπων
ἀνθρώπινα θεῖά τε πράγματα κράτωρ,
καὶ δραματουργῶν ὡς δέδοκτό οἱ μόνῳ,
εὐθὺς ἐρείσας τὸν πόδα κραταρχίᾳ
τὸν πατριάρχην τοῦ θρόνου παραλύει
τὸν Καματηρὸν Βασίλειον ἀδίκως,
τὸν Μουντάνην δὲ Νικήταν ἀντεισάγει,
τριπέμπελόν τε καὶ χρόνῳ παρειμένον.
οὗπερ καταγνοὺς ἀφέλειαν αὐτίκα
ἄκοντα κατήγαγεν ἱεροῦ θρόνου,
καί τινα Λεόντιον ἐγκαθιδρύει,
ἄνδρα μοναστήν, ἀρετῆς ὄντ' ἐργάτην·
ὃν τῷδε δεῖξαι τὴν ἀπείρανδρον κόρην
ἔφασκε νυκτὸς συλλόγων ἠθροισμένων,
εἶδός τε κλῆσιν ἀρετὴν τοῦδ' εὐστόχως
μάλα διαγράψασαν ὡς ἐν εἰκόνι.
ἀλλά γε καὶ τόνδ' ἀπελαύνει τοῦ θρόνου,
πάντα παριδὼν τὰ προηγορευμένα,
μετάθεσιν δὲ δραματουργεῖ ποιμένος·
ἀρχιθύτην γὰρ τῆς Σιὼν τῆς ἁγίας,

hebat. (5990) verum in patriam reversurus postea Cyprum donavit Palaestino regi, ut illic pacis tempore vitam degeret et Cypriorum regem se gereret, quod ipsi regnum tribuit affectu pio (5995) propter vivificum domini sepulcrum, quia prope Palaestinae fines erat.

Interim imperator susque deque agebat, cuncta humana et divina ferens, rapiens, commutans, ut fit in scenis, pro suo arbitrio, (6000) summa fretus potestate. sede deiecit iniusta sententia Camaterum Basilium patriarcham, substituitque Nicetam Montanum vel potius depontanum, confectum senio; (6005) quem mox despectum ob ineptitudinem pontificali invitum honore exuit. porro Leontium quendam in sede posuit monachum et virtuti navantem operam, quem sibi demonstratum a sancta virgine (6010) noctu affirmavit in publica concione, sibique nomen eius virtutem formam descriptam esse caelitus ceu in tabula. verumtamen hunc quoque solio pepulit, pensi non habens quicquid ante dixerat. (6015) deinceps vero pastorem transferre maluit:

κλῆσιν Θεοδόσιον, φύντα Λατίνων,
ἰθάδα τῷδε καὶ προήγορον κράτους,
εἰς πατριαρχῶν ἀνάγει προεδρίαν.
ἀλλ' οὐδὲν ἀπώνατο τῆς καινουργίας·
ἀμφοῖν γὰρ ἐκπέπτωκεν ἱεραρχίαιν,
Σιών τε τῆς πρὶν καὶ βασιλίδος πόλιν,
καὶ τῶνδ' ἀτίμως ὁ προβληθεὶς ἀκρίτως.
ἔπειτα Γεώργιος ὁ Ξιφιλῖνος
ποιμὴν ἀναδέδεικτο τῆς Κωνσταντίνου.
Ἐκ τῶν πρὶν εἶχεν αὐτοκράτωρ σπερμάτων
παῖδας φυτεύσας καλλιπαρθένους δύο,
ὧν ἀποκείρει κατ' ἔθος πρεσβυτέραν,
καθιερώσας ὡς ἀμνάδα κυρίῳ·
μεταβεβληκὼς δ' εἰς μονὴν ἀσκουμένων
καὶ παρθενῶνα δαπάναις ὡς ἀφθόνοις
Ἰωαννίτζη τὸν κεκλημένον δόμον,
ἐνταῦθ' ἐνασκεῖν καὶ κατοικεῖν προσνέμει.
ῥηγὸς δὲ συνέζευξεν υἱῷ δευτέραν
τῆς Σικελίας τοῦ Ταγγρὲ κεκλημένου,
κληροῦχον ἀρχῆς πατρικῆς ἀνατρέφων
τὸν υἱὸν Ἀλέξιον ὕστατον χρόνῳ,
ὃς συμφορᾶς ἤνεγκε πατρίδι βάρος.
Οὐ Λυδὸς Θεόδωρος, οὐ Βρανᾶς μόνον
πτερνισμὸν ἦραν κατὰ τοῦ στεφηφόρου,
ἀλλὰ σὺν αὐτοῖς καὶ δυὰς Ἀλεξίων,
οἳ σφᾶς ἐπωνόμασαν αὐτοὺς υἱέας

quippe sanctae Sionis archipraesulem nomine Theodosium, Latinum genere, sibi familiarem atque imperii vatem, ad patriarchae summum honorem transtulit. (6020) sed nihil huic profuit facti novitas: utroque enim excidit sacerdotio, Sionis ac regiae metropoleos, admissus inconsulte, eiectus turpiter. ad extremum Georgius Xiphilinus (6025) Constantini pastor est datus urbi.

Caesari natae fuerant ex primis nuptiis virgines pulchri adspectus filiae duae; quarum priorem rite comas tonsam instar agnae domino sacratam obtulit, (6030) propterea que vertit in monasterium parthenonemque maximis impensis palatium dictum antea Ioannitzae: hoc, inquam, attribuit natae diversorium. alteram autem tradidit nuptam filio (6035) regis Siciliae nomine Tancredi. apud se vero imperii paterni heredem alebat Alexium, filium natu minimum, qui patriam suam oppressit malorum cumulo.

Nec soli Branas Theodorusque Lydus (6040) calcaneum extulerunt contra Caesarem, verum post illos etiam Alexii duo, qui se iactabant

τοῦ πορφυρανθοῦς Μανουὴλ βασιλέως·
ἀφ' ὧν ὁ μέν γε προσλαβὼν ἐκ σουλτάνου
συμμαχικόν τι Περσικὸν πλεῖστον στῖφος
πόλεις ἐπιὼν κατέκειρεν Αὐσόνων·
ὃν νυκτὸς ὑπνώττοντα καθ' Ἁρμαλά που
κτείνας θύτης τις καὶ τεμὼν αὐτοῦ κάραν
ἤνεγκεν αὐτὴν ταγμάτων στρατηγέτῃ.
καὶ ἅτερος δὲ κτείνεται κατὰ μάχην
πρὸς Βασιλείου χαρτουλαρίου Χούμνου.
καί τις δὲ Βασίλειος, Χοτζᾶς τοὐπίκλην,
ἀποστατήσας κατὰ Ταρσίαν πόλιν
χώρας ἐκάκου Ῥωμαϊκὰς καὶ πόλεις·
ὃς συσχεθεὶς ὄμματα πηροῦται τάλας.
καὶ πάλιν ἄλλος, κἀπὶ τῷδ' ἄλλος πάλιν,
ὡς ἐκ χθονὸς γίγαντας αἰρεῖ τις μῦθος,
καὶ πλῆθος ἀντέστησαν Ἰσαακίῳ,
καὶ πάντες ἀπώλοντο τῇ θεοῦ κρίσει.
Ὀργίλως ὢν φίλαυτος οὗτος ὁ κράτωρ,
κἀξ ὑπονοίας καὶ λαβῆς μικρᾶς μόνης
καὶ ζηλοτυπῶν καὶ φθονῶν ὑπηκόοις,
πολλοὺς ἀρίστων παρέβλαψεν εἰς δέμας.
φάους μὲν ἐστέρησε τοῦ τῶν ὀμμάτων
Κομνηνὸν Ἀνδρόνικον ἄνευ αἰτίας
καὶ Κωνσταντῖνον Ἀσπιέτην τοὐπίκλην.
ἄλλους δ' ἐναπέκειρε φροντιστηρίοις.
Λεηλατούντων σὺν Κομάνοις τῶν Βλάχων

titulo ficticio de Manuele imperatore genitos. alter ex his, instructus a Sultano (6045) militum Persicorum ingenti numero, praedam agebat ex Romanis oppidis; cui noctu consopito prope Harmala sacerdos quidam caput amputavit caesareique exercitus duci obtulit: (6050) alter autem in proelio occisus fuit a Basilio chartulario Chumno. Basilius etiam quidam, vulgo Chotzas, a Caesare deficiens in urbe Tarsia Romanae dicioni molestus erat: (6055) sed tandem captus est excaecatus miser. rursusque alius, et posthinc alius denuo, tellure ceu gigantas educit fabula, immo permulti obstiterunt Isaacio: sed omnes, deo volente, perierunt.

(6060) Hic princeps quia sui nimium amans erat, iracundus, levi de causa suspicax, invidia quoque flagrans adversus subditos, multos mulcavit membris optimates. oculorum quidem eripuit lumen (6065) Andronico Comneno immerenti, et Constantino cognomento Aspietae. alios addixit tonsos monasteriis.

Cum praedarentur Blachi cum Comanis Romanas terras ad occi-

τὰ κατὰ δύσιν Ῥωμαϊκὰ χωρία,
ὅπλα κατ᾽ αὐτῶν βασιλεὺς αἴρει πάλιν.
Ἀγχίαλον οὖν παραμείψας τὴν πόλιν
εἴσεισιν Αἷμον τὴν Βλάχων παροικίαν,
πάντα δὲ τάχει φρουρίων πολιχνίων
εὑρὼν ἐρυμνὴν ἰσχὺν ἐνδεδυμένα
καὶ τείχεσι πύργοις τε διειλημμένα,
Μυσοὺς δὲ βλέψας ἀγρίων αἰγῶν δίκην
τοὺς ἀποκρήμνους καταλαβόντας τόπους
ὡς Ῥωμαϊκὴν συμπλοκὴν δεδιότας,
πρὸς δ᾽ αὖ Σκυθικὸν ὑφορώμενος στῖφος,
ὑποστροφῆς ἥψατο τῆς πρὸς τὴν πόλιν.
διὰ δὲ τεμπῶν δυσβάτων τε χωρίων
καὶ τρυμαλιᾶς οἷον εἰπεῖν δυσπόρου,
αὐλῶνι σαφῶς πάντα παρεικασμένης,
τὴν ἐς Βερρόην ἐκδρομὴν τεθειμένος
ἀπώλεσε πλεῖστόν τε τῶν στρατευμάτων,
κἀκεῖνος ἂν ἔφθαρτο παρὰ βραχύ τι,
εἰ μὴ βοηθοῦ τοῦ θεοῦ τέτευχέ πως.
ὡς γὰρ ἑαυτοὺς παρέβυσαν εἰς μέσον
ἄναξ τε καὶ στράτευμα δυσπόρου πόρου,
ἡγούμενα μὲν διέβη στρατευμάτων
κακῶν ἀπαθῆ κινδύνου τε καὶ μάχης·
μέσον δὲ τῆς φάλαγγος ὁ κρατῶν ἔχων
ἐπίθεσιν εὕρατο πρὸς τῶν βαρβάρων
ἰστοῖς βαλόντων καὶ δόρασι καὶ λίθοις

dentem positas, (6070) rursus hos contra capit arma Caesar. quamobrem urbe Anchialo praeterita Haemum ingreditur, Blachorum sedem. sed cum castella ibidem cunctasque urbeculas praesidiis invenisset munitas validis, (6075) moenibus atque turribus convestitas, Moesos item cerneret, tanquam capreas, praerupta atque inaccessa tenentes loca, ne cum Romanis pugnam statariam gererent; Scytharum quoque incursum pertimesceret, (6080) reditum ad urbem regiam instruere coepit angustos per anfractus locosque impervios, et per convallem prorsus similem foramini, ut ita dicam, impenetrabili, Berroen versus militum direxit iter, (6085) quorum amisit scilicet partem maximam; atque ipse summo haud aberat exitio, ni sospitator deus tulisset opem. nam cum se in medias coniecissent fauces Caesar exercitusque tam stricti tramitis, (6090) prima quidem transiit frons exercitus sine molestiis proelii atque incolumis: sed media phalanx, in qua Caesar erat, incursum barbarorum coepit perpeti, qui telis lanceis saxis utroque ex latere

ἑκατέρωθεν αὐτὸν ὁπλίταις ἅμα,
ὡς παρὰ μικρὸν τόνδε φυγεῖν τὸν μόρον,
πεσεῖν δὲ πολλοὺς στρατιώτας γεννάδας.
ὅμως διεκδὺς δυστίβητον χωρίον
καὶ πρὸς Βερρόην ἀποσωθεὶς σὺν βίᾳ
ἔμφροντιν εὗρεν στρατιὰν τούτου χάριν,
φήμῃ δυσήχῳ μάλα τεθροημένην.
τῷ τοι βασιλεὺς τὴν Κωνσταντίνου φθάνει,
ἐκ τοῦδε φήμην οὐ καλὴν ἀνατρέπων.
μικρὸν δ' ὀφρύος καθυφῆκε καὶ τύφου
ἐπαναδραμὼν εἰς πόλιν τὴν τοῦ κράτους,
ἀθυμίας δόρασιν ἐμπεπαρμένην
ἐφ' οἷς κακῶς πέπονθε τὴν ψυχὴν ἔχων.
πρὸ τοῦ δ' ἀνασπῶν τὰς ὀφρῦς ἐπηρμένως
μετὰ σοβαρᾶς καὶ φρενὸς καὶ καρδίας
ἐπεστράτευσε κατὰ Μυσῶν βαρβάρων,
ὀμφὰς προφητῶν κατὰ νοῦν περιστρέφων,
ὡς ἔξοδον μὲν θεῖτο σὺν θυμηδίᾳ,
ἐπάνοδον δὲ μᾶλλον ἀγαλλιάσει,
βουνοί τε προσδέξαιντο χαίροντες μάλα,
καὶ πάντα χαρήσαιντο τὰ δρυμοῦ ξύλα
τοῦδ' ἐξιόντος εἰσιόντος αὖ πόλιν.
Οὗτός γε δόξαις ἀπᾳδούσαις ἐμμένων,
χάριν ἑαυτοῦ γνωματεύων ἦν τάδε,
ὡς οὐ δι' ἃ πέπρακτο πλημμελημάτων
ἅπασι κοινῇ τῇ θεοῦ θείᾳ κρίσει
θεῷ δίκην τίννυμεν ἁμαρτημάτων,

(6095) ipsum eiusque agmen impetebant. quare vix is supremum vitavit fatum, multis amissis strenuis militibus. sed tamen tam difficilem emensus locum, magno conatu incolumis Berroen venit, (6100) ubi sua causa invenit anxium militem, tristi rumore valde perturbatum. igitur imperator Byzantium properat, expeditionis famam non pulchram referens; et sic remisso superbiae supercilio (6105) ingressus est imperii metropolim, maeroris aculeis transverberatum propter acceptam cladem gerens animum. antehac enim elato supercilio, superbia inflatus ac tumente animo (6110) adversus Moesos barbaros processerat, dicta prophetica mente revolvens, cum laetitia fore exitum, reditum autem etiam magis laetum; exsultantesque colles se excepturos, (6115) ipsasque laetaturas saltus arbores, se procedente ex urbe vel redeunte.

In his se oblectans canticis propheticis sibique blandiens haec secum reputabat, nequaquam ob communia quae fiunt peccata (6120) inter mortales celso dei iudicio persolvere nos debitas malitiae poenas, cum

λαῷ παραδοθέντες ἄφρονι τέως
πρὸς σωφρονισμὸν μαστίγωσιν μετρίαν,
ἥπερ φιλοίκτου συμπαθοῦς θεοῦ νόμος·
ὅτι δ' ὀπίσω τῆς Βρανᾶ τυραννίδος
ὑπῆρξε λαός, τοῦδ' ἀποστὰς τοῦ κράτους,
τοιοῖσδε κακοῖς ἐκδεδόσθαι συνέβη·
ὢ τῶν πονηροῦ σκεμμάτων καὶ σπερμάτων,
εἰ ταῦτά τινές εἰσιν ὑπειληφότες,
ὡς μυριάδας εὐσεβῶν ἐκδοὺς ἔχει
θεὸς πρὸς ἀπώλειαν ἔθνει βαρβάρῳ
οὑτινοσοῦν ἀντίψυχον παροινίας,
ὄντος καθ' ἡμᾶς τοῦ κακῶς πεπονθότος.
πρὸς τοῖσδε προυφοίβαζεν ὡς μοναρχίαν
περιβαλεῖται, καὶ Παλαιστίνην πόλιν
ἐλευθερώσας προσνεμεῖ κρατυρχίᾳ,
καὶ γάλα δ' ἐθνῶν θηλάσει κατὰ κόρον,
καὶ πλοῦτον αὐτῶν φάγεται καὶ τὰ πάχη
ἐκμυελιεῖ κατὰ τὴν θεοπτίαν.
καὶ τοῦτ' ἀμαθῶς συλλόγων ἡλισμένων
ἔφασκε λαμπρῶς, ὡς Ἀνδρόνικος χρόνων
ἔμελλεν ἄρξειν ἐννάδα Ῥωμαΐδος,
θεὸς δὲ συνέστειλεν εἰς τὴν τριάδα,
κακοῦ φανέντος Ἀνδρονίκου τῷ κράτει·
ἡ δ' ἑξὰς αὕτη τῶν χρόνων Ἀνδρονίκου,
ὡς πορφύρᾳ ῥάκος τι διερρηγμένον,
ἐπιβέβληται τοῦδε τῇ κραταρχίᾳ·
καὶ κατὰ τούτους οὐκ ἀγαθὸς τοὺς χρόνους

tradimur barbarico insano populo ad punitionem iustam correctionemque, qui dei misericordis mos esse solet: (6125) sed quia Branae tyrannidem secutus erat Christianus populus ab imperio deficiens, iccirco his esse implicitum aiebat malis. o scaeva ingenia stultaque consilia, si quis hanc mentem gerit et sententiam, (6130) piorum innumeras a deo catervas barbarae genti ad interitum tradi quamlibet propter erroris insaniam, qua laesus sit fortasse mortalis dominus! quin adeo universalem monarchiam sibi (6135) vaticinans spondebat, et Palaestinam iugo subtractam redditurum se imperio, et se lac populorum ebibiturum, divitias vocaturum, et pinguedinem medullis exhausturum, ut ait propheta. (6140) effutivit etiam palam in concione disertis verbis, Romano Andronicum praefuturum annis imperio novem; ni redegisset deus ad triennium, ex quo Andronicus sceptro abuti coeperat: (6145) subtractum autem Andronico sexennium, ceu purpurae segmentum vi direptum, ad sui fuisse adiectum regni spatium, seque propterea per id sexennium for-

γένοιτ' ἂν ἴσως, οὐδὲ βελτίων πάνυ.
ἐπεὶ δὲ παρέδραμεν ἑξὰς τῶν χρόνων,
αὐτὸς πάλιν ἦν οὐχ ἑαυτοῦ βελτίων.
Βλάχων ὑπῆρξεν ἀνυπόστατον φῦλον,
πλησθὲν λαφύρων Ῥωμαϊκῶν καὶ σκύλων
καὶ πλοῦτον ἁβρὸν ἐνδυθὲν πρὸς τῆς μάχης.
τοίνυν ἐπῄει Ῥωμαϊκοῖς χωρίοις,
καὶ Βάρναν εἷλε σὺν Ἀγχιάλῳ πόλεις,
καὶ Τριαδίτζης κατέδραμε τοὺς ὅρους,
καὶ Νίσον ἠφάνισε σὺν τῷ Στουμπίῳ,
λείαν ἐκεῖθεν ἀπαγαγὸν μυρίαν
ἀνδρῶν, γυναικῶν, παντοδαπῶν ἀλόγων.
κυκλούμενος γοῦν τοῖς ἐχθροῖς πανταχόθεν
καὶ μὴ σθένων πάσχουσιν ἀμύνειν ἄναξ,
εἰς τοὺς στρατηγοὺς στρατιὰν κερματίσας,
τὴν μὲν μέρει πέπομφε πρὸς ἑσπέραν,
ἄλλῃ δὲ τήνδε πρὸς πονοῦν πάντως μέρος.
καὶ Βάρναν ἀνέκτισε σὺν Ἀγχιάλῳ,
καὶ ταῖσδε φρουρὰν ἱκανὴν ὑπεισάγει·
αὐτὸς δ' ἐπιστὰς τῇ Φιλίππου καὶ πάλιν
Μυσῶν τε Σκυθῶν ἀνεχαίτιζε στίχας
καὶ δι' ἑαυτοῦ καὶ στρατηγῶν εὐόπλων.
καὶ Τριβαλάρχου καταδῃοῦντος πόλιν
σὺν τοῖς πέριξ ἅπασι τὴν τῶν Σκοπίων,
ὁρμᾷ κατ' αὐτοῦ βασιλεὺς σὺν δυνάμει,
καὶ συμπλακεὶς ἥττησεν αὐτὸν ἐσχάτως.

6164 τῷ πρὸς? 6174 καὶ om V

tasse haudquaquam fore prorsus optimum. (6150) verum ne elapsis quidem praedictis annis visus est mores suos conferre in melius.

Blachorum gens iam erat intolerabilis, Romanis spoliis manubiisque dives eximiisque opibus instructa ad bellum; (6155) quare Romanam incursans provinciam oppidum Varnam cepit cum Anchialo, et Triaditzae quoque invasit agrum, Naissum delevit denique cum Stumpio, abductis inde innumeris manubiis, (6160) viris cum feminis et gregibus omnigenis. conclusus ergo quaquaversus hostibus nec iam tueri victos valens Caesar exercitum bifariam divisit ducibus, partim ad locos iubens abire Hesperios, (6165) partim ad terras nupero afflictas bello. Varnamque instauravit cum Anchialo, idoneumque imposuit his praesidium. ipse profectus denuo Philippopolim Moesorum ac Scytharum repressit impetum (6170) et sua praesentia et ducibus pugnacibus. cumque Triballus princeps Scopiorum urbem cum universo agro popularetur, impetum fecit Caesar cum exercitu illumque triumphali prostravit proelio.

χῶρον παραλλάξας δὲ πάντα τοῦ Νίσου
καὶ πρὸς Σάουβον πεφθακὼς βαθυδίνην
ἐκεῖσε συνέμιξε κηδεστῇ φίλῳ,
Οὐγγρίας ῥηγὶ τῷ Βελᾷ κεκλημένῳ,
καί οἱ προσαγόρευσιν ἀποτιννύει
καὶ τὴν πρεπώδη δεξίωσιν καὶ σχέσιν.
ἔπειτ' ἐκεῖθεν ἀπαναστὰς ὡς δέον,
μεθ' ἡμέρας εἴσεισι Φιλίππου πόλιν,
κἀκεῖθεν ἀνέζευξεν εἰς Κωνσταντίνου.
Ἐπεὶ δὲ Μυσῶν καὶ Σκυθῶν δεινὸν φῦλον
ἐπεστράτευσε καὶ πάλιν Ῥωμαΐδι,
δῃοῦν δὲ φθάνει μέχρι τῆς Ἀρκαδίου,
καὶ στρατιὰν ἥττησεν αἰσχρῶς Αὐσόνων
πρὸς ἀντιπαράταξιν ἐκτεταγμένην,
ἔγνω δι' αὑτοῦ σφᾶς μετελθεῖν ὁ κράτωρ.
ἀπογραφὴν οὖν συλλογὴν καθ' ἡμέραν
ὁρᾶν ὑπῆρχε Ῥωμαϊκῶν ταγμάτων,
πρὸς δὲ ξενικὸν συμμαχικὸν μυρίον,
μισθοῦ συνιὸν ἐξ ὅλης ἐθναρχίας.
ὡς οὖν ἀπειράριθμον ἠθροίσθη στῖφος,
ἔξεισιν ἦρος τῆς Κωνσταντίνου κράτωρ,
χρυσοῦ κεντηνάρια πέντε πρὸς δέκα,
ἀργυρίου δ' αὖ ἑξήκοντ' ἐπηγμένος.
καὶ πρὸς Ῥαιδεστὸν τὴν πόλιν ἀφιγμένος,
ἐκεῖ θύσας ἔφαγε μυστικὸν πάσχα,
ἑορτάσας ἔγερσιν ἡμῶν δεσπότου
πρώτην κυριώνυμον, ὡς πιστοῖς ἔθος.

(6175) exin praeteriens cunctum Naissi agrum, progressusque ad ampli fluenta Savi, ibi in congressum venit cum caro socero, cui Belae nomen erat, Ungariae rege; cuius colloquio fruitus, atque ut decuit (6180) invicem impertitis amoris signis, illinc reversus est, vocante officio, brevique post pervenit Philippopolim, atque hinc concessit Cpolim.

Sed quoniam Moesi et Scythae gentes efferae (6185) rursus molesti erant Romanis terris praedantesque pervenerant Arcadiopolim, exercitu Romano victo turpiter, qui contra exire in aciem ausus fuerat, bellum constituit Caesar per se gerere. (6190) conscribebatur itaque quotidie exercitus, Romanique ordines centuriabantur; plurimus etiam advena et auxiliaris conducebatur miles in cuncto imperio. iamque collectis copiis prope innumeris, (6195) vere ineunte Caesar Byzantio exivit, auri quidem centenarios quindecim, argenti sexaginta secum ferens. et ad Rhaedestum usque progressus urbem mysticum ibi manducavit pascha, (6200) resurrectionem Christi solemnem peragens, primam dominicam,

συγγίνεται δ' ἐνταῦθα Βασιλακίῳ,
ἀνδρὶ βιοῦντι βίον ἐξηλλαγμένον
καὶ διαγωγὴν ἀσυνήθη τοῖς ὅλοις·
ὅστις τὰ πρόσθεν προβλέπειν εἶχε κλέος
εἰς ὃν συνέρρει πᾶς τις ὡς εἰς Λοξίαν.
οὐδὲν διεξῄει δὲ τρανὲς συνόλως
οὐδ' ὑγιές τε καὶ διηυκρινημένον,
ἀλλὰ γριφώδη πάντα πεπλανημένα.
ἐν δ' αὖ γε πολλοῖς ἀπεφλυάρει λόγους
εὐτραπελίας καὶ γέλωτος ἀξίους,
μαστοὺς γυναικῶν ἀναδιφῶν παλάμαις,
περιαθρῶν τε καὶ σφυρὰ τούτων πάλιν,
ἐφ' οἷς συνεῖρε καὶ μακρὰς ληρῳδίας.
ὅμως ἐπεσπάσατο συρφάκων ὄχλον,
καί οἱ προσεῖχον οἷα καὶ προηγόρῳ.
συνεῖπετ' αὐτῷ καί τινα γραΐδιων
οἰστρηλατουμένων τε καὶ παραφόρων,
τὰ δρώμενά οἱ πάντα καὶ λελεγμένα
διατρανούντων ἀφικνουμένοις ὅλοις.
τοῖς πλείοσι δ' ἔδοξε τοῦτον εἰδότων
προφητικός τις καὶ θεῷ πεφιλμένος·
οἷς σύνεσις δ' ἦν καὶ φρένες κρίνειν δέον,
γελοῖος ὑπείληπτο ληρώδης γέρων.
ἔδοξε δ' ἄλλοις πνεῦμα Πύθωνος φέρειν.
ὅστις ἐπιστάντι γε τῷ στεφηφόρῳ
καὶ τόνδ' ἱλαρῶς εὐλογήσαντι τότε
οὐδὲν κατηξίωσε προσχεῖν συνόλως,

Christiano more. ibi in colloquium venit cum Basilacio, viro vivente insolitum vitae genus, nulli suetos profitente mores, (6205) qui futura canendi cluebat gloria, cunctis ad eum venientibus ceu ad Loxiam. nec tamen is dicebat perspicue quicquam, neve quid sanum probeque definitum, verum fallacia cuncta et perobscura. (6210) profecto eius sermones plerumque erant scurriliter effusi risuque digni, papillas feminarum contrectans manibus inspiciensque pariter illarum talos, longas tum demum nectebat cantilenas. (6215) plebeiam tamen turbam is illexerat, praebentem aures sibi tanquam vati. comitabantur illum et quaedam vetulae, vecordi oestro percitae atque insanae, quae gestus eius pariter et dicta omnia (6220) edisserebant populi coronae. vulgares ergo homines qui hunc noverant, prophetae loco habebant deoque cari: verum cordati et sano iudicio praediti ridiculum nugacemque putabant senem; (6225) alii postremo pythonicum credebant. is accedentem per id tempus principem et salutantem comiter ac benivole nullo dignatus

ἄνω δὲ κάτω βακχικῶς πως ἠγμένος
ὀνείδεσιν ἔβαλλε συνειλεγμένους,
τοὺς δ' ἐν τέλει μάλιστα καὶ γερουσίας.
καὶ κράτορα δ' οὐχ ἧττον ἦν κακῶς λέγων,
καί οἱ κράτους δ' ὥρμησεν ἁρπάσαι πῖλον.
μόλις δὲ λήξας πωλικῶν κινημάτων,
τῇ διὰ χειρὸς εὐτελεῖ βακτηρίᾳ
ὄμματ' ἀμαυροῖ βασιλικῆς εἰκόνος
ἐπὶ πίνακος αὐτόθ' ἐγγεγραμμένης.
τοῦ δ' ὡς μεμηνότος καταγνοὺς ἄναξ
ἄλλαις ἑαυτὸν φροντίσιν ἐνησχόλει.
Ἐκεῖθεν εἰς Κύψελλα φρούριον φθάσας
πρὸς θήραν ἐξώρμησε τέρψεως χάριν,
καὶ συνεκάλει καὶ σύναιμον πρὸς τόδε.
σκηψάμενος δὲ τὴν φλεβὸς σχάσιν ὅδε
τοῦ πρὸς κυνηγέσιον ἐκκρούει δρόμου·
ἔξεισι δ' οὕτως αὐτοκράτωρ καὶ μόνος.
συνίστορες δὲ προσλαβόντες σκεμμάτων
σύναιμον Ἀλέξιον ἄγουσι τάχος
σκηνὴν πρὸς αὐτὴν καὶ βασίλειον θρόνον,
καὶ τόνδ' ἀνεῖπον αὐτοκράτορ' Αὐσόνων,
τοῖς βασιλικοῖς ἀλαλάζοντες κρότοις.
καὶ γνοὺς Ἰσαάκιος τὰ πεπραγμένα
θεοκλυτῶν ἦν κίνδυνον πεφευγέναι.
ἐπεὶ δὲ συνέξοντας αὐτὸν ἱππότας
ἑώρα συντρέχοντας ἀπτέρῳ τάχει,

6233 κράτος V   6238 αὐτάναξ?   6243 σκεψάμενος V

est respectu, auditu: immo hac illac discurrens tanquam Baccha (6230) conviciis circumstantes onerabat, praefectos praesertim ac senatores, nec minus ipsi Caesari maledicebat; quin et detrahere capite tentavit apicem. tandem desistens equinis saltationibus, (6235) vili quem forte manu gerebat baculo oculos violavit regiae imaginis, quae prostabat ibidem picta in tabula. tunc homine ut insani contempto cerebri, Caesar ad alias animum convertit curas.

(6240) Illinc promotis ad Cypsella castris animi causa venatum est profectus, invitavitque fratrem ut secum iret. hic autem venae simulans sectionem venatorium excursum declinavit; (6245) quare imperator solus est profectus. tunc coniurati idoneum nacti tempus germanum eius Alexium raptim ducunt intra tentorium regium thronoque collocant, et Romanum salutant imperatorem, (6250) plausibus, ut fit regibus, concrepantes. audita re Isaacius deum rogabat ut se praesenti discrimini eriperet. tum missos cernens equites qui se caperent, celeri cursu instan-

ἀνεὶς χαλινὰ πρὸς φυγὴν μετετράπη,
καὶ ῥοῦν ποταμοῦ διαβὰς προκειμένου
ἤλαυνεν ἵππον φυγαδεύων ᾗ σθένος.
πλὴν συσχεθείς γε κατὰ Στάγειραν πόλιν
ἐκκόπτεται δὴ τὰς κόρας τῶν ὀμμάτων
κατὰ σεμνεῖον εὐαγὲς τὸ τῆς Βήρας,
οὗπερ δομήτωρ σεβαστοκράτωρ ἔφυ
τοῦδ' Ἀνδρονίκου καὶ τοκεὺς στεφηφόρου.
οὕτω δ' Ἰσαάκιος ἐκκοπεὶς κόρας
ἐν βασιλείοις ἐγκαθείργνυται δόμοις,
οὐχὶ μετασχὼν οἱασοῦν ἐδητύος
διὰ τὸ πάθος ἡμερῶν συχνῶν πάνυ.
ἔπειτ' ἐκεῖθεν ἔσχεν αὐτὸν οἰκία
ἡ κατὰ διπλοῦν κίονα Προποντίδος,
σὺν μησὶν ἑπτὰ λυκάβαντας ἐννέα
κραταρχίας ἄρξαντα τῆς τῶν Αὐσόνων.

Ἀλέξιος ὁ Ἄγγελος ἔτη ηϚ'.

Οὕτω δ' ἐπιβὰς Ἀλέξιος τοῦ κράτους
καὶ τῶν ὅλων σχὼν καθαρῶς αὐταρχίαν
οὐκ εὐθὺς εἰσέδραμε πρὸς Βυζαντίδα,
ἀλλὰ κακῶς πάσχουσι τοῖς κατὰ δύσιν

6269 atqui Ephraemius in titulo scripserat notam Ϛ', quae in Graecorum scriptis significat partem dimidiam. quamobrem et ego perpetuo scripsi *mens.* 6, quae anni pars est dimidia. sed tamen tum ex hoc loco tum etiam aliunde necessario constat, praedictam notam liberiore sensu ab Ephraemio usurpari ob significandum quemlibet anni excessum. quis enim tot Caesares annis N cum mensibus ad amussim sex regnavisse credat? M.

tes habenis laxis, (6255) coepit et ipse in fugam se coniicere; oppositique fluvii tranatis fluctibus cursum equi calcaribus urgebat. sed tamen captus in oppido Stagira orbatus est oculorum luminibus (6260) in venerando monasterio Berae, cuius fundator fuerat sebastocrator imperatoris Andronici genitor. sic Isaacius luminibus cassus regio in palatio clauditur ceu carcere, (6265) ubi propter doloris acerbitatem nullum per dies complures gustavit cibum. exin ad duas columnas (sic locus dicitur) domus ipsi assignatur in Propontide, postquam Romanum dominus imperium (6270) rexerat annis novem cum septem mensibus.

Alexius Angelus an. 8 *mens.* 6.

Atque ita Alexius imperio potitus rerumque summam solus administrans, non tamen festinavit Byzantium statim, sed occiduis partibus

παρὰ Μυσαρχῶν κασιγνήτων δυστρόπων,
Ἀσάν τε Πέτρου, τῆς κακῆς ξυνωρίδος,
προστρέχει πράγμασι καὶ τοῖσδ' ἀμύνει.
δηλοῖ δ' ἐπ' αὐτῷ τὸ πραχθὲν τῇ συζύγῳ,
γερουσίας μέρει τε τῷ κατὰ πόλιν,
κλήρῳ τε παντὶ καὶ πολιτείᾳ πάλιν·
καὶ πᾶς τις ὠσὶν ἀκοὴν πεπραγμένων
ἄγαν ἱλαρῶς ἡδέως ἠκηκόει.
τῆς δ' Εὐφροσύνης Δουκαίνης βασιλίδος
πρὸς τὸν μέγιστον ναὸν ἀφικνουμένης,
στῖφος βαναύσων φρατρίαν δεδρακότες
ἄνδρα Κοντοστέφανόν τινα τοὐπίκλην,
Ἀλέξιον κλήσει δέ, συνειληφότες
ἐν τῷ μεγίστῳ τοῦ θεοῦ θείῳ δόμῳ
ἀνεῖπον ὡς ἄνακτα τῆς Ῥωμαΐδος·
λαμπρῶν δ' ἐνίοις συσχεθεὶς παραυτίκα
φρουρὰν ὑπέστη καὶ κάθειρξιν ἐνδίκως.
καὶ λοιπὸν ἅπας προστρέχων θείῳ δόμῳ
τὴν Εὐφροσύνην ἀνύμνει βασιλίδα.
μεθ' ἡμέρας δ' εἴσεισι καὶ κράτωρ πόλιν,
οὐ πᾶσιν ἀσπάσιος ὢν χάριν ἔδρα
εἰς σύγγονον φίλον τε καὶ βασιλέα·
οἳ καὶ παρεφθέγγοντο δήπουθεν τάδε
"ἂν οἶδεν ὕδωρ τοὺς πεπωκότας πνίγειν,
τί λοιπὸν ἄλλο καὶ πιὼν ζήσαιτό τις;
εἰ δ' οὐ λυτροῦται τὸν σύναιμον κινδύνου

6277 τε πράγμασι?

laborantibus (6275) propter molestos principes Moesorum Asanem atque Petrum, infaustos fratres, opem curamque censuit impendendam. significavit tamen coniugi dignitatem suam senatusque parti quae in urbe erat, (6280) cleroque toti civibusque simul. atque hanc novarum notitiam rerum nemo non libenter hausit auribus. cum tamen Euphrosyne Ducaena ad magnum templum regina procederet, (6285) plebeiae turbae conspirata manus virum cognomine Contostephanum, Alexium autem nomine, deductum in magnum dei venerandum templum, imperatorem Romanum salutavit. (6290) verum is captus statim ab optimatibus meritam habuit carceris custodiam. deinde cunctus populus ad templum currens imperatricem salutabat Euphrosynem. post dies aliquot Caesar quoque in urbem (6295) haud cunctis gratus venit ob suum facinus contra germanum fratrem suumque dominum. atque convicians aliquis sic forte aiebat "si bibentes praefocat aqua, quis iam alio potu vitam toleret? (6300) et si fratrem non redimit a discrimine

ὁ φίλος αὐτάδελφος, οἴχεται φύσις."
ὅμως παρελθὼν εἰς νεὼν θεοῦ μέγαν
καὶ ταινιωθεὶς ταῖν χεροῖν ἀρχιθύτου,
ἔξεισιν αὖθις ὡς ἔθος στεφηφόροις.
ἵππος προσήχθη γαῦρος εἰς ἱππασίαν,
φατνιστός, Ἀρράβιος, εὖ ἠσκημένος.
ὡς οὖν ἐπῆλθεν ἐγκαθιζῆσαι δίφρῳ,
ἵππος φριμάσσων γαυριῶν ἦν ἐκτόπως·
ἐμπροσθίους δ' ἄνωθεν ἀνυψῶν πόδας
καὶ βλοσυρόν τι καὶ μανιῶδες βλέπων,
τὸ δάπεδον δ' ὄνυξι κόπτων συχνάκις,
τὸν ἀναβάτην ἀπεσείετ' ἐξόχως.
ἐπεὶ δὲ λαθὼν ἐμβεβήκει τῷ δίφρῳ
ἡνία λαβὼν ἐν χεροῖν αὐτοκράτωρ,
οὐχ ἧττον ἵππος ἀγέρωχος ἠτάκτει,
πόδας ἀνυψῶν καὶ κροαίνων ἀγρίως
μετ' ἐξακούστων χρεμετισμῶν καὶ κρότων.
καὶ ταῦτα ποιῶν οὐκ ἔληξε παράπαν,
ἕως κεφαλῆς τοῦ κρατοῦντος τὸ στέφος
χαμαὶ πεσεῖν δέδρακε, καὶ τούτου μέρη
θραῦσίν τε παθεῖν δυσκλεᾶ τ' ἀκοσμίαν,
αὐτὸς δ' ἐπεσφαίριστο μάλ' ἐφεστρίδι.
ἵππον δ' ἀναβὰς ἄλλον ὁ στεφηφόρος
πομπὴν ἐπεισόδιον εἶχεν ἀνύσας
σὺν τῷ πεσόντι καὶ τεθραυσμένῳ στέφει.
ἀπαίσιος δ' ἔδοξεν οἰωνὸς τόδε.

6304 στεφηφόρος? cf. v. 6565. 6322 ἀπεσφαίριστο M.

germanus frater, periit natura." attamen progressus ad templum magnum, et patriarchae coronatus manibus, exiit ad pompam Caesaribus solitam. (6305) ad quem sublimis, ut insideret, ducitur equus Arabs de praesepibus et bene exercitus. verum dum Caesar in ephippium insilit, subsultans equus valdeque velociens, seque anteriores arrigens in pedes, (6310) torvis et iracundia suffusis oculis, et pavimentum ungulis saepe quatiens, miro sessorem recusabat nisu. sed cum repente ephippium occupasset prehendissetque frenum imperator, (6315) nihilo tamen ferociebat minus equus elatis pedibus, terramque verberans, sonorisque hinnitibus aërem complens; neque a furore huiusmodi prius destitit, quam capite coronam excussit Caesari (6320) humi proiectam, cuius etiam partes confractae sunt infauste atque indecore. sessor autem strato corruit purpureo. quamobrem alio inscenso Caesar equo qualemcumque demum absolvit pompam (6325) cum stemmate confracto et deciduo; quod laevum omen visum est spectantibus.

Ὑπῆρχεν οὗτος ἀγαθὸς τρόπους κράτωρ,
μείλιχος, ἡσύχιος, ἠπία φύσις,
ἱλαρὸν εὐέντευκτον ἦθος εὖ φέρων,
μεταδοτικὸς καὶ φιλοικτίρμων πλέον,
πᾶσι προσιτός, εὐμενὴς ὑπηκόοις,
ἡδύς, χαρίεις, εὐπρεπὴς ὄψιν ἄγαν,
ὄρθιος, εὐῆλιξ τε, Νιρεύς τις νέος,
οὔτινα βλάψας εἰς δέμας εἰς οὐσίαν,
οὔτ' αὖ νεοχμώσας τι τῆς ἐκκλησίας,
οὐ καινίσας ἔθιμα τῆς κραταρχίας,
μισῶν διαβόλους τε θῶπας καθάπαξ,
αἰσθητική τις καρδία, σὴς ὀστέων,
τῆς εἰς ἀδελφὸν ἀδίκου παροινίας
ἐν συντριβῇ πνεύματος εὖ ᾐσθημένος
καὶ κατανύξει καρδίας δακρυχέων·
ἐφ' οὗ γυνή τις οὐκ ἐφάνη γαμέτου
ἐκ τοῦδε κακῶς εἰς δέμας πεπονθότος
παρειὰς ἀμφίδρυφος ἢ καὶ λυσίθριξ,
οὐδ' ἀπελαθεὶς ὤπτό τις τῆς πατρίδος.
πλὴν νωχελὴς ἦν καὶ μαλακὸς τὴν φύσιν,
οὐδ' εὖ πεφυκὼς πρὸς διοίκησιν ὅλων
ἐκ τῆς φυσικῆς νωθρότητος συντρόφου
καὶ τῆς τρυχούσης τοὺς πόδας καχεξίας.
Οὗτός γε τοίνυν ἀσφαλῶς σχὼν τὸ κράτος,
καὶ βασιλείοις ἐνδιατρίψας δόμοις,
καὶ δωρεαῖς πλείστους καταπιάνας

6345 τῆς om V 6349 τοὺς om V 6352 τε πλείστους?

Erat hic Caesar indole bona praeditus, comis, tranquillus, mansueto ingenio, hilaris, accessu affatuque facilis, (6330) clemente animo, manu liberali, cunctorum precibus patens, et benivolus, blandus, gratiosus, formosusque admodum, procerus, virente aetate, alter Nireus. neminis hic corpori reive nocuit, (6335) neque in ecclesia quicquam innovavit, nec abrogavit item imperii legibus, assentationis aeque et calumniae osor. cumque esset tenero imbutus animo, crimen adversus fratrem, ut cariem ossium, (6340) exulcerata fixum gerebat mente, gemitibusque et lacrimis expiabat. ipso regnante nulla unquam mulier propter mariti mutilatum corpus vel laceravit genas vel solvit comam; (6345) nec quisquam patria pulsus est in exilium. ceterum socors remissoque ingenio, neque ad remque regendam idoneus propter natura insitam segnitiem, et quia pedibus etiam laborabat.

(6350) Quietus ergo moderans imperio atque in regali desidens palatio plurimos donis largiter ditabat eximiisque augebat dignitatibus.

καὶ φιλοτίμοις ἀξίαις καθηδύνας,
μετὰ στρατιᾶς ἐκπερᾷ πρὸς τὴν ἕω·
ἤκουστο καὶ γὰρ ὡς ἀποστάτης πάλιν
Ἀλέξιός τις Κιλίκων ἐπαρχίας,
προσηγορίαν ὑποδὺς Ἀλεξίου
οὗπερ τοκεὺς ἦν Μανουὴλ αὐτοκράτωρ,
κώμας ἐπιὼν ἀνέσειε τὰς πόλεις.
τοίνυν ἐπιστὰς φρουρίοις Μελαγγείων
καὶ τοῖς ἐκεῖσε βασιλεὺς αὐτοκράτωρ
ἀναγορευθεὶς πρὸς πόλιν ὑποστρέφει.
Εἶτ' ἀνεφύη Ῥωμαΐδος τῷ κράτει
κακόν τι τερμέριον ἄελπτον πάλιν,
Ἰσάκιος τύραννος αἰσχρὸς Κυπρίων,
ὃς ἐξαπίνης προσαρυεὶς τῷ σουλτάνῳ
κἀκεῖθεν εὑρὼν συμμαχικόν τι στῖφος
χώρας ἐκάκου καὶ πόλεις Ῥωμαΐδος.
ὤλλυντο δ' ἄμφω παραπεμφθέντες μόρῳ.
Φροντίδα τιθεὶς δυτικῶν χωρῶν ἄναξ
μετὰ στρατιᾶς ἱκανῆς εὐκαρδίου
ἄνδρα στρατηγόν, τοὐπίκλην Ἀσπιέτην,
κατὰ Μυσῶν πέπομφεν ἐχθρῶν βαρβάρων.
χρησάμενος δὲ μὴ δεόντως τῇ μάχῃ
αὐτοῖς ἑάλω βαρβάροις ἀντιμάχοις.
ποιούμενος λόγον δὲ πλείονα πάλιν
κράτωρ δυτικῶν ἀστέων κακουμένων,
Ἰσαάκιον γαμβρὸν εἰς θυγατέρα,
τὸν σεβαστοκράτορα, πέμπει δευτέρως

in orientem postea cum copiis transiit: (6355) audivit enim denuo rebellem Alexium quendam in provincia Cilicum, nomine adsumpto Alexii Caesare Manuele nati, pagos incursu urbesque perturbare. (6360) ad Melangiorum ergo praesidia pergens, atque illic etiam salutatus dominus reversus est in urbem imperator.

Obortum est deinde Romano imperio molestum monstrum atque inexspectatum (6365) tyrannus ille Cypriorum Isacius; qui ad sultanum repente profugiens atque ibi nactus auxiliares copias, Romanas terras urbesque divexabat. sed enim ambos mors oppressit tandem.

(6370) Caesar de terris occiduis sollicitus peritum ducem cognomento Aspietam cum numeroso validoque exercitu adversus Moesos barbaros hostes misit: verum infelici commisso proelio, (6375) captus est a barbaris Aspieta Moesis. plurimam rursus Caesar gerens curam occiduarum urbium afflictarum Isacium, cui tradiderat filiam nuptui, sebastocratorem dignitate, misit (6380) denuo cum praevalido ingente

σὺν δυσαρίθμῳ στρατιᾷ ῥωμαλέᾳ·
κἀκεῖνος Ἀσὰν συσχεθεὶς τῷ βαρβάρῳ
χρόνια δεσμὰ καὶ κάθειρξιν ὑπέδυ,
ἐν οἷς ἐναπέψυξε βιαίῳ μόρῳ.
πλὴν ἀλλὰ καὶ βάρβαρος Ἀσὰν ἐφθάρη
κλῆσιν Ἰβαγκῷ τινὶ Μυσῶν ἐκ γένους·
καὶ Πέτρος ἀρχὴν τὴν Μυσῶν λαβὼν ἔχει.
καὶ τοῦδε κακῶς ἀποκτανθέντος ξίφει
Ἰωάννης δέδεικτο Μυσαρχηγέτης,
Ἀσὰν Πέτρου σύναιμος, αἴσχιστος τρόπους,
τῶν Ῥωμαϊκῶν ἀστέων καθαιρέτης.
ὁ δ' οὖν Ἰβαγκὸς προσρυεὶς στεφηφόρῳ
καὶ παρὰ τοῦδε προσδεχθεὶς μάλ' ἀσμένως
χρήσιμος ὦπτο τῷ μέρει τῶν Αὐσόνων,
ἀκμαῖος ὤν τις καὶ χέρας ῥωμαλέος,
ὀξύρροπος δ' οὖν πρὸς θυμὸν καὶ μανίαν.
τούτῳ κατηγγύησε πρὸς συνοικίαν
τὴν θυγατριδῆν βασιλεὺς ἀφιγμένῳ,
ὕπαρχον ἀρχὴν τῆς Φιλίππου χειρίσας·
ὃς ἦν ἐπιτείχισμα Μυσοῖς καὶ Σκύθαις
τειχῆρες Αὐσόνων δὲ χωρίων μέρει.
Τοῖς Ἀλαμανοῖς βαρβάροις Σικελίας
αἰσχρῶς ἁλούσης, ἐν Ἰταλίᾳ τότε
δορυάλωτος συναπήχθη πρὸς βίαν
καὶ θυγάτηρ ἄνακτος Ἰσαακίου,
καὶ κασιγνήτῳ ῥηγὸς Ἀλαμανίας

6386 codex λαβήν. M.

exercitu: sed ab Asane captus etiam hic barbaro, vincla diuturna et carcerem perpessus, ibidem violenta morte obiit. verum et ipse barbarus Asan periit (6385) manu cuiusdam Moesi Ibanci domitus; Petrusque obtinuit Moesiae principatum. sed cum etiam hic gladio fuisset caesus, princeps Moesorum exstitit Ioannes Petri Asanisque frater, ingenio pessimo, (6390) et Romanarum urbium pernicies. Ibancus autem ad Caesarem confugiens atque libente animo receptus Romanis partibus utilem se praebuit, floridus iuvenis, forti manu, (6395) sed ad sumendam iram paratissimus. huic collocavit Caesar in matrimonium in aulam advenienti neptem suam, et praefecturam tradidit Philippopoleos. is autem contra Moesos et contra Scythas (6400) firmum Romani imperii munimen erat.

Iam cum Sicilia ab Alamannis barbaris turpiter esset domita, tunc in Italiam vi deportata est ceu praeda belli filia quoque Caesaris Isaacii; (6405) et regis Alamanniae germano fratri Philippo iuncta est nu-

Φιλίππῳ συνέζευκτο πρὸς γάμου σχέσιν,
πόσιν ἑαυτῆς ἀποβαλοῦσα μόρῳ,
τοῦ Σικελῶν ἄρξαντος υἱὸν πρὸ χρόνων.
ἣ κυκεῶνα πικρίας ἀψινθίου,
ποτήριον δ' οὐχ ἧττον ὀργῆς κυρίου
ὀλέθριον κίρνησι τῇ Βυζαντίδι.
Πάσχων τὰ τοῦ σώματος ἄρθρα καὶ βάθρα
οὐ συνεχῶς μὲν καὶ διὰ βίου κράτωρ,
κατὰ δὲ κύκλους καί τινας περιόδους
ἔκ τινος ὕλης σώματος καχεξίας,
ὀδύνας εἶχε καὶ δυσυποίστους πόνους
ἐπεισρυέντος τοῦ κακοῦ καὶ τοῦ πάθους.
ἔαρος οὐκοῦν τηνικαῦτ' ἀφιγμένου
πόνοις νικηθεὶς καὶ περιωδυνίαις
τολμᾷ τι πρᾶγμα κινδυνῶδες καὶ ξένον,
ὄλεθρον αὐτῷ προξενοῦν παραβόλως·
σιδήρια γὰρ πυρακτωθέντα σφόδρα
σκελοῖν ἐπιτίθησιν ἀμφοῖν καὶ βάθροιν,
καὶ πρὸς βάθος δέδρακε καυτῆρα μάλα.
καὶ πρὸς βραχὺ μὲν ῥαϊσάντων τῶν πόνων
μεθ' ὕβρεων ἅπαντες Ἀσκληπιάδαι
μακρὰν ἀπηλαύνοντο κράτορος λόγῳ·
μετὰ δὲ τοῦτο φλεγμοναὶ καυτηρίας
κατέτρυχον κρατοῦντα καὶ ποδαλγίαι,
καὶ πᾶς ἰατρὸς εἰσκέκλητο σὺν τάχει.
καὶ πάντας ὑπέθραττεν οὐ φαῦλον δέος,
μήπως ἀνειρχθὲν καθόδου τῆς πρὸς πόδας

ptiali foedere, quoniam priorem ipsi mors abstulerat sponsum, Siciliae quondam regis filium. haec femina conditum amaro absinthio (6410) dominicaque tamquam ira plenum calicem propinavit patriae suae.

Pedibus et arthritide laborans Caesar, haud quidem sine requie vel intervallo, sed temporibus certis ac periodis, (6415) propter vitiosum corporis humorem dolores patiebatur intolerabiles, cum se per corpus morbus circumageret. igitur verno tunc instante tempore, cum angeretur solitis doloribus, (6420) novum audacter tentavit remedium, quod ipsi summum adtulit discrimen: fervidis enim admodum ferri laminis utrique cruri et pedibus impositis inussit grave carnibus cauterium. (6425) et sedatis quidem parumper doloribus, non sine conviciis omnes Asclepiadas procul a se facessere iubebat Caesar: verum cauterii posthinc inflammatio dolorque pedum Caesarem cruciabat, (6430) revocatique medici sunt celeriter, quos omnes haud vanus invasit timor, ne prohibitus quominus in pedes flueret solitus humor sanguinis et saniei,

εἰωθὸς αἷμα σὺν ὕλῃ καταρρέειν,
ἐνσκῆψαν εἰς καίρια σώματος μέλη
οἴσει κρατάρχῃ θάνατον παραντίκα,
μεταπεσεῖται δ' ἀλλαχοῦ κραταρχία.
τούτων λόγος μάλιστα τῇ βασιλίδι,
κληροῦχον υἱὸν οὐκ ἐχούσῃ τοῦ κράτους,
μόνην ξυνωρίδα δὲ τῶν θυγατέρων,
χῆτιν παθουσῶν τῶν συνεύνων πρὸ χρόνων·
ὧν Εἰρήνη μὲν ἡ χρόνῳ πρεσβυτέρα
συνῆπτο καλῶς πρὸς γάμου κοινωνίαν
Κοντοστεφάνων ἐκ γένους Ἀνδρονίκῳ,
μόρῳ μαλακῷ καταλύσαντι βίον,
ἡ δευτέρα δ' Ἄννα γε συνῴκει πάλιν
Ἰσαακίῳ Κομνηνιάδῃ νέῳ,
Μυσῶν καθείρξει τὸν βίον λελοιπότι,
ὡς ἱστορῶν ἔφρασεν ἀνόπιν λόγος.
Ταῦτα μὲν οὕτω τῷ βασιλεῖ συνέβη·
ὅμως ῥαΐσας, ἀπάρας Βυζαντίδος,
ἐφίσταταί γε Θεσσαλονίκῃ πόλει,
κἀκεῖθεν ὁρμᾷ κατὰ Χρύσου τοῦ Βλάχου,
ὃς παραλαβὼν Στρούμμιτζαν σὺν τοῖς πέριξ,
καί τι κατασχὼν εἰς τυραννείου λόγον
ὑπερφυὲς τειχῆρες αἰπεινὸν λίαν
ἔρυμα δεινόν, Πρόσακον κεκλημένον,
ὃ συνδραμοῦσαι φύσις ἅμα καὶ τέχνη
ἀπρόσμαχόν τ' ἄμαχον εἰργάσαντό πως,

6440 in margine glossa στέρησιν. M.

in corporis praecipuis stagnaret partibus, (6435) aegrumque subitanea morte opprimeret, atque ad extraneas sceptrum abiret manus. sermo hic fiebat apud reginam maxime, quae masculum heredem haud pepererat, sed filiarum tantum par, (6440) quarum iam erat utraque sponso vidua. Irene natu maior iuncta fuerat splendidis sane nuptiis Andronico, progeniem suam trahenti de Contostephanis; sed is abrupit vitam ob suam mollitiem. (6445) iunior aeque nupta fuerat Anna Comnenorum surculo Isaacio, qui apud Moesos obiit in vinculis, ut nostra historia desuper narravit.

Atque ita Caesaris se res habebant; (6450) qui male firmus adhuc Byzantio excedens Thessalonicam contulit se in urbem. inde perrexit contra Chrysum Blachum, qui Strummitza occupata cum vicinia, tenensque quoddam, veluti regiam suam, (6455) peridoneum munitissimum et sublime ingens castellum cui nomen Prosacon, quod ars certatim cum natura effecerat bellantibus inaccessum et inexpugnabile, Romanae illic

ἣν Ῥωμαϊκοῖς γειτνιάζουσιν ὅροις
μέγα τι κακόν, ἀφανίζουσα λύμη.
τοίνυν ἐπιστὰς βασιλεὺς τῷ Προσάκῳ
μετὰ στρατιᾶς ἀξιαγάστου λίαν,
καὶ συγκροτήσας καρτερὰν Μυσοῖς μάχην,
σπουδὴν ἐτίθει τοῦ Χρύσου κατισχῦσαι
ἑλεῖν τε καὶ φρούριον αὐτοῦ τοῖς ὅπλοις.
μετὰ φόνον γοῦν καὶ κάματον μυρίον
εἰς συμβάσεις βλέψαντος αὐτῷ τοῦ Χρύσου
τοῦ καθυπείκειν βασιλεῖ διὰ βίου,
ἔρυμα κατέχειν βασιλεῖ διὰ βίου,
καὶ σύζυγον σχεῖν ἐκ βασιλείου γένους,
ἄναξ μεταστὰς τῶν μερῶν τοῦ Προσάκου
εἴσεισιν αὖθις τὴν πόλιν Κωνσταντίνου.
Ἀφίσταται δὲ τοῦ κράτους Ῥωμαΐδος
πρόσφυξ Ἰβαγκός, ὢν ἐν Φιλίππου πόλει,
καὶ πλεῖστα δεινῶν Αὔσονας κατειργάκει,
καὶ στρατιὰν ἥττησεν αὐτῶν πολλάκις,
ἑλὼν πρωτοστράτωρα Καμμύτζην μάχῃ,
ἐπιδραμὼν δὲ καὶ πόλεις Ῥωμαΐδος
τὰς πρὸς Βολερὸν μέχρις αὐτῆς Ξανθείας,
καὶ πάντα Μυσῶν, ᾗ φασί, λείαν δράσας,
ἀνὴρ ἀτεχνῶς αἱμοχαρὴς καρδία,
κύων μανικὸς καθυλακτῶν Αὐσόνων·
ὃς ἐς τοσοῦτο μανίας ἐληλάκει

6469 βασιλεῖ διὰ βίου] δὲ καθὰ κατεῖχεν? v. Nicet. p. 672 16.

proximis dicionis finibus (6460) grave imminebat malum et exitium. accedens ergo Prosacon imperator cum florente exercitu et permiro, consertaque gravi cum Moesis pugna, vi nitebatur debellare Chrysum (6465) eiusque arcem armis occupare. post multam autem caedem ac laborem ad pacis condiciones respexit Chrysus, se Caesari fore subditum, si retinere hanc sibi liceret arcem, (6470) et si daretur regia de stirpe uxor. sic re confecta Caesar discedens Prosaco regressus est ad urbem Constantini.

Exin Romano imperio fidem fregit perfuga Ibancus in Philippi urbe, (6475) detrimentisque affecit nostros plurimis: nam et acie saepe discessit victor, Cammytze quoque capto protostratore, et incursavit nostrae dicionis urbes quae sunt Boleron versus usque Xanthiam, (6480) omnia late diripiens agens ferens; vir sine dubio praeditus ferino corde, rabidi canis instar Romanos allatrans; qui eo vesaniae fu-

ὡς συσχεθέντας Αὐσόνων κατὰ μάχην
τέμνειν μεληδὸν ἐν πότῳ ξιφειδίῳ.
ὅθεν βασιλεὺς ἀπάρας Βυζαντίδος
Ὀρεστιάδα καταλαμβάνει πόλιν.
ὁρῶν ἀποστάτην δὲ δύσμαχον πάνυ
καὶ συνὸν αὐτῷ Ῥωμαϊκόν τι στῖφος
πρὸς συμπλοκὴν φρίσσον τε καὶ θνῆσκον δέει,
ἐξηπορεῖτο φροντίσι προσανέχων.
πλὴν προυκαλεῖτο πρὸς φιλίαν ἐνστάτην,
μηδὲ στρατιᾶς ἀμελῶν καὶ τῆς μάχης.
καὶ παραλαβὼν τὰς δυνάμεις τὰς ὅλας
καὶ τῆς Φιλίππου τὴν ἐπαρχίαν φθάσας
Στενίμαχον φρούριον εἷλεν ἐκ μάχης,
ἔνθα συνῆκτο βαρβάρων πλεῖστον στῖφος,
οὓς κατεδουλώσατο πορθήσας πόλιν.
ἔπειτα συσχὼν ἀπάτῃ ψευδορκίοις
Ἰβαγκὸν ὠμὸν δύσμαχον κακεργάτην,
εἴσεισι καλλίνικος τὴν Κωνσταντίνου.
Τούτου κρατοῦντος Κομνηναγγελωνύμου,
Ἰωάννου δὲ Καματηροῦ τὸν θρόνον
Βυζαντιάδος ἰθύνειν εἰληχότος,
δόγμ' ἀνεφύη καινοφανὲς καὶ νόθον,
γεννήτορά τε καὶ διδάσκαλον φέρον
τινὰ μοναχὸν Σικιδίτην τοὐπίκλην,
λαλοῦντ' ἀληθῶς ἀπὸ γῆς καὶ κοιλίας.
ζητήσεως οὔσης γὰρ εἰ χρὴ καὶ λέγειν
νοεῖν τε σαφῶς σῶμα Χριστοῦ δεσπότου,

rorisque evasit ut milites Romanos in proelio captos (6485) frustatim ense caederet in convivio. quare imperator abiens Byzantio semet Orestis contulit ad urbem; cumque rebellem cerneret fortem admodum, Romanos autem semet comitantes (6490) proelio abhorrere atque metu exanimes, inops consilii curis aestuabat. igitur condiciones rebelli obtulit, armorum pugnaeque interim non immemor; exercitumque omnem secum trahens (6495) contulit se in provinciam Philippopoleos, ibique castrum cepit vi Stenimachum, ubi barbarorum erat ingens numerus, quos urbem populatus captivavit. deinde capto falsis promissionibus (6500) crudeli Ibanco, pessimo adversario, victor reversus est Cpolim.

Regnante Alexio de Comnenis Angelis, Ioanne autem Camatero ecclesiae sacrum tenente solium Byzantinae, (6505) novum emersit spuriumque dogma, cuius magister erat et creator monachus quidam dictus Sicidites, infima vere blaterans et ventriloquus. nam controversia exorta utrum dicere, (6510) immo et diserte credere nos oporteat cor-

ὃ ληπτόν ἐστιν ἡμῖν ἐν μυστηρίοις,
ἄφθαρτον εἶναι καθάπερ μετὰ πάθος
καὶ θείαν ἀνάστασιν, ἢ φθαρτὸν λέγειν,
ὁποῖον ἦν πρὸ θανάτου καὶ τοῦ πάθους,
ἄφθαρτον οἱ μὲν ἀπεδείκνυον τόδε,
διδασκαλικαῖς χρώμενοι μαρτυρίαις
σοφοῦ Κυρίλλου καὶ πατρὸς Χρυσοστόμου
Εὐτυχίου τε ποιμένος Βυζαντίδος
καὶ Γρηγορίου φωσφόρου Νυσσαέων,
οἵπερ παριστάνουσι διδασκαλίαις
ἐκεῖνο σῶμα δεσπότου πεφυκέναι
τὸ νῦν πρὸς ἑστίασιν ἡμῖν τυγχάνον,
ὃ κρεῖττον ὀφθὲν θανάτου μετὰ πάθος
ζωῆς κατῆρξεν ἀφθίτου βροτῶν χάριν·
οὗ κἂν μέρος τις τυγχάνῃ δεδεγμένος,
ἅπαν λαβὼν ἄπεισι σῶμα κυρίου,
καὶ προσθεουργεῖ τοὺς μετασχόντας ξένως.
οἱ δ' ἐκ μερίδος τῆς ἐναντίας πάλιν
ἔφασκον αὐτὸ μηδὲ τύπον παρέχειν
σεπτῆς μακαρίας τε παλινζωΐας,
τελούμενον δὲ θυσίαν μόνην φέρειν,
κἀντεῦθεν ἄνουν φθαρτὸν ἄψυχον πέλειν,
καὶ τὸν μετασχόντα δὲ λαμβάνειν μέρος,
οὐχ ἅπαν τὸ σῶμα Χριστοῦ δεσπότου·
εἰ γάρ, φασίν, ἄφθαρτον ὑπῆν καθόλου,
ἦν ἂν ἀναφὲς ἀθέατον τοῖς ὅλοις.

6534 δὲ τὸ?

pus dominicum in mysteriis sumptum incorruptivum esse, ut post passionem admirandamque anastasim, an corruptivum, quale ante mortem fuerat ac passionem, (6515) altera pars aiebat incorruptivum, freta doctrinis atque testimoniis cati Cyrilli et patris Chrysostomi Eutychiique Byzantini praesulis et Nyssenorum phosphori Gregorii, (6520) qui scripto suo suadent magisterio istud a nobis sumptum in mysteriis domini corpus prorsus esse eiusmodi, quale devicta morte post passionem aeternam accepit vitam nostri gratia; (6525) neque aliquantam partem nos percipere, sed universum Christi corpus domini, a quo sumentes sanctificamur mire. verum contrariae partis defensores dicebant ipsum haud praeferre typum (6530) sacrae ac beatae domini anastaseos, sed sacrificium unice mysterio fieri; hinc esse corruptivum, sine sensu, exanime. a nobis autem sumi partem tantum, non universum corpus Christi domini: (6535) nam si hoc esset prorsus incorruptivum, nec

τοιαῦτα συνείροντες οἵδε δυστρόπως
ἁπλουστέρους ἔπειθον ὑπείκειν σφίσι·
τῇ κρείττονι δόξῃ δὲ προστεθεὶς ἄναξ
εἴα φθινύθειν τηνάλλως τοὺς θατέρας.
Μυσῶν γένος κάκιστον, εἰς συμμαχίαν
στῖφος Κομάνων προσλαβὸν παριστρίων,
χώρας ἐπῄει Ῥωμαϊκὰς ἐκτρῖβον,
καὶ λείαν ἀμύθητον αἰχμαλωσίαν
καὶ σκῦλα πλεῖστα κερδᾶναν ὑποστρέφει.
καὶ τοῦτ' ἂν εἶχεν εἰσαεὶ δρᾶν ἐξ ἔθους,
εἰ μὴ τὸ χριστώνυμον εὐσεβὲς φῦλον
τῶν Ῥὼς ἀπεῖρξε σφᾶς κακῆς προθυμίας.
ὁ γὰρ Γαλίτζης ἡγεμών, παραινέσει
τοῦ ποιμενάρχου Ῥωσικῆς ἐκκλησίας,
στῖφος στρατιᾶς ἡλικὼς ὡς μυρίον
ἐπῆλθε τῇ γῇ τῶν Κομάνων ἀθρόον
καὶ χώραν ἠφάνισεν αὐτῶν ἐσχάτως·
καὶ τοῦτο δράσας πλειστάκις φιλοφρόνως
εἰς εὐσεβῶν καύχημα τῶν χριστωνύμων,
σφᾶς συμμαχεῖν ἔπαυσε Μυσοῖς βαρβάροις.
Καί τις Κομνηνῶν ἐκφυεὶς Ἰωάννης,
ἀνὴρ πιθώδης σωματικὴν τὴν πλάσιν,
προκοίλιός τε καὶ λιπόκρεως λίαν,
παχὺς ἐπίκλην ἐκ θέας φερωνύμου,
ἀντάρας ὤπτο βασιλεῖ κατὰ πόλιν.
νεὼν γὰρ εἰσδὺς τὸν θεοῦ θεῖον μέγαν

palpabile fore nec visibile. haec isti falso blaterantes ore imperitiori turbae faciebant fucum; sed imperator obsequens meliori dogmati (6540) sivit contrarios frustra laborare.

Pessima gens Moesorum cum socia manu accolarum Danubii Comanorum terras Romanas incursabat vastans, praedamque agebat plurimam ac captivos, (6545) quibus ditata in patriam se recipiebat. atque id deinceps semper actura fuerat, nisi Rossorum pia gens Christiana cohibuisset barbaros a maleficio. Galitzae quippe princeps, adhortante (6550) ecclesiae summo Rossicae pastore, plurima militari coacta manu in Comanorum agrum repente irruit, eumque extrema affecit vastitate; quod cum egisset saepe amico animo (6555) ad solatium piorum Christianorum Comanicum auxilium Moesis abstulit.

Ioannes quidam de Comnenis genitus, corporis mole dolii formam referens, proiecto ventre, carnibus pinguissimis, (6560) nomine idoneo dictus vulgo Crassus, Caesari se rebellem in urbe praebuit. ingressus enim templum dei maximum, coronam ex iis quae mensa pendebant sa-

καὶ τῶν περὶ τράπεζαν ἠωρημένων
στέφανον ἐνθεὶς τῇ κρατὶ παρανόμως,
στεφανίτης ἔξεισι τοῦ θείου δόμου.
καὶ σὺν φρατρίᾳ καὶ συνιστόρων στίφει,
ὄντων ἐπισήμων τε λαμπρῶν ἐκ γένους,
εἴσεισιν εὐθὺς εἰς παλάτιον μέγα,
τοῖς βασιλικοῖς ἀναδούμενος κρότοις.
καὶ βασιλείου καθίσας ἐπὶ θρόνου
τινὰς ἐδωρήσατο λαμπραῖς ἀξίαις.
ὁ συρφάκων ὄχλος δὲ καὶ τῶν ξυγκλύδων
ἀνὰ στενωποὺς ἀμφόδους Βυζαντίδος,
πρὸς δ' αὖ ἀγυιὰς ἐκτρέχοντες λιμένας,
ἀνηγόρευον Αὐσόνων βασιλέα
ἐλευθέρῳ στόματι τόνδ' Ἰωάννην,
τιθέντες εἰς ἅρπαγμα λαμπρὰς οἰκίας.
νυκτὸς δὲ χανδὸν ἐμφορηθεὶς ἀκράτου
παχὺς φρένας κλῆσίν τε τύραννος νέος,
ἀνείς τε πύλας ἀνέτους ἀνακτόρων
ὁπλιτικῆς φάλαγγος ἐσκεδασμένης,
ἔλαθεν ἁλοὺς ὁπλίταις βασιλέως
καὶ τὴν κεφαλὴν ἐκκοπεὶς παναθλίως.
Καὶ δέσμιος δὲ πρωτοστράτωρ Καμμύτζης,
ὃν φθάσας εἶπον τοῖς Μυσοῖς ἡλωκέναι,
εἱρκτῆς τε δεσμῶν ἐκλυθεὶς παρὰ Χρύσου,
σὺν τῷδ' ἀπεστάτησεν Αὐσόνων κράτους,
καὶ κατακρατεῖ Πελαγονίας ὅλης.
συνέσχε καὶ Πρίλαπον ἄστυ ῥᾳδίως,

cra ausu scelesto imposuit in caput suum, (6565) atque ita coronatus templo exiit; et cum favente conspirato globo hominum splendidorum de classe nobili, recta processit ad palatium magnum, plausibus concrepantibus in morem regium. (6570) mox cum regali consedisset throno, splendidis quosdam donavit dignitatibus. miscella vero populi colluvies, per angiportus vias vicosque urbis perque plateas currens atque portus, (6575) Romanum proclamavit imperatorem libera lingua clamitans hunc Ioannem, et simul opulentas spoliabat domos. verum sequente nocte mero oppressus crassus hic mente et nomine tyrannus, (6580) regiae patentibus per socordiam ianuis, cum eius per urbem esset dilapsa cohors, a Caesaris militibus repente captus calamitosum caput ensi obtulit.

Cammytzes quoque protostrator, tentum (6585) quem supra dixi in vinculis apud Moesos, effracto sibi Chrysi manu carcere, cum hoc conspirans defecit a Caesare, et Pelagoniam cunctam occupavit; tum

κατατυραννεῖ Θετταλικῶν χωρίων,
παρακινεῖ τε ῥᾷστα καὶ τὴν Ἑλλάδα,
παλίμβολον τίθησι Πέλοπος κλίμα.
πρὸς τῷδ' ἀποστάτης γε δεύτερος πάλιν,
σπαρτοὺς κατὰ γίγαντας, αἴφνης ἀνέφυ,
Ἰωάννης Κύπριος Σπυριδωνάκης,
τοὐπώνυμον σχὼν ἐκ πατρῴας ἑστίας,
αἰσχρός τις εἶδος ἡλικίαν καὶ τρόπους,
χειρωνάκτης τέχνην τε, τὰς ὄψεις στράβων,
τύχην χαμερπὴς καὶ χθόνιος παντάπαν,
ὑπηρετῶν ἄνακτι τὰ κατὰ δόμους,
φύλαξ ταμείων τῶν ἔσω τεταγμένος,
εἶτα Σμολένων κλίμα λαχὼν διέπειν·
ὃς κατεπαρθεὶς ἀξίαις παραλόγοις
ἤρθη πρὸς ἀπόνοιαν ἀποστασίας.
ὑπῆν βασιλεῖ καὶ κακὸν τρίτον τότε
εἰωθός οἱ νόσημα τῆς ποδαλγίας.
στρατευμάτων τοίνυν διελὼν πᾶν εἰς δύο
τὸ μὲν παρέσχε κατὰ Σπυριδωνάκου
γαμβρῷ Παλαιολόγῳ τῷ Ἀλεξίῳ,
τὸ δ' εἶχε πέμψας Οἰνοπολίτῃ πάλιν
εἰς ἀντίμαχον κατὰ Καμμύτζῃ μάχην·
καὶ συμβαλὼν ἥττησε τοὺς ἀποστάτας,
καὶ φυγάδας τίθησι τῷ θεοῦ σθένει,
καὶ Χρύσον ἀπήλασε χώρας Στρουμμίτζης.

6607 *στράτευμα?* 6610 *ἰνοκολίτῃ* V

etiam cepit Prilapum levi nisu, (6590) atque Thessaliae dominum se gessit; nullo obsistente demum commovit Helladem, rebellemque fecit Peloponnesum. tum et rebellis alius repente apparuit, tanquam illi quondam gigantes sparti, (6595) Ioannes Cyprius vulgo Spyridonaces, hoc habens cognomentum paterna ex domo, foedum quid visu, moribus et corpore, oculis homo strabis, arte opifex, humili sorte genitus et terrae filius, (6600) Caesaris olim palatinus famulus, interioris fisci custodiae impositus; exin Smolenam praefecturam nactus, inexspectata dignitate elatus ad apostasiae proruit vesaniam. (6605) tertiam habebat Caesar tunc miseriam, suetos sibi podagrae dolores. bifariam igitur distributo exercitu, partem ducendam contra Spyridonacem genero Alexio tradidit Palaeologo, (6610) alteram vero traditam Oenopolitae ad debellandum misit Cammytzem hostem. proelio conserto utrumque rebellem vicit, eiecitque imperio cum dei ope; et Chrysum quoque pepulit Strummitza.

Ἐφ᾽ ἡμερῶν τούτου γε τῆς κραταρχίας
Ἰωάννης ἔξεισι Μυσαρχηγέτης,
σύναιμος Ἀσὰν καὶ Πέτρου, τῆς Μυσίας
μετὰ στρατιᾶς κατὰ Ῥωμαίων ὅρων,
καὶ διαλαβὼν ὁπλιτῶν πολλῶν ἴλαις
κατὰ Ῥοδόπην τὴν Κωνστάντιαν πόλιν
ᾠκισμένην εὖ καὶ κολώνειαν πόλιν,
ταύτην παρεστήσατο ῥᾷστα τῇ μάχῃ.
καὶ κατερείψας τὸν περίβολον τάλας
εἰς Βάρναν ἧκε τὴν παράλιον πόλιν,
καὶ τήνδε τρισὶ κατασείσας ἡμέραις
παραλαβών τε, κατεδαφίσας ἅμα,
καὶ τοὺς ἐν αὐτῇ καταχώσας, φεῦ πάθους,
ζωοὺς ἀλάστωρ παρακειμένῃ τάφρῳ
κατὰ μέγα σάββατον εὐλογημένον,
μηδὲν σεβασθεὶς τὰ Χριστοῦ θεῖα πάθη,
ἐκεῖθεν ἀνέζευξεν εἰς τὴν πατρίδα.
Φαῦλον τραγῳδὸν οὐκ ἔδει παριέναι,
τοιοῦτον οἷος ὢν ἐγώ γε τυγχάνω,
εἰς συμφορῶν πέλαγος, εἰς τόσον βάθος
τραγῳδίας τε καὶ κακῶν Ἰλιάδος,
ἃ πάντα συμβέβηκε τῇ Κωνσταντίνου·
ἀλλ᾽ ὅστις ἂν ἤμελλεν ἐκ διαμέτρου
ἅπαντα νικᾶν τραγικὸν πρὸς τὸ κλαίειν
καὶ δραματουργὸν συμφορῶν ἀνθρωπίνων,
οἷοί περ ὄντες τυγχάνουσιν ἐκτόπως
Σοφοκλεῖς Αἰσχύλοι τε σὺν Εὐριπίδαις.

(6615) Adhuc Alexio retinente imperium, Asanis atque Petri Moesorum frater, in principatu patriae successor, Ioannes arma extulit contra imperium; statimque aggressus cum plurimo exercitu (6620) in Rhodopeiis iugis Constantiam urbem bene munitam fastigiisque impositam facili proelio sibi vindicavit. huius deiectis moenibus scelestus homo Varnam perrexit urbem ad mare sitam, (6625) quam continenter tribus diebus quassam, postremo captam exaequavit solo, eiusque cives in subiecta fossa hic daemon obruit vivos, heu dolorem! sabbati magni et benedicti die, (6630) Christi sacram passionem nil reveritus. tum demum in suam patriam est reversus.

Nunc opus haud inepto tragoedo foret, qualis sum ego, ut caneretur digne calamitatum pelagus et abyssus, (6635) malorum inquam Ilias et tragoedia, quae Constantini simul urbi contigit. immo opus foret contra summo vate, qui quemvis superaret plorando tragicum humanarumque actorem miseriarum, (6640) quales fuerunt scilicet illi eximii

πίσυνος ὢν ὅμως δὲ κἀγὼ τῷ λόγῳ,
αὐτοῦ διδόντος, ἐξερῶ τι πρὸς σθένος.
Καθεῖλεν Ἀλέξιος Κομνηνὸς κράτωρ
σύναιμον Ἰσάκιον ἀρχικοῦ θρόνου·
καὶ τάχ' ἂν ὑπῆν συμφέρον κραταρχίᾳ,
εἰ τοῦδε μηδὲν φυλακῆς κατημέλει.
νυνὶ δὲ διάγοντι τῷδ' Ἰσακίῳ
κατά γε διπλοῦν κίονα Προποντίδος
ἀνεύθυνον ξύμπασιν ἦν προσιέναι
καὶ καθομιλεῖν πάντα τε δρᾶν ἀνέδην.
διακόνοις οὖν Ἰταλοῖς κεχρημένος,
ἀνδράσι φίλοις, γράμματ' ἐκπέμπει λάθρα
φίλῃ θυγατρὶ τῇ συνεύνῳ Φιλίππου
Ἀλαμανῶν ἄρχοντος εὐτυχῶς τότε,
δηλοῦντά οἱ ξύμπαντα συμβεβηκότα.
κἀκεῖθεν ἀντίγραφα προσδεδεγμένος
πέμπει πρὸς αὐτὴν Ἀλέξιον υἱέα,
ὃν καὶ λιπεῖν ἤλπιζε κληροῦχον στέφους,
λαθόντα τὴν αἴσθησιν οἷς τούτου λόγος.
ὅπως δὲ λαθὼν διέδρασε, λεκτέον.
οὗτός γε συνέξεισι τῷ στεφηφόρῳ
στράτευμα κινήσαντι κατὰ Καμμύτζη,
εἰς δ' οὖν Δαμοκράνειαν ἐσκηνημένου
ἀπῴχετ' αὐτὸς ἀποδρὰς πρὸς Ἀθύραν.
ἐφόλκιον δὲ νηὸς εὐρείας πάνυ,
Ἑλλησποντίαις Πηγαῖς καθωρμισμένης,

Sophocles Aeschylusque atque Euripides. verum et ego fretus facundiae viribus, harum ope aliquid conabor fari.

Comnenus Caesar expulerat Alexius (6645) germanum Isaacium regali throno; idque fortasse fuerat imperio utile, nisi custodiam pulsi neglexisset. nunc cum Isaacius domum habitaret ad duas columnas sitam in Propontide, (6650) erat cuique liberum accedere, colloquia atque negotia audacter agere. ergo Isaacius usus ministris Italis, amicis sibi viris, arcanas literas mittit ad filiam suam Philippi uxorem (6655) tunc Alamannis imperantis feliciter. in his significabat fortunam suam; receptisque illinc vicissim literis mittere Alexium filium ad ipsam statuit, quem et sperabat regni heredem linquere, (6660) clam illis scilicet qui observabant iuvenem. sed ut latuerit fuga, iuvat eloqui. profectus hic cum Caesare nuper fuerat bellum Cammytzae, ut diximus, inferente: cum autem Damocraniae mora fieret, (6665) fuga adulescens contulit se Athyram. cumque famulus lembus ingentis navis, cuius nauarchus erat Pisanus civis, ad Pegas Hellesponti urbem progressus

ἧς ἡγεμὼν ἦν ἐκ Λατίνων Πισσαῖος,
προευτρεπισθὲν εἰς δοχὴν τοῦ δραπέτου,
ἐκεῖ καταῖραν ἐξεπίτηδες τότε,
ἡρπακὸς ἐξέπλευσε τὸν νεανίαν,
καὶ πρὸς μέγ' ἀπήνεγκε πλοῖον Λατίνου.
ἐπεὶ δὲ δρασμὸς διέγνωστο τοῦ νέου,
στείλας ἐρευνᾷ βασιλεὺς πλοῖον μέγα.
οὐδὲν δὲ καὶ δράσαντες ἀπεσταλμένοι
παλίνδρομοι φθάνουσι πρὸς βασιλέα·
κειράμενος γὰρ εὐφυῶς οὗτος κόμην,
ἐσθήμασί τε σχηματισθεὶς Λατίνων,
εἱλούμενός τ' αὖ ἀναμὶξ αὐτῶν ὄχλῳ,
ἄγνωστος ἦν ἅπασι καὶ τοῖς εἰδόσιν.
οὕτως ἀποδρὰς Ἀλέξιος, ὡς ἔφην,
πρὸς κασιγνήτην ἐν Σικελίᾳ πλέει,
καὶ τῇδ' ἐποφθεὶς ἐκτραγῳδεῖ τὰ πάθη.
ἡ δ' ἐκλιπαρεῖ τὸν σύνευνον ἀμῦναι
φίλῳ τε πατρὶ δυστυχῶς πεπραγότι
καὶ συγγόνῳ πλάνητι γυμνῷ τ' ἀστέγῳ.
Ταῦτα μὲν οὕτω συνέκυρσε τῷ τότε,
ὑπῆν δ' Ἐριννὺς φθαρτικὴ καὶ πρὶν πόλει,
Ἐρίκος τις Δάνδουλος δοὺξ Βενετίας,
ἀνὴρ ἀγύρτης καὶ παλαιὸς κακίαν,
Ἄδερ ἀλιτήριος, Αὐσόνων λύμη,
ὃς ὑποτύφων ζώπυρον βασκανίας,
ἔναυσμά τ' αὖ μήνιδος ἔνδοθεν φέρων
ὡς ἐν σποδιᾷ τῆς ἑαυτοῦ καρδίας,

esset, paratus nempe ad excipiendum profugum, (6670) repente admotus Athyrae littoribus recepto adulescente altum tenuit, atque ad Pisani navem eundem transtulit. sed mox ut fuga innotuit adulescentis, navigium magnum Caesar scrutari iussit (6675) ministros a se missos: sed isti tamen ad eum reversi sunt negotio infecto. etenim apte tonso capillo iuvenis vestimentoque simulans se Latinum, cum se permiscuisset turbae nauticae, (6680) cunctis vel familiaribus fuit incognitus. sic fuga elapsus, ut dictum est, Alexius ad sororem confert se in Siciliam, atque apud illam casus flet domesticos; quae sponsum exoravit ut vindex fieret (6685) parenti suo tam gravibus oppresso malis, fratrique nudo exsuli et sine laribus.

Dum haec peraguntur, Erinnys alia exitiosa Byzantinae urbi dux Venetiarum erat Ericus Dandulus, (6690) vir fraudulentus, veterator pessimus, Ader exsecrandus, imperii pestis, qui arcanam flammam nutriens livoris, atque odii fomitem iamdiu gerens tamquam sub mentis

τῆς δῆθεν, ὡς ἔφασκεν, εἰς συμφυλέτας
παρ᾽ Αὐσόνων πρὶν ζημίας παροινίας,
εὐκαιρίαν πνεύματος ἦν ἀναμένων,
ὡς πυρσὸν ἀνάψειεν αὐτοῦ κακίας
περιφανῆ μέγιστον ἑπταπλασίως
κατὰ κραταρχίας τε καὶ Ῥωμαΐδος.
δραξάμενος γοῦν τηνικαῦτ᾽ εὐκαιρίας,
τὴν πυρκαϊὰν ἦρεν εἰς μέγα φθόνου,
ὕλην χορηγοῦντος δὲ καιροῦ τῷ φθόνῳ,
συνωμότας σχὼν εἰς σύναρσιν κακίας
ἄνδρας τοπάρχας εὐγενεῖς ἐκ Λατίνων,
ἐκπλεῖν ἑτοίμους εἰς Παλαιστίνης ὅρους
πρὸς ἐκδικίαν μνήματος ζωηφόρου.
βουλεύεται δὲ κατὰ Ῥωμαίων σφίσιν.
οὗτοι δ᾽ ὑπῆρχον ἀρεϊκοὶ γεννάδαι,
Μόντης Φεράντης μαρκέσιος ἀξίαν,
κλῆσιν Βονιφάτιος, ἀκμαῖος σθένος,
Βαλδουῖνος κόμης τε χώρας τῆς Φλάντρας,
πρὸς δ᾽ αὖ Ἐρῖκος ἁγίου Παύλου κόμης,
καὶ Δολόϊκος κόμης τῆς χώρας Πλέης,
πλείστοις σὺν ἄλλοις ἀνδράσι τολμητίαις.
πλοῖα δ᾽ ἐτύχθη παντὸς ὡς εἰπεῖν στόλου
εἰς Βενετίαν ἐν τρισὶν ὅλοις χρόνοις,
δρόμωνες ἵππων εἰσδοχεῖς πρὸς τοῖς δέκα
ἑκατόν, εὖ πως τῇ τέχνῃ πεπηγμένοι,
ἑξήκοντα νῆές τε τριήρεις πάλιν.

6703 γε?

cinere repositum, (6695) ob suis illata, ut aiebat, civibus a nobis detrimenta atque iniurias, aurae secundae flabrum exspectabat, ut suae malitiae facem inflammaret maximam luculentam et septemplicem (6700) contra Romani columen imperii. tunc ergo idoneam nactus occasionem, facem ingentium sustulit irarum, suppeditante tempore materiam ignibus. is conspiratos habuit ad facinus (6705) viros toparchas nobiles Latinos, in Palaestinam mox navigaturos ab liberandum domini sepulchrum. cum his ad nostram coniuravit luem. erant hi bellica virtute insignes, (6710) Montisferrati dignitate marchio nomine Bonifacius, vir fortissimus, Balduinusque comes provinciae Flandriae, insuper sancti Pauli Ericus comes, praetereaque Pleae Doloicus comes, (6715) cum audacibus aliis viris plurimis. ac navigia universae prope classis constructa sunt Venetiis per triennium, celeres naves decem supra centum, equis vehendis, optime compactae; (6720) sexaginta praeterea triremes.

ἔτι δὲ συνήλιστο πλοῖα στρογγύλα
πανταχόθεν μέγιστα τῆς Ἰταλίας,
πληροῦντ᾽ ἀριθμὸν ὑπὲρ ἑπτάκις δέκα.
οἷσπερ συνηρίθμητο πλοῖόν τι τέρας
πελώριον, μέγιστον ὧν ποτ᾽ εἶδέ τις,
κόσμος σφίσιν οὕτω γ᾽ ἐπικεκλημένον.
εἴσεισι τοίνυν ἵππος αὐτὰ χιλία,
ὅπλοις γε κατάφρακτος, εὖ ὡπλισμένη,
ἀσπὶς δ᾽ ὁμοίως, μυριάδες που δέκα,
εἰς παντοδαποὺς ὁπλίτας τετμημένη,
εἰς τζαγρατοξότας δὲ τῶν ἄλλων πλέον.
Ὡς δ᾽ ἦν πρὸς ἔκπλουν ηὐτρεπισμένος στόλος,
ἐνταῦθα βυθὸς ἀνερράγη κακίας
καὶ συμφορῶν θάλασσα κυματουμένη,
ἐπὶ κακῷ κακόν τι προσβάλλον πόλει·
δαλὸς γὰρ Ἀλέξιος τῆς Κωνσταντίνου,
Ἰσακίου παῖς τοῦ βεβασιλευκότος,
ὁ πρὶν ἀποδρὰς λάθρα τῆς Βυζαντίδος,
γράμμασι πάπα τῆς παλαιτέρας Ῥώμης
Ἀλαμανῶν τε ῥηγὸς ὠχυρωμένος,
τοὺς ἐν στόλῳ πλέοντας εἰς Παλαιστίνην
ἐκπλεῖν σὺν αὐτοῖς ἠξίου πρὸς πατρίδα,
συναξιούντων τῷδε ῥηγὸς καὶ πάπα,
οἳ χάριτας ἔφασκον ὀφλήσειν σφίσιν,
εἰ τουτὶ μειράκιον εἰς κραταρχίαν
αὖθις ἐπανάξουσι τὴν φυτοσπόρον.

6729 rectius sine dubio Nicetas 3 9 scribit *ἀσπὶς τρισμυρία*. M.

tum et rotundae sunt collectae naves undique versum ex Italiae oris peramplae molis ad septuaginta; quibuscum erat prodigiosum quoddam (6725) maximum quotquot umquam visa fuerant navigium, cui mundi nomen fecerant. impleruut autem classem mille equites, armati omnes, immo cataphracti, scutatorum autem militum centum milia, (6730) in varios armaturae distincti ordines; plerique tamen erant ballistarii.

Iam cum parata esset ad cursum classis, tunc dilatavit fauces abyssus mala, inhorruit procellosum aerumnae mare, (6735) incubuit urbi malorum cumulus. infaustus namque Alexius, Isacii filius imperatoris quondam Byzantini, is qui clam antea fugerat ex urbe, literis papae senioris Romae (6740) atque Alamanniae regis communitus, navigaturis adfuit in Palaestinam, petens reverti in patriam cum ipsis, suffragio adiutus, inquam, et papae et regis, qui se praedictis viris habituros (6745) gratiam aiebant, siquidem reponerent adulescentem in paterno

"πρὸς τοῖσδ' ὑμᾶς καὶ τοῦτο σωροῖς χρημάτων
ἀμείψεταί γε καὶ θεραπεύσει τάχα,
εἴπερ δι' ὑμῶν ἀπολήψεται κράτος."
ἄνδρες πανοῦργοι λοιπὸν εἰσδεδεγμένοι,
πολυτρόποις πράγμασιν ἐντεθραμμένοι,
παῖδά τιν' ἁπλοῦν, εὔκολον πρὸς ἀπάτην,
σύμπλουν, ὁμοτράπεζον, ἀλήτην, ξένον,
ὅρκοις ἀναπείθουσι συνθέσθαι σφίσιν
ἃ μηδαμῶς πέφυκε δέξασθαι πέρας.
οὐ γὰρ θαλάσσας κατένευσε χρημάτων
τούτοις παρασχεῖν, ἀλλὰ καὶ συμμαχίδας
νῆας τριήρεις πεντήκονθ' ἅμ' ὁπλίταις
κατ' Ἀγαρηνῶν ἀπόπλουν ποιουμένοις.
πρὸς τοῖσδ' ἐπηγγείλατο, φεῦ ἀμαθίας,
ἐθῶν ἀνακαίνισιν ἀρχαίων πάπᾳ,
ἔθη νεοχμῶσαί τε τῆς ἐκκλησίας,
καὶ πίστεως δὲ παραποίησιν δρᾶσαι,
ἣν στερκτέαν κρίνουσι παῖδες Λατίνων.
Ἀλλὰ τὰ πρυμνήσια λύσας ὁ στόλος,
πρὸς Ἰάδαρα τὴν πολίχνην κατάρας,
ἐμάχετ' αὐτοῖς, τοῦτο δόξαν Δανδούλῳ.
ὡς δ' οὖν παρεστήσατο φρούριον στόλος,
Ἐπιδαμνίων ἐγκαθώρμισται πόλει,
καὶ τοῖσδ' ἀνηγόρευτο Ῥωμαίων ἄναξ
Ἀλέξιος παῖς, Ἰταλοῖς ὁ συμπλέων.

6760 hoc loco schismaticum se demonstrat aperte Ephraemius. M.

imperio; praeterquam quod innumera pecunia idem et officio gratus foret, si illorum ope imperium reciperet. (6750) callidi homines variisque agendis exerciti negotiis tunc exceptum simplicem puerum, fraudibus expositum, navis mensaeque socium, errantem, advenam, iuratis verbis adigunt spondere (6755) quae numquam poterant exitum sortiri: neque enim tantum maria pecuniae promisit se daturum, sed quinquaginta cum auxiliari milite triremes Agarenorum profligando bello. (6760) praeterea promisit, heu stultitiam! restituturum prisca se papae iura, ritus ecclesiae nostrae reformaturum, talem se denique in Graeciam reducturum qualem Latini profitentur fidem.

(6765) Postquam sublatis demum classis ancoris ad parvam urbem Iadara pervenit, hanc suadente expugnavit Dandulo. quam ubi cepit arcem, progressa classis ad Epidaurum urbem obvertit proras; (6770) ibique est acclamatus Romanus Caesar puer Alexius, cum Italis navigans.

ταῦτα σαφῶς γνοὺς ὁ κρατάρχης Αὐσόνων
ἤρξατο σαθρὰς καὶ παλαιὰς τῷ χρόνῳ
νῆας τριήρεις ἀνακαινίζειν τέχνῃ,
εἰς εἴκοσιν μόλις ἀναριθμουμένας.
ὅρμου δ' ἀναχθεὶς ἐξ Ἐπιδάμνου στόλος,
τυχὼν ἐπιφόρου τε πνεύματος λίαν
αὔρας τε λαμπρᾶς ἐκ πρύμνης ποντιάδος,
ἐφίσταται τάχιστα τῇ Κωνσταντίνου,
ἀστυπολιτῶν μήτινος κατειδότος
σχεδὸν κατάπλουν Ἰταλῶν ἐναντίων.
καὶ τί με δεῖ γράφοντα μηκύνειν λόγον;
γνόντες Λατῖνοι δειλίαν τῶν Αὐσόνων
οἷς σφᾶς ἑώρων τῷ δέει τεθνηκότας,
πιτνοῦσιν ἀκταῖς εὐχερῶς ἔξω φόβου,
στράτευμα δ' ἐξάγουσιν εἰς γῆν ἱππέων.
νῆες δὲ πλοῖα καὶ δρόμωνες αὖ πάλιν
πρὸς κόλπον εὐθὺς εἰσπλέουσι τὴν πρόσω.
ἁλύσεως δὲ προσβαλόντες φρουρίῳ
ἐνάλιοί τε καὶ χθόνιοι κυκλόθεν,
οὓς μὲν φυλάκων εἰργάσαντο φυγάδας,
οὓς δ' αὖ θαλάσσης παρέπεμψαν τῷ βάθει,
κατὰ μάχην κτείναντες ἀνθισταμένους.
ἁλύσεως δ' ἔπειτα ῥαγείσης μέσον
εἰσρύεται πᾶς εὐχερῶς ἔνδον στόλος,
καὶ κακὸν ἀνύποιστον ἦν ἀργαλέον.
στράτευμα λοιπὸν ἱππικὸν πεζόν θ' ἅμα
καὶ πᾶς προσέσχον τῷ Κοσμιδίῳ στόλος.

his intellectis Romanus imperator triremes putres et senio fatiscentes instaurari iussit ab opificibus, (6775) quae vix viginti numero fuerunt. portu discedens Epidauri classis, ventis propitiis utens ad miraculum, quippe marina aura urgente puppes Cpolim tenuit celerrime, (6780) nemine prope civium sciente adhuc Italicorum hostium adventum. nec vero longas loquar per ambages. gnari Latini quantus esset civium metus, quo cunctos cernebant exanimes, (6785) classem secure ac facile advertunt oris: ipsi cum equis in terram desiliunt; cuncta diversi generis navigia in ulteriorem provehuntur sinum usque ad castellum quod catenae dicitur. (6790) sic oppugnantes terra marique urbem partim custodes moenium fugabant, partim classiarios mari demergebant, eratque caedibus inquinatum proelium. ut autem media fracta est catena, (6795) omnis continuo classis introibat, eratque malum nimium, ineffabile. reliquus miles, pedes equesque simul, tum classis etiam pergunt

στρατὸς δ' ἐκεῖ χάρακα πεζὸς πηγνύει,
ἐπιπεφυκότος γε χώρῳ γηλόφου,
τάφρῳ περιδρόμῳ τε διειλημμένον
σταυρώμασί τε ξυλίνοις ἐν τῷ μέρει·
ἀφ' οὗ θεατὰ τὰ βασίλεια πέλει.
ταῖς ᾐόσι δ' αὖ ναυλοχεῖ πάλιν στόλος.
ἦν οὖν τὸ λοιπὸν καρτερὰς μάχας βλέπειν
ἑκατέρωθεν πολλάκις τῆς ἡμέρας·
ἄνδρες δ' ὁπλῖται, γεννάδαι στρατηγέται,
εὖνοι βασιλεῖ καὶ προσήκοντες γένει,
μετὰ στρατιᾶς ἱππικῆς πεζῆς θ' ἅμα
συνεπλέκοντο Λατίνοις εὐκαρδίως,
τὸ μὲν παριστάνοντες ὡς ἔνδον πόλις
ὁπλιτικὸν μάχιμον εὐσθενὲς φέρει,
τὸ δ' αὖ ἑαυτῶν ἐν μάχαις εὐανδρίαν·
ἡνίκ' ἀθρεῖν ἦν οὐκ ἀγεννῆ τΑὐσόνων,
οὐδ' ἀρεϊκῆς ἀνδραγαθίας ξένα,
καὶ μᾶλλον ἔνθα γαμβρὸς ἦν βασιλέως
μάχας στρατηγῶν καὶ διευθύνων ξένως,
Θεόδωρος Λάσκαρις, ἐν μάχαις λέων·
οὗτος τολυπεύων γὰρ ἄριστα μάχας
ἔπληττε κατέπληττε τοὺς ἀντιπάλους.
Συσπειραθὲν στράτευμα λοιπὸν Λατίνων
χερσαῖον ὑδραῖόν τε, φεῦ τῆς μανίας,
ἔγνωκε δεῖν πως προσβαλεῖν Βυζαντίδι,
ἵν' εἰ μὲν ἰσχύσειεν· εἰ δ' οὖν συμβάσεις
δρᾶσαν ἀπίῃ πρὸς κελεύθους ἰδίας.

ad Cosmidium. ibi pedester miles castra struit (6800) in eminentis stationis loco, e regione regii palatii; quae partim fossa circumducta munit, partim decussim trabibus defixis. cuncta item classis constitit in littore. (6805) tum vero utrimque Martis opus grave per diem saepe peragi vidisses. magnanimi correptis armis duces, bene volentes Caesari vel stirpe proximi, cum peditatu simul equitatuque (6810) Latinis resistebant forti animo, portisque se efferebant, ut ostenderent bellicis viribus urbem non destitui, neque se aleam pugnae detrectare. profecto tum Romanos vidisses strenuos (6815) atque Mavortiae memores virtutis, praesertim ubi imperatoris gener bellum ducatu regebat mirifico, Lascaris Theodorus, in proeliis leo. hic enim pugnas fortiter sustentans (6820) caedebat concidebat adversarios.

Quare collectus Latinus exercitus terrestris et maritimus, proh rabiem diram! impetu statuit capere Byzantium, si modo praevaleret; sin minus, (6825) oblatis condicionibus hinc recedere. ergo Latini ho-

οἱ μὲν τὸ λοιπὸν ἀντιμάχων Λατίνων
πλοῖα φέροντες ἱστᾶσι πρὸ Πετρίων,
διὰ κάλων κλίμακας ἔχοντα ξένας,
ἱστοῖς πρὸς ὕψος εὐτέχνως συνδουμένας·
οἱ δὲ κριὸν τεύχουσι, μηχάνημά τι
καθαιρετικὸν τειχέων πολισμάτων,
κύκλῳ περιστήσαντες ἄνδρας ὁπλίτας
τζαγρατοξότας εἰς μάχην ἀντιμάχων.
καὶ τηνικαῦτα συγκροτοῦσι τὴν μάχην
ὡς κρατεράν τε καὶ σφόδρα φρικαλέαν.
ὁ τειχεσιπλήτης δὲ κριὸς ῥᾳδίως
ἔρρηξε τεῖχος πρὸς θάλασσαν τὸ βλέπον,
κἂν ἀπεκρούσθη συμμάχοις τοῖς Αὐσόνων.
πλοίοις δ' ἐνόντες ἐκ κλιμάκων ὑψόθεν
ἠφίεσαν λίθους τε κοντοὺς καὶ ξίφη
φύλαξι πύργων καὶ προμάχοις τειχέων,
καὶ πρὸς φυγὴν τρέπουσιν αὐτοὺς ῥᾳδίως.
λοιπὸν κρατοῦσι τειχέων πυργωμάτων,
καὶ πυρπολοῦσιν οἰκίας ἱδρυμένας
ἐκ τῶν Βλαχερνῶν ἐς μονὴν Εὐεργέτου.
Ἰδὼν δὲ δυστύχημα τοῦτ' αὐτοκράτωρ
καὶ συνοχὴν δάκρυα τῶν ὑπηκόων,
μέμψεις δὲ τούτων εὐλαβηθεὶς καὶ πλέον,
μόλις ὁπλίτης γίνεται καὶ σὺν βίᾳ.
τῶν βασιλείων δ' ἐξιὼν ὡπλισμένος
πλείστους ἐπεσπάσατο λαμπροὺς ἱππέας
καὶ πεζικὴν φάλαγγα γενναίων νέων.

stes in aciem prodeunt atque naves promovent usque ad Petrium, grandes habentes in antennis scalas funibus alligatas arte mira. arietem alii machinam obiectant, solitum urbanorum flagellum moenium, et circumponunt homines armigeros, ballistarios, qui hostem verberent. tunc atrox exardescit ad moenia bellum, terrore plenum, maximis conatibus. ariete expugnatore ruperunt facile obversum mari murum; sed sunt repulsi a nostris auxiliaribus, qui in urbe erant. at classiarii desuper e scalis lapidibus feriebant telis gladiis turrium custodes moeniumque vindices, brevique eos in fugam coniecerunt. deinde hostes moenibus potiti urbanis ignem domibus iniiciunt inde a Blachernis ad aedem Euergetae.

Tunc dirum casum cernens imperator, trepidationem lacrimasque civium, horumque verens maxime querimoniam, aegre et coactus tandem in arma rapitur, et cataphractus prodiens palatio traxit nobilium equitum catervam peditumque iuvenem fortem manum. et fortasse ali-

καὶ τάχ᾽ ἂν ἔργον εὐκλεὲς πέπρακτό οἱ,
σωτήριον πόλει τε καὶ κραταρχίᾳ,
εἰ συνεπλάκη τοῖς ἐχθροῖς ἐναντίος,
ἢ συμπλοκὴν Λάσκαρι γαμβρῷ γεννάδᾳ
ὀργῶντι μάλα συγκεχωρήκει τότε.
νῦν δ᾽ ὑπὲρ αἶσαν ἡ στρατιᾶς δειλία
εἰς ἔσχατον κίνδυνον ὦσε τὴν πόλιν·
μόνον γὰρ εἰς ἔνδειξιν αὐτὸν ὁπλίσας
μικρόν τε φανεὶς ὁ κρατάρχης ὁπλίτης
εὐθὺς ἀπεκρύψατο, μηδέν τι δράσας,
ἀσπάσιος μὲν ἐξιὼν πρὸς τὴν μάχην,
ἐπανιὼν δ᾽ αἴσχιστος ἐκ μάχης τάχα,
θρασυτέρους θεὶς ἀντιμάχους Λατίνους.
ὅμως ὑπεισδὺς τοὺς βασιλείους δόμους
Κομνηνὸς Ἀλέξιος Αὐσονοκράτωρ,
ἔγνωκε δεῖν οἱ συμφέρον τε τυγχάνειν
ἀντιφερίζειν μηδὲν ἀκμῇ κινδύνου.
ἔξεισι νυκτὸς τοιγαροῦν λεληθότως,
πρὸς Δεβελτὸν δ᾽ ἄπεισι φρούριον Θρᾴκης,
ἔνθα προητοίμασε τὴν κατοικίαν,
ὀκτὼ κατασχὼν τὴν βασιλείαν χρόνους
σὺν μησὶ τρισίν, ἡμέραις αὖθις δέκα.

Ἀλέξιος ὁ υἱὸς Ἰσαακίου μῆνας ς᾽.

Αὖθις δ᾽ Ἰσαάκιος ἄρχει τοῦ στέφους
σὺν Ἀλεξίῳ τεκνίῳ πεφιλμένῳ·
ἐπεὶ γὰρ Ἀλέξιος ἀπέστη κράτους

quod peracturus erat utile urbi facinus et imperio, (6855) si cum hostibus manum conseruisset, vel certe Lascari, genero fortissimo, maxime optanti pugnam permisisset. nunc conservandae vitae dum studet miles, acceleravit urbi discrimen summum. (6860) nam Caesar armis sumptis in speciem tantum, postquam se paulisper armatum ostendit civibus, nulla re digna gesta recessit statim; et qui iucundus nuper in proelium venerat, mox ignominia plenus ex eo discessit, (6865) aucta Latinis hostibus audacia. cum recepisset ergo se in palatium Romanus Caesar, Comnenus Alexius, utile sibi censuit ac necessarium instanti iam periculo non resistere. (6870) clam igitur per noctem elapsus aedibus abiit Debeltum Thraciae castellum, ubi iam sibi instruxerat diversorium, postquam tenuerat regnum annis octo, tribus praeterea mensibus, diebus decem.

Alexius Isaacii filius mens. 6.

(6875) Tunc iterum Isaacius potitur stemmate cum dilecto suo filiolo Alexio: nam postquam prior Alexius cessit regno atque Debeltum,

καὶ πρὸς Δεβελτὸν ἀπέδρασεν, ὡς ἔφην,
εὐθὺς ἀνηγόρευτο πρὸς γερουσίας
Ἰσαάκιος βασιλεὺς πηρὸς φάη,
εἱρκτῆς τε δεσμῶν ἀνεθεὶς παραλόγως,
καθείργνυται δὲ βασιλὶς Εὐφροσύνη.
ὡς δ' ἐγκατέστη καὶ πάλιν κραταρχίᾳ,
τίθησι δῆλον πᾶν τὸ συμβὰν Λατίνοις.
οἱ δ' υἱὸν ἐκπέμπουσιν αὐτῷ σὺν τάχει,
ὃς ἠξίωτο πατρικῆς συνεδρίας
κοινωνίας τε τοῦ βασιλείου κράτους·
καὶ πᾶς προσιὼν δημοτῶν τῶν ἐν τέλει
ἀμφοῖν προσῆγε προσκύνησιν καὶ σέβας.
μετὰ βραχὺ δὲ καὶ πρόκριτοι Λατίνων
τοῖς βασιλείοις παραβαλόντες δόμοις,
τιμῶν τυχόντες δωρεῶν τ' αὖ ἀφθόνων
αὖθις ἀπηλλάττοντο σὺν εὐταξίᾳ.
τούτοις βασιλεὺς δαψιλῶς καθ' ἡμέραν
ὅλας θαλάσσας χρημάτων ἦν παρέχων,
εἰ καὶ σφίσι κέκριτο ῥανίς τις τάδε.
χρῄζων τὸ λοιπὸν πλειόνων εἰς δαπάνην
τῶν ἱερῶν ἥψατο φεῦ κειμηλίων
σκευῶν τε θείων καὶ σεβαστῶν εἰκόνων·
καὶ τῶνδε κόσμον ἀθεμίτως λαμβάνων
ὡς κοινὸν ἀργύριον ἢ καὶ χρυσίον
παρεῖχεν ἐχθροῖς Ἰταλοῖς τόνδ' ἀφθόνως.
Οὗτος Πισσαίους Ἰταλοὺς τοὺς ἐν πόλει,
διαφόρους ὄντας γε τοῖς Βενετίκοις,

6886 ὡς V

ut diximus, profugit, a senatu protinus imperator (6880) caecus Isaacius est acclamatus, carcere suo praeter spem emissus. contra regina Euphrosyne custodiae traditur. ille recepto iterum imperio peractam rem significat Latinis; (6885) qui statim ipsi remiserunt filium, ut consideret cum parente domino sociumque honorem obtineret regni. tunc universus populus cum magistratibus utrique simul domino obsequium obtulit. (6890) paulo post etiam duces Latinorum cum ad regales aedes se contulissent, honoribus affecti donisque innumeris quieti recesserunt cum recto ordine. his imperator affatim quotidie (6895) maria pecuniae in sinum ingerebat, quanquam haec ipsis videbantur guttae. mox ad impensas indigus pecuniae coepit diripere sacros thesauros, vasa divina, venerandas statuas, (6900) quibus illicite detrahens ornatum, argenteosque et aureos nummos conflans, hostibus large profundebat Italis.

Is et Pisanos urbis inquilinos antehac a Venetis odio dissidentes,

ἐπὶ κακῷ φεῦ τῆς ὅλης Ῥωμαΐδος
σπεύσας φιλιοῖ καὶ καταλλάσσει τότε.
οἱ δ' ἀντιμάχοις προσρυέντες αὐτίκα
ἀεὶ διῆγον σύσσιτοι συνημμένοι·
ὅθεν Φραγγίσκοι προσλαβόντες τι μέρος
τῶν προσρυέντων Πισσαίων Βενετίκων,
δι' ἀκατίων προσπεπλευκότες πόλει,
συνεισπεσόντες ὁπλῖται ξιφηφόροι
τῇ συναγωγῇ κρυφίως τῶν ἐξ Ἄγαρ,
ἅπαντα ληστεύουσι τἄνδον καθάπαξ.
τέως δ' ἀπεκρούσθησαν Ἰσμαηλίταις
ἀστυπολίταις σφίσι συμμαχουμένοις.
οἱ δ' ἐκμανέντες πῦρ ἐνιᾶσι δόμοις,
καὶ πυρπολοῦσι τῷ πυρὶ τῷ παμφάγῳ
τὰ πλεῖστα καὶ κάλλιστα τῆς Κωνσταντίνου.
ἀφῇ μὲν ἀπήρξατο πυρὸς τῷ τότε
ἐκ συναγωγῆς, ὡς ἔφην, τῶν ἐξ Ἄγαρ,
τὸ καὶ Μιτάτον τοῖς ὅλοις κεκλημένον,
ὃ πρὸς θάλασσαν Εἰρήνης τῆς ἁγίας
ἀγχωμάλως ἵδρυτο ναῷ τιμίῳ.
καὶ πάντα φλέξαν ἀφανίσαν τὰ πέριξ
διερρύη πῦρ, πάντ' ἐρημοῦν τὰ κύκλῳ,
ἄχρι μεγίστου καὶ περικλύτου δόμου
θεοῦ σοφίας καὶ παναγίου λόγου.
διῆκε μέχρι καὶ θαλάσσης θατέρας,
κατά τε μῆκος πυρπολοῦν καὶ πρὸς πλάτος.
οὐκ ἦν τότ' ἀκίνδυνος ἡ φίλων θέα,

(6905) heu cum pernicie universi imperii inter se studuit iungere amicitia. illi adversariis enim reconciliati cum his curabant quotidie convivia. tum etiam Franci, socia cohorte (6910) Pisana Venetaque quae ultro accessit, cymbis in urbem subito delati impetum faciunt simul armata manu in synagogam clam Agarenorum, eiusque omnem rapiunt supellectilem: (6915) verum a Turcis demum sunt repulsi, opem ferentibus Byzantii civibus. illi efferati faculas iniiciunt civium tectis, consumuntque incendio plurima et optima urbis aedificia. (6920) magni fuit autem incendii initium a synagoga, ut diximus, Agarenorum, qui locus vulgo dicitur Mitatum; idque aedificium pertinet ad mare, ubi et Irenes divae templum surgit. (6925) illinc progrediens amburensque omnia, propagatumque gravi cum exitio, devenit usque ad inclytum circum maximum, qui sanctissimae Sophiae templo adiacet; atque ad oppositum venit usque mare, (6930) longe lateque media omnia concremans. nec tutum erat ad amicos accedere, nisi quis cymba semet circumve-

καὶ πρὸς Δεβελτὸν ἀπέδρασεν, ὡς ἔφην,
εὐθὺς ἀνηγόρευτο πρὸς γερουσίας
Ἰσαάκιος βασιλεὺς πηρὸς φάη,
εἱρκτῆς τε δεσμῶν ἀνεθεὶς παραλόγως,
καθείργνυται δὲ βασιλὶς Εὐφροσύνη.
ὡς δ' ἐγκατέστη καὶ πάλιν κραταρχία
τίθησι δῆλον πᾶν τὸ συμβὰν Λατί
οἱ δ' υἱὸν ἐκπέμπουσιν αὐτῷ σὺν
ὃς ἠξίωτο πατρικῆς συνεδρίας
κοινωνίας τε τοῖ βασιλείου κ
καὶ πᾶς προσιὼν δημοτῶν τ
ἀμφοῖν προσῆγε προσκύν
μετὰ βραχὺ δὲ καὶ πρὸ
τοῖς βασιλείοις παρα
τιμῶν τυχόντες δω
αὖθις ἀπηλλάττον
τούτοις βασιλεὺς
ὅλας θαλάσσας
εἰ καὶ σφίσι κ
χρήζων τὸ λ
τῶν ἱερῶν
σκευῶν τ
καὶ τῶ
ὡς κ ... *ει,*
πα ... *νδράσι φθόροις*
... *καὶ μάλα γεγηθέναι,*
... *ευειν Ἰταλοῖς καθ' ἡμέραν*

ut haec Isaacius cum maerore audiebat: sed huius filius, patriae r ... nicies, (6935) tanto gaudebat urbis exterminio.

Romanis rebus ita se habentibus nuper eiectus Caesar Debelto veniens armis insedit urbem Hadriani. infaustus iuvenis, re cognita, Alexius (6940) Cpoli cum exercitu exivit, habens Latinum in comitatu ducem, Montisferrati marchionem Bonifacium, quem mercede conduxerat ad bellum, sedecim auri datis centenariis. (6945) igitur Thraciae peragratis urbibus, reque confecta ex animi sententia, usque ad Cypsella oppidulum progressus; mox ad metropolim retro pedem tulit. dein scelestis partibus adhaesit (6950) hominum qui parentem excaecaverant thronoque deturbaverant, faventes patruo; quam rem aegerrime caecus rex ferebat, qui moliebatur iamdiu supplicium sumere de viris qui se tanto malo affecerant. (6955) hinc maledictis filium incessabat, quem versari cum pessimis audiebat, tali gaudentem maxime consortio; ludere

...κραιπαλᾶν τε καὶ ῥυπαίνειν τὸ στέφος,
...α ξύμπαντα δρῶντα τοῦ κράτους.
στυγητὸς πᾶσι καὶ τοῖς ἐν τέλει.
...τον ὑπῆν καὶ πατὴρ στυγητέος,
...ας λόγια συνθεὶς ἀσέμνως,
...ρευέν οἱ μοναρχίαν,
...ς δοξομανῶν ἀλόγως.
...νοντα δύσει τὴν ἕω
...ῃ νοῶν ὅ τι λέγοι,
...ιον ἕξοντα τόδε.
...ωσιν ἣν περιφέρει,
...ν ποδαλγίαν
...λεβηρίδα.
...οναχῶν καὶ λίχνοι,
...ν τ' εἰθισμένοι,
...τίῳ
οἱ λόγοις,
...ου,
...έρας
...αίνισιν σθένους·
...απλανέσι σφίσι,
...ημασι ταῖς ληρῳδίαις
...ηθῶς σφῶν ἐπεσκίρτα μέγα.
προσκείμενός τ' ἦν ἀστρολέσχαις καὶ μάλα,

6959 καὶ συγκραιπαλᾶν V 6978 invectionem hanc a Niceta sumit Ephraemius; quae si veritate nititur, sine dubio vituperandi sunt monachi illi. sed enim quam saepe haec crimina vel falso dicantur vel exaggerentur a scriptoribus parum piis aut odio aliquo imbutis, satis novimus. M.

quotidie alea cum Italis comissarique, et dignitatem regiam (6960) dedecorare singulos per actus. ergo hunc oderant populus et optimates.

Nec minus odio dignus pater erat, qui concinnatis ridiculis oraculis, quae universale sibi spondebant regnum, (6965) ut laeso cerebro indicabat fatue, a se coniunctum iri occiduum orbem deblaterans aiebat orienti totiusque mundi dominum se fore; quam patiebatur insuper caecitatem, (6970) arthritidisque morbum atque podagram se positurum veluti exuvias. haec ei suadebant catillones monachi, omnia ventris causa et fari et gerere imperatoris soliti in convivio; (6975) qui huic monarchiam verbis despondentes interim mero sese ingurgitabant, eiusque infirmas manus deosculantes mox recepturas robur praedicebant. credulas senex his praebebat aures (6980) deliramentis atque vaticiniis, atque laetitiis incedebat omnibus. astrologis quin etiam apprime deditus,

εἰ μή τις ἐχρήσατο πορθμείῳ τάχα.
ταῦτα μὲν Ἰσάκιος ἤχθετο κλύων,
υἱὸς δὲ τούτου πυρπολητὴς πατρίδος
ἔχαιρε τῇσδε συντελεσμῷ καὶ φθίσει.
Οὕτως δ' ἐχόντων πραγμάτων Ῥωμαΐδι
ὁ πρὶν κρατάρχης ἀπάρας Δεβελτόθεν
τὴν Ἀδριανοῦ καταλαμβάνει πόλιν·
ὃ γνοὺς ὁ δαλὸς Ἀλέξιος πατρίδος
ἔξεισιν ἅμα στρατιᾶς Βυζαντίδος,
ἔχων μεθ' αὐτοῦ συστράτηγον Λατίνων
Βονιφάτιον μαρκέσιον Φεράντης,
συνεκστρατεῦσαι πείσας αὐτὸν χρυσίου
κεντηναρίοις ἓξ ὅλοις πρὸς τοῖς δέκα.
περιδραμὼν οὖν Θρᾳκικὰς οὗτος πόλεις,
καὶ πάντα θεὶς εὖ εἰς ἑαυτοῦ συμφέρον,
ἄχρι Κυψέλλων κατιὼν πολιχνίου,
αὖθις ἐπανέστρεψεν εἰς Βυζαντίδα,
καὶ λοιπὸν ἐξήρτητο κακῆς φρατρίας
ἣ συνδιεπράξατο πήρωσιν φίτου
τῷ πατραδέλφῳ καὶ καθαίρεσιν κράτους.
ἐφ' οἷς ἀπηγχόνιστο πηρὸς αὐτάναξ·
ἐκαιροφυλάκει γὰρ ἔκτισιν τέως
τῶν τόνδε κακῶς εἰς φάος δεδρακότων.
ὅθεν τὸν υἱὸν λοιδορῶν οὐκ ἀνίει,
καὶ μᾶλλον οἷς ἔκλυεν ἀνδράσι φθόροις
χαίρειν τε τοῦτον καὶ μάλα γεγηθέναι,
καὶ συγκυβεύειν Ἰταλοῖς καθ' ἡμέραν

heret. haec Isaacius cum maerore audiebat: sed huius filius, patriae pernicies, (6935) tanto gaudebat urbis exterminio.

Romanis rebus ita se habentibus nuper eiectus Caesar Debelto veniens armis insedit urbem Hadriani. infaustus iuvenis, re cognita, Alexius (6940) Cpoli cum exercitu exivit, habens Latinum in comitatu ducem, Montisferrati marchionem Bonifacium, quem mercede conduxerat ad bellum, sedecim auri datis centenariis. (6945) igitur Thraciae peragratis urbibus, reque confecta ex animi sententia, usque ad Cypsella oppidulum progressus; mox ad metropolim retro pedem tulit. dein scelestis partibus adhaesit (6950) hominum qui parentem excaecaverant thronoque deturbaverant, faventes patruo; quam rem aegerrime caecus rex ferebat, qui moliebatur iamdiu supplicium sumere de viris qui se tanto malo affecerant. (6955) hinc maledictis filium incessabat, quem versari cum pessimis audiebat, tali gaudentem maxime consortio; ludere

συγκραιπαλᾶν τε καὶ ῥυπαίνειν τὸ στέφος,
ἀνάξια ξύμπαντα δρῶντα τοῦ κράτους.
ἦν οὖν στυγητὸς πᾶσι καὶ τοῖς ἐν τέλει.
Οὐχ ἧττον ὑπῆν καὶ πατὴρ στυγητέος,
ὀμφάς τινας λόγια συνθεὶς ἀσέμνως,
ἅπερ προηγόρευέν οἱ μοναρχίαν,
ὡς ᾤετ' αὐτὸς δοξομανῶν ἀλόγως.
αὐτόν τε συνάψοντα δύσει τὴν ἕω
ἔφασκεν εἶναι, μὴ νοῶν ὅ τι λέγοι,
κράτος τε παγκόσμιον ἕξοντα τόδε.
πρὸς τοῖσδε καὶ τύφλωσιν ἣν περιφέρει,
ἀρθρῖτιδα νόσον τε καὶ ποδαλγίαν
ἀποξύσασθαι καθάπερ λεβηρίδα.
ὥσθ' οἱ προτένθαι τῶν μοναχῶν καὶ λίχνοι,
οἱ πάντα γαστρὶ δρᾶν λέγειν τ' εἰθισμένοι,
τούτῳ συνεσθίοντες ἐν συσσιτίῳ
μόναρχον ἀρχὴν συγκαθίστων οἱ λόγοις,
ἀνθοσμίαν πίνοντες ἄχρι καὶ κόρου,
καὶ κατεφίλουν ἀπατῶντες τὰς χέρας
καὶ προύλεγον σφῶν ἀνακαίνισιν σθένους·
ὁ δὲ προσεῖχεν ὡς ἀπλανέσι σφίσι,
καὶ θεσπιῳδήμασι ταῖς ληρῳδίαις
ἐπιγεγηθὼς σφῶν ἐπεσκίρτα μέγα.
προσκείμενός τ' ἦν ἀστρολέσχαις καὶ μάλα,

6959 καὶ συγκραιπαλᾶν V 6978 invectionem hanc a Niceta sumit Ephraemius; quae si veritate nititur, sine dubio vituperandi sunt monachi illi. sed enim quam saepe haec crimina vel falso dicantur vel exaggerentur a scriptoribus parum piis aut odio aliquo imbutis, satis novimus. M.

quotidie alea cum Italis comissarique, et dignitatem regiam (6960) dedecorare singulos per actus. ergo hunc oderant populus et optimates.

Nec minus odio dignus pater erat, qui concinnatis ridiculis oraculis, quae universale sibi spondebant regnum, (6965) ut laeso cerebro iudicabat fatue, a se coniunctum iri occiduum orbem deblaterans aiebat orienti totiusque mundi dominum se fore; quam patiebatur insuper caecitatem, (6970) arthritidisque morbum atque podagram se positurum veluti exuvias. haec ei suadebant catillones monachi, omnia ventris causa et fari et gerere imperatoris soliti in convivio; (6975) qui huic monarchiam verbis despondentes interim mero sese ingurgitabant, eiusque infirmas manus deosculantes mox recepturas robur praedicebant. credulas senex his praebebat aures (6980) deliramentis atque vaticiniis, atque laetitiis incedebat omnibus. astrologis quin etiam apprime deditus,

καὶ τοῖσδ' ὑπείκων πρὸς τὸ δῆθεν συμφέρον
ἔπραττε πολλὰ τῶν ἀθέσμων ἀλόγως·
καὶ σῦν Καλυδώνιον, ἔργον τι ξένον,
ἕδρας ἐφ' ἧς ἵδρυτο καταβιβάσας
ἤνεγκεν εἰς μέγιστον ἀρχεῖον βίᾳ,
δήμου συνῴδη μανικὴν ἀταξίαν
παύων, ἐπιφρίσσουσαν ἀτασθαλίαις.
Ὁ δ' ἐλλοχῶν ἦν τῇ βασιλίδι πόλει
στρατὸς Λατίνων ἱππικὸς καὶ νηΐτης,
φιλαργυρίας ὢν ἐραστὴς εἰσάγαν,
ἄπληστος ὄντως πίθος, ὡς παροιμία.
συχνῶς ἐπιόντες δὲ καὶ Προποντίδα
καὶ τὰ πέριξ ἅπαντα τῆς Βυζαντίδος,
ναούς τε θείους καὶ περικλύτους δόμους
πάντας ἐληΐζοντο κατεπυρπόλουν.
ὅθεν πολιτῶν συναλισθέντες στῖφος
ᾔτουν λαβεῖν στρατιὰν ἐξ ἀνάκτων
ἡγήτορα σφῶν κατ' ἐχθρῶν ἀντιπάλων.
ἀλλ' ἐξεκώφει πᾶς τις ἐν τούτοις λόγος,
μάλιστα δ' ἀνένευον οἱ στεφηφόροι,
μηδ' ὠσὶν ἄκροις τὴν πρὸς Λατίνους μάχην
ἀκουστέαν κρίνοντες ἐξ ἀμαθίας.
ὁ Δούκας δὲ Μούρτζουφλος ἐξελθὼν μόνος
τοῖς Ἰταλοῖς που συνεπλάκη πρὸς μάχην·
καὶ μή τινος τούτῳ γε συνησπικότος,
οὕτω βασιλεῖ δόξαν ἐκ βασκανίας,

6994 *καὶ* om V 6999 *στρατηγέτην?*

dum his obsequitur in gerendis rebus, absurda multa fecit et illicita. (6985) nam et suem Calydonium, opus mirum, de base sua commotum, in qua steterat, in maximum transferri palatium voluit, quasi cohibiturus hac re ferociam populi horrentem atque petulantiam.

(6990) Insidiabatur interim urbi regiae exercitus Latinus terra et mari, profundae deditus semper avaritiae, dolium vere inexplebile, ut ait proverbium. is sine fine excurrens per Propontidem (6995) perque Byzantii cuncta suburbana, sacra delubra cum nobilium villis passim subiecto praedabatur igne. quare conspirans civium multitudo exercitum a regibus postulabat, (7000) qui sibi contra hostes suppetias ferret. verum hae preces canebantur surdis, et renuebant maxime regnatores, qui ne mentionem quidem, ob suam stultitiam, bellandi cum Latinis ferre poterant. (7005) solus Murtzuflus Ducas armis sumptis cum Italis conflixit aliquando: verum cum nemo ferret ei suppetias, propter invi-

τάχ᾽ ἂν ἐκινδύνευσεν, εἰ μὴ τοξόται
ἐπήμυναν πόρρωθεν ἐκ τοξευμάτων.
ταῦτ᾽ ἄρα δῆμος πᾶς ὁ τῆς Βυζαντίδος
συσπειραθέντες ἀπετόξευον λόγους
αἰσχροὺς κατ᾽ ἀμφοῖν τοῖν κρατούντοιν Αὐσόνων,
καί τιν᾽ ἐδίφων εἰς κρατάρχην ἐκπόνως.
καί τινα Νικόλαον συνειληφότες
νεανίαν ἄκοντα, Καναβὸν θέσιν,
εἰς κράτορα χρίουσι τῆς Ῥωμαΐδος.
τούτου πραχθέντος Ἀλέξιος δεῖν ἔγνω
σὺν μαρκεσίῳ Λατινικὰς δυνάμεις
ἐν βασιλείοις εἰσαχθῆναι ταχέως·
ὁ γὰρ Ἰσαάκιος λοίσθια πνέων
ἔκειτο, μηδὲν γήϊνων ᾐσθημένος.
ὡς οὖν τάδ᾽ ἠνώτιστο δημῶδες στῖφος
καὶ ταραχὰς ὤδινε καὶ τρικυμίας,
τὸν καιρὸν ἁρμόδιον ἁρπάσας Δούκας
πρὸς ἥνπερ εἶχε σκέψιν ἐν τῇ καρδίᾳ,
Ἀλεξίῳ πρόσεισι νυκτὸς σὺν δόλῳ,
καὶ τόνδ᾽ ἀπατᾷ καὶ δεδίττεται λόγοις,
ὡς δῆθεν αὐτὸν ἀνελεῖν σπεύδων ὄχλος
ἐπὶ θύραις ἕστηκε πᾶς ξιφηφόρος,
ἐφ᾽ οἷς Λατίνοις συμμετέσχε σκεμμάτων.
ὅθεν λιπαρεῖ τὸν Δούκαν νεανίας
αὐτῷ συνοῖσον ὑποθέσθαι πρὸς τάδε.
ὁ δ᾽ αὖ περισχὼν τουτονὶ καταμόνας
δι᾽ ἀφανοῦς ἄπεισι πυλίδος λάθρα

diam sic volente Caesare, in summo fuit discrimine, ni sagittarii (7010) illi affuissent eminus coniectis telis. igitur universus Byzantii populus seditiose murmurans conviciis turpibus appetebat utrumque Caesarem, studioseque alium quaerebat dominum. (7015) et quendam cognomento Canabum, nomine Nicolaum, invitum iuvenem imperatorem cives constituerunt. tunc enimvero Alexius cum marchione (namque Isaacius animam agebat, (7020) nihil iam rerum terrenarum sentiens) ad palatii custodiam sine mora Latinos admovendos censebant milites. sed res perlata ad populi notitiam tumultum statim peperit et seditionem. (7025) tempus id idoneum ratus Ducas ad exsequenda mentis suae consilia, noctu ad Alexium fraudulenter venit, eumque falsis territat sermonibus, nempe ipsius neci intentum (7030) in foribus stare populum districtis gladiis, propterea quod Latinis faveret partibus. tunc enixe Ducam rogabat iuvenis ut sibi adesset ultor in discrimine; quem ille pallio obtectum in solitudine (7035) per occultum posticum

εἴς τι βαθὺ σκήνωμα τῶν ἀποκρύφων,
κἀκεῖσε δεσμεῖ τόνδε καὶ καθειργνύει,
μετὰ δὲ βραχὺ θανατοῖ δι' ἀγχόνης.
αὐτὸς δ' ἀνηγόρευτο Ῥωμαίων κράτωρ,
τοῖς βασιλικοῖς ὡραϊσθεὶς συμβόλοις.

Ἀλέξιος ὁ Μούρτζουφλος μῆνας β' Ϛ'.

Ὡς οὖν κατέσχε τὴν κρατ αρχίαν Δούκας,
χρυσῶνας εὑρὼν ἐν στενῷ πεφυκότας,
συσχὼν τελώνας πράκτορας τῶν πρὶν φόρων
ὄγκον παρ' αὐτῶν εἷλε χρημάτων μέγαν,
καὶ τοῖσδ' ἐχρῆτο πρὸς διοίκησιν ὅλων.
καὶ τοῖς Ἰταλοῖς ἀντεπιὼν ὁπλίτης
τὰς ἐκδρομὰς σφῶν ἀνέκοπτε ῥᾳδίως·
ὅθεν ποθεινὸς ὑπῆρχεν ὑπηκόοις,
ἐξαιρέτως δὲ στρατιωτῶν ταῖς ἴλαις.
καὶ Βαλδουΐνου τοῦ κόμητος τῆς Φλάντρας
τὰ πρὸς Φιλέα κατακείροντος μέρη,
ὁ βασιλεὺς ἔξεισι κατ' αὐτοῦ τάχος·
καὶ συρραγείσης ἐξ ἑκατέρων μάχης
ἡ Ῥωμαϊκὴ στρατιὰ νῶτα κλίνει.
ἔνθ' ἂν παραπώλλυτο μικροῦ καὶ κράτωρ·
εἰκών τε σεπτὴ τῆς μητρανάνδρου κόρης,
ἣν ἄνακτες πλουτοῦσι συστρατηγέτιν,
ἐχθροῖς ἑάλω κατὰ τήνδε τὴν μάχην.
ἀφεῖντο δ' ἠμέληντο καὶ συμβιβάσεις,

clam deducit in depressum quoddam tentorium abditum, ibique vinctum miserum custodiae tradit, pauloque post funesto exstinguit laqueo; Romanus autem ipse fit imperator, (7040) assumptis regii culminis insignibus.

Alexius Murtzuflus mens. 2 cum dieb. 15.

Ducas imperii adeptus potestatem, aerarium cernens vacuum pecunia, a superiorum temporum publicanis in ius vocatis aurum exegit plurimum, (7045) idque ad gerendam contulit rem publicam. tum armis captis, Italis resistens, horum excursus cohibebat facile; quamobrem gratus admodum erat civibus, praesertim vero militum cohortibus. (7050) et quia Flandriae comes Balduinus Phileae regionem milite vastabat, adversus illum statim Caesar exiit: sed enim perpetrato Martis opere, terga Romanus convertit exercitus, (7055) parumque affuit Caesar ab interitu: imago vero virginis deiparae, quam nostri reges belli sociam vocant, pugna fervente capta est ab hostibus. tum pacis

καὶ λοιπὸν ηὐτρέπιστο φάλαγξ Λατίνων
πρὸς ἄστεος πόρθησιν ἅλωσίν θ' ἅμα.
ἠϊόνων οὖν ἀποπλεύσαντα σκάφη,
ἐφ' ὧν ὑπῆρχον κλίμακες σὺν ὀργάνοις,
ἀκτῇ προσίσχει τῆς μονῆς Εὐεργέτου,
ἕως Βλαχερνῶν συνεχῶς ἀφιγμένα·
καὶ Δούκας αὖθις πηγνύει σκηνὴν φέρων
ἐπὶ κολωνοῦ πλησίον παντεπόπτου,
ἔνθα θεατὰ τῶν ἐχθρῶν ἦσαν σκάφη.
ἃ καὶ προσέσχε τείχεσι σὺν ὁπλίταις,
οἳ συμπλακέντες ταῖς πρὸ τειχέων ἴλαις
καὶ τοῖς ἐπὶ πύργων γε καθισταμένοις
πρὸς σφᾶς ἀγῶνα καὶ μάχην συνεκρότουν.
ἧττον δ' ἀπηνέγκαντο τὴν τόθ' ἡμέραν.
ἑξῆς δὲ προσβάλλουσι πανσυδὶ πόλει·
καὶ δύο δ' ἄνδρες ἐκ μιᾶς τῶν κλιμάκων,
ἱδρυμένης ἄγχιστα χώρου Πετρίων,
εἰς χῶρον ἀφήλαντο τὸν συνημμένον,
καὶ φυλακικὸν ἐκθροήσαντες ξίφει
σύσσημον ἦραν χαρμονῆς τοῖς φυλέταις,
καὶ πᾶν Ἰταλῶν συνδεδράμηκε στῖφος.
περὶ βασιλέα δὲ τοῦτ' ἠθροηκότες,
καὶ Ῥωμαϊκῆς στρατιᾶς ἰλαρχία,
ᾤχοντο πάντες ἀπιόντες ἐν φόβῳ,
κατὰ χιλίους ὑφ' ἑνὸς πεφευγότες·
καὶ τὰς χρυσείας καταλαβόντες πύλας,

7065 ἀφιγμένη V

conciliandae omissa cura, (7060) ad capiendam urbem diripiendamque se comparabat exercitus Latinus. ergo sublatis ancoris navigia, in quibus erant machinae cum scalis, ab Evergetae monasterii ora (7065) usque ad Blachernas coram constiterunt. vicissim Ducas transtulit tentorium, proximi collis statuens in specula, unde conspicua classis hostium erat, moenibus iam cum milite appropinquans. (7070) moxque congressi cum propugnatoribus urbani muri et turrium custodibus Latini pugnam validam ciebant: sed inferiores illa fuerunt die. postea totus rediit exercitus; (7075) duoque viri per scalam prorepentes, quam inter alias fixerant ad Petria, in apprehensam turrim desiluerunt, praesidioque gladiis profligato signum laetitiae sustulerunt suis. (7080) tunc Italorum omnis cohors irruit. qui vero Caesarem circumstabant aulici atque Romani exercitus rectores, in pedes cuncti se coniecerunt, atque unum mille timidi fugiebant. (7085) qui cum ad portam pervenissent

καινόν τε τεῖχος ῥᾷστα καθῃρηκότες,
ἐξῄεσαν τρέχοντες ἀκλεῶς πάνυ.
ἀντίμαχοι δέ, φεῦ ξένης τραγῳδίας,
διασπαρέντες πολλαχῇ Βυζαντίδος
συλῶσι ληστρεύουσι λαμπρὰς οἰκίας,
καὶ πάντα τὰ χείριστα δρῶσι τὴν πόλιν.
κατακρατοῦσι καὶ βασιλείων δόμων,
τὸν τοῖσδ' ἐνόντα πλοῦτον ἐσκυλευκότες.
ἄναξ δ' ἀγυιὰς τριόδους περιτρέχων
ἔσπευδε λαὸν συναγείρειν εἰς ἴλας
πρὸς ἀντιπαράταξιν ὑπεναντίων·
οἱ δ' οὐχ ὑπεῖκον κρείττον' ὑφηγουμένῳ
καὶ συμφέροντα καὶ σφίσι καὶ τῇ πόλει,
τῶν οὐσιῶν δ' ἕκαστος ηὐτούργει τάχος
μετάθεσίν τε καὶ κατάχωσιν πλέον.
ἰδὼν δ' ὁ Δούκας ὡς ὄνησις οὐκ ἔνι,
ἢ καὶ δεδιὼς ὑπὲρ αὐτοῦ πλειόνως
μὴ συσχεθεὶς τίσειεν ἀθλίως δίκας,
τοὺς βασιλείους εἰσδραμὼν λαμπροὺς δόμους,
βασιλίδα παραλαβὼν Εὐφροσύνην
σὺν θυγατράσι τ' ἐμβαλὼν λεμβαδίῳ,
ἁλοὺς μιᾶς ἔρωτι τούτων ἐκτόπως,
ἔξεισι φεύγων πατρίδα Βυζαντίδα,
ἀνὴρ ὑπάρχων ἀρεϊκὸς ἐν μάχαις,
στεῤῥὸς μαχητής, γεννάδας, ῥωμαλέος,
σοφισματίας κρυψίνους τε τὸν τρόπον,

7096 πρὸς δ' ἀντιπ. V 7105 καὶ βασιλίδα V

aurea, novo deiecto festinatim muro, misere foras semet proripiebant. at inimici, heu lugubrem tragoediam! late palantes passim per Byzantium (7090) latrocinando spoliant nobilium domos nihil nefandum urbi non efficiunt. regali quoque occupato palatio, inclusas opes penitus diripiunt. Caesar plateas triviaque percurrens (7096) centuriare nitebatur populum, suadebatque ut hostibus resisterent: at meliora consilia nemo audiebat, quamlibet urbi et sibi profutura, sed unusquisque suis raptim opibus (7100) studebat transferendis aut infodiendis. cum ergo Ducas hilum non proficeret, sibique vehementer iam timeret ne captus graves poenas hosti lueret, regias ad aedes festinatim convolans, (7105) atque illinc sumptam Euphrosynem reginam parvo in phaselo cum filiabus collocans, quarum unam ipse efflictim deperibat, exsul profugit patria Byzantio, vir sine dubio strenuus in proeliis, (7110) constans bellator, magnanimus, fortis, callidus, et consilia celare solitus,

πεφυκέναι πράγμασι κομπάζων ὅλοις,
οὐ σωματικῆς εὖ ἔχων συμμετρίας,
αὐχῶν τὰς ὀφρῦς μάλα συνεσπασμένας,
καὶ βραγχιῶν φάρυγγα, δύσηχος λόγον,
ἡλικίαν μέσος τε καὶ κοῖλος φύσει,
ἄδικος εὐνήν, φιλογύνις καὶ λάγνος,
πρωτοβεστιάριος ὢν τὴν ἀξίαν,
ὅταν κατῆρξε τοῦ βασιλείου κράτους,
ἓξ ἡμέρας δέκα τε σὺν μησὶ δύο
τῆς βασιλείας τὸ κράτος διιθύνας.

Θεόδωρος ὁ Λάσκαρις ἔτη ιθ'.

Ἐπεὶ δ' ὁ κρατῶν ἀπέδρασεν ὡς ἔφην,
Δούκας τε καὶ Λάσκαρις ἤρισαν κράτους,
καταλαβόντες τὸν θεοῦ μέγαν δόμον,
ἄμφω μαχηταὶ καὶ καλοὶ νεανίαι.
κλήρῳ δὲ λαχὼν Λάσκαρις κραταρχίαν
τέως μὲν ἀπείπατο σύμβολα κράτους,
συνεξιὼν δὲ τοῦ νεὼ τῷ ποιμένι
κατὰ Μίλιον καὶ μέρη Βυζαντίδος
τοὺς συνιόντας εὐμενῶς ἠντιβόλει
καὶ παρεκάλει πρὸς μάχην ἀντιπάλων.
μάλιστα πάντων τοὺς περὶ βασιλέα
σείοντας ὤμων ἀρέϊκ' ἄττα ξίφη

7126 sortem intelligo, non clerum; et falli mihi videtur Wolfius Nicetae interpres, qui dictionem *ἐκ δὲ κλήρου τὸ πρωτεῖον εἰληφώς* explicat *a clero praelatus.* alibi quoque idem mihi Nicetae interpres non semel peccare videbatur. confer v. gr. in hoc volumine p. 116 n. 1. M.

cunctis se iactans idoneum negotiis; corporis forma non satis concinna, adductum semper gerens supercilium, (7115) faucibus raucis, aspera loquela, statura media et valgus a natura, lascivus mulierosus et adulter. is dignitate protovestiarius erat, cum summam potestatem est adeptus, (7120) cuius regales tenuit habenas diebus sedecim supra menses duos.

Theodorus Lascaris an. 19.

Post fugam Caesaris de capiendo imperio Lascaris et alius Ducas decertarunt, in dei templum maximum profecti, (7125) fortis uterque egregiusque iuvenis: verum sors Lascari contulit imperium, qui regia tamen non sumpsit insignia, sed comitante patriarcha egressus ad Milium atque ad alias urbis partes, (7130) populi turmas blande compellabat ad resistendum hostibus adhortans. praecipue vero stipatores re-

ι
ἰι
ἤ
μὴ
τοὺ
βασι
σὺν ὑ
ἁλοὺς
ἔξεισι
ἀνὴρ ὑπ
στεῤῥὸς
σοφισμαι

7096 πι

aurεam, novo deiec
at inimici, heu lugu
tium (7090) latrocin.
non efficiunt: regali
diripiunt. Caesar pla
batur populum, suadeb
nemo audiebat, quamli
raptim opibus (7100) st
Ducas hilum non profice
graves poenas hosti lu
(7105) atque illinc sump
cum filiabus collocans, qua
fugit patria Byzantio, vir
stans bellator, magnanimus

αὶ πᾶς ὁ λαὸς ἐκχυθέντες ἀσμένως
ετὰ κρότων αἴνων τε φωνῶν αἰσίων
τούς τε παρέδωκαν ἅμα καὶ πόλιν
ακτι τῷδε Βαλδουΐνῳ προφρόνως·
καὶ καθικέτευσαν αὐτὸν συντόνως
αὐτὸν ἢ στράτευμα παρελθεῖν ἔσω
σαλονίκης ἀξιῶσαι τειχέων.
ὶ δεδρακὼς εὐμενῶς Βαλδουΐνος
ς καθυπέστρεψεν εἰς Βυζαντίδα.
πένδεταί γε Δανδούλου συμβουλίᾳ
ὶν δι' ἔχθρας τυγχάνοντι καὶ μάχης,
ατρίβοντι, τῷ μαρκεσίῳ.
ποστὰς Διδυμουτείχου θέλων
αι τάχιστα Θεσσαλονίκῃ,
πόλιν εἴσεισι ταύτην ἀμάχως,
ύσας τοὺς πολίτας ἀδίκως
τά τε καὶ τιμαλφεῖς οἰκίας,
φεὶς τὴν σύνευνον αὐτόθι
ος πρὶν γαμετὴν Ἰσακίου,
ρμησε τάγμασιν ἅμα,
εις μέτεισι τὰς πρὸς ἑσπέραν.
εστήσατο σὺν τῇ Βερροίᾳ,
σσης Ἑλλάδος τε τῆς ὅλης,
Πέλοπος, ἄλλας αὖ πάλιν
ἔγχιστα χώρας καὶ πόλεις·
κροῦ τὸ πρὸς ἑσπέραν κλίμα
ήσατο Λατίνων κράτει.

ausibus processit et laudationibus, (7215) seque cum civitate obtulerunt subditos. tamen enixis se pariter eiusque exercitus urbis introitu vel- quod clementer Balduinus annuit, moxque se exin obtemperans Danduli consiliis reconci- mo cum armis procul urbe stanti; (7225) qui veniens Thessalonicam contulit se in urbem, tinuit; cuius iniuste multavit cives, pecunia is. (7230) ibi relicta coniuge Maria, quae erat, inde discessit comitante exercitu, terras itas. Serris potitus est, nec non Berroea, mque Helladem, item Peloponnesum et provincias; cunctamque paene re- o imperio.

Κελτοὺς λιπαρῶν προτρέπων οὐκ ἀνίει.
ἐπεὶ δὲ θωπεύων τε καὶ παροτρύνων
οὐκ εἶχέ τινα τὸν κλύοντα μηδ' ὅλως,
ἤδη δὲ καὶ φάλαγξ τις ὦπτο Λατίνων,
μεθίσταται τάχιστ' ἐκεῖθεν ὡς δέον,
καὶ πρὸς φυγὴν ἔβλεψε καὶ σωτηρίαν.
ἀντίμαχοι δὲ κατ' ἐρημίαν τάχα
τῶν κωλυσόντων ἐκδρομὰς σφῶν ἀνέτους
ἐπῄεσαν, κτείνοντες ἀφειδῶς ξίφει
τὸν προστυχόντα καὶ σκυλεύοντες βίᾳ,
λεηλατοῦντες πυρπολοῦντες τὴν πόλιν,
καὶ πάντα δρῶντες, ὢ δυσυποίστου θέας,
κόσμον συλῶντες ἱερὸν θείων δόμων,
σεπτά τε κειμήλια καὶ θείους πέπλους,
ἔκτυπα Χριστοῦ, μητρὸς αὐτοῦ πανάγνου
εἰς γῆν καταρράσσοντες, ἄλλων θ' ἁγίων,
καὶ τὸν παρ' αὐτοῖς κόσμον ἐκ χρυσαργύρου
ὄντα διαρπάζοντες οἱ παραβάται,
σεμνὰς γυναῖκας ἱεράς τε παρθένους
ἕλκοντες εἰς ὕβριν τε καὶ φθορὰν βίᾳ,
καὶ τἆλλα κακῶν δρῶντες ὡδ' εἰπεῖν ἔπος
σύστοιχα τούτοις, καθάπαξ ἐοικότα.
ἐν οὖν στενωποῖς τριόδοις λεωφόροις
ναοῖς σεμνείοις, γωνίαις ἀποκρύφοις,
ὁδοῖς ἀγυιαῖς καὶ πλατείαις ἀμφόδοις,
θρήνων στεναγμάτων τε, κωκυτῶν γόων
εἴδους τε λοιπῆς δυστυχοῦς τραγῳδίας

gios, grandes gestantes humeris bipennis, Celtas enixis perurgebat precibus. (7135) sed cum nec blandis suadenti verbis neque adhortanti quispiam auscultaret, iamque appareret cohors Latinorum, Lascaris illinc, ut par erat, abiens fuga saluti consulendum censuit. (7140) interim hostes obviante nemine qui cohiberet liberos excursus, Orco mittebant inclementer animas civium caesorum, opes auferebant, igne latrociniisque vastantes urbem. (7145) o intolerandum lugubre spectaculum! sacer templorum ornatus diripitur; veneranda cimelia almaeque vestes, icones Christi matrisque sanctissimae aliorumque superum sternuntur humi, (7150) atque his pretiosum impia vi detractum metallum sibi vindicant apostatae. matronas venerandas sacrasque virgines ad stuprum rapiunt violenta manu. alia scelesta (nam dicendum breviter) (7155) facinora committunt his similia. ergo angiportus, trivia et ambulacra, sancta delubra et anguli reconditi, fora, viae, vici, compita, plateae, luctu gemitibus clamore et ululatibus (7160) virorum feminarum

ἀνδρῶν γυναικῶν ἣν παριοῦσι κλύειν.
ἐπεὶ δ' ἱκανῶς εἶχε τῶν σκυλευμάτων,
ἔπαυσε λείας καὶ λαφυραγωγίας
ἔχθιστον ἔθνος Ἰταλῶν μιαιφόνων.
ἔδοξε δὲ σφῶν προκρίτοις στρατηγέταις
ἐᾶν ἀπαίρειν πάντας ἐκ Βυζαντίδος
οἷς ἡδὺ καὶ πρόθυμον ἦν ἐξιέναι.
ἐξῄεσαν οὖν κατὰ χιλιοστύας,
οἰκτροί, κατηφεῖς, ῥακίοις εἰλημένοι,
αἵμασι μᾶλλον ἢ δάκρυσιν, ὡς λόγος,
κλαίοντες οὗτοι τῆς ἐνεστώσης τύχης.
Οἱ δ' Ἰταλοί, φεῦ ὑπεροψίας τόσης,
ὡσεί γε τετράκλιμον ἴσχοντες κτίσιν
ἢ καὶ βασιλεῖς ἐγκαθεστῶτες τάχα
βασιλέων πάντων γε τῶν ἐπὶ χθόνα,
αὐτοῖς διεῖλον σφίσιν τὴν οἰκουμένην,
χώρας πόλεις ἕκαστος εἰς κληρουχίαν
καὶ δεσποτείαν λαμβάνοντες ἐν λόγοις.
Βενετίκων δόξαν δὲ δουκὶ Δανδούλῳ,
πηρῷ μὲν ἀνδρὶ τὰς κόρας τῶν ὀμμάτων,
νοὸς φρένας δὲ καὶ λίαν ἐρρωμένῳ,
ψήφῳ κρατάρχην ἐκλεγῆναι Λατίνων,
ἔκ τε Φραγγίσκων Βενετίκων Λαμπάρδων
ἐπιλεγέντες εὐγενεῖς ψηφηφόροι
εἰς ἄνακτα χρίουσι τῆς Κωνσταντίνου
Βαλδουῖνον κόμητα χώρας τῆς Φλάντρας,

7169 εἰλημμένοι V

alioque genere multiplicis tragoediae personabant. sed postquam spoliis explevit ingluviem, finem praedando tum denique imposuit crudelium detestanda gens Italorum. (7165) visum deinde est primariis ducibus annuere omnibus liberum ex urbe discessum, quibus solum vertere placeret. ergo millenae exibant catervae miserabiles, tristes et pannosae, (7170) sanguine potius, ut aiunt, quam lacrimis praesentem deplorantes fortunam suam.

Itali vero tumidi superbia, ceu si quadrifidum iam tenerent orbem regesque regum se effecissent, (7175) quotquot sub Phoebi radiis imperitant, inter se cunctum dividebant mundum, provincias, urbes, singuli sortientes, et potentatum verbis occupantes. Veneto duce suadente Dandulo, (7180) homine caecos oculos gerente, luce sed mentis heu nimis instructo, ut imperator fieret Latinus de Venetis Lombardis Francisve electus, datis suffragiis electores nobiles (7185) imperatorem faciunt Byzantii Balduinum comitem provinciae Flandriae, eximia adule-

νεανίαν κάλλιστον, ὡραῖον φύσει,
φιλευσεβῆ τε καὶ φιλόχριστον λίαν,
πρᾶϋν, ἱλαρόν, σωφρονέστατον μάλα,
μερίδα καὶ μέλλοντι διδόντα βίῳ,
πολλῶν ταμεῖον ἀρετῶν θεοσδότων,
μάλιστ᾽ ἐραστὴν σωφροσύνης καὶ δίκης,
ὡς εἶχε δὶς κήρυκα τῆς ἑβδομάδος
τορὸν βοῶντα μὴ καθεύδειν μηδένα
τῶν βασιλείων ἔνδοθεν καθ᾽ ἑσπέραν
μηδὲν νομίμῳ γυναικὶ συνημμένον,
πόρνῃ δ᾽ ἀθέσμως συμβιοῦν ᾑρημένον.
ἦν καὶ φύλαξ νόμων τε δίκης τ᾽ ἐννόμου,
γυναικὶ προσχεῖν οὐ θελήσας οὐδ᾽ ὅλως,
μηδ᾽ ἂν μέχρι βλέμματος ἐμπαθεῖ θέᾳ,
ὅσον περ ἀπῆν τῆς συνεύνου τὸν χρόνον.
Αὐτοκράτωρ οὖν ἀναδειχθεὶς ὡς ἔφην,
ἔξεισιν εἶτα πρὸς μέρη τῆς ἑσπέρας,
οὐχ ὡς κρατήσων τῶνδε τῆς μάχης νόμῳ,
ἀλλ᾽ ἵνα γνωσθῇ βασιλεὺς αὐτοκράτωρ
καὶ προσκυνηθῇ πᾶσι τοῖς ὑπηκόοις.
ταῦτ᾽ ἄρα τάγμα στρατιωτῶν Αὐσόνων
δεῖν οὐκ ἔκρινε προσλαβέσθαι συνόλως.
εἰς Ἀδριανοῦ τὴν πόλιν δ᾽ ἀφιγμένος
καὶ τὴν Φιλίππου Θρᾳκικάς τ᾽ ἄλλας πόλεις,
καὶ ταῖσδε φρουρὰν ἐμβαλὼν ἐκ Λατίνων,
Θεσσαλονίκην καταλαμβάνει πόλιν.

7193 ὃς?

scentem forma praeditum, pium et Christo maxime devotum, hilarem mitem apprimeque castum, (7190) eleemosynis etiam indulgentem, cumulatum multis a deo virtutibus, sed pudicitia in primis ac iustitia. hic per praeconem bis in hebdomada maxima voce iubebat edici (7195) ne quis in regia noctu cubitaret, qui non coniunctus coniugi legitimae sed meretrici contra fas conviveret. erat et legum iustitiaeque custos, feminam quamvis renuens attingere, (7200) nec teneriore contuens adspectu, quamdiu propria tori socia abesset.

Ergo imperator electus Balduinus abiit ex urbe ad partes occiduas, haud tanquam illas pugna subacturus, (7205) sed imperator volens salutari obsequioque a cunctis coli subditis. quare nec veteris imperii milites in suum voluit conscribi exercitum. Hadrianopolim Philippopolimque (7210) aliasque ad urbes Thraciae profectus, Latinoque his imposito praesidio, Thessalonicam postea concessit; cuius omnis obviam

καὶ πᾶς ὁ λαὸς ἐκχυθέντες ἀσμένως
μετὰ κρότων αἴνων τε φωνῶν αἰσίων
αὐτούς τε παρέδωκαν ἅμα καὶ πόλιν
ἄνακτι τῷδε Βαλδουΐνῳ προφρόνως·
οἳ καὶ καθικέτευσαν αὐτὸν συντόνως
μήτ' αὐτὸν ἢ στράτευμα παρελθεῖν ἔσω
Θεσσαλονίκης ἀξιῶσαι τειχέων.
ὃ καὶ δεδρακὼς εὐμενῶς Βαλδουῖνος
αὖθις καθυπέστρεψεν εἰς Βυζαντίδα.
καὶ σπένδεταί γε Δανδούλου συμβουλίᾳ
τῷ πρὶν δι' ἔχθρας τυγχάνοντι καὶ μάχης,
ἔξω διατρίβοντι, τῷ μαρκεσίῳ.
ὅστις ἀποστὰς Διδυμουτείχου θέλων
ἐφίσταται τάχιστα Θεσσαλονίκῃ,
καὶ τὴν πόλιν εἴσεισι ταύτην ἀμάχως,
καὶ ζημιώσας τοὺς πολίτας ἀδίκως
εἰς χρήματά τε καὶ τιμαλφεῖς οἰκίας,
Μαρίαν ἀφεὶς τὴν σύνευνον αὐτόθι
τὴν κράτορος πρὶν γαμετὴν Ἰσακίου,
ἐκεῖθεν ἐξώρμησε τάγμασιν ἅμα,
καὶ τὰς πόλεις μέτεισι τὰς πρὸς ἑσπέραν.
Σέρρας παρεστήσατο σὺν τῇ Βερροίᾳ,
κρατεῖ Λαρίσσης Ἑλλάδος τε τῆς ὅλης,
αἱρεῖ τε τὴν Πέλοπος, ἄλλας αὖ πάλιν
συγκειμένας ἄγχιστα χώρας καὶ πόλεις·
καὶ πᾶν γε μικροῦ τὸ πρὸς ἑσπέραν κλίμα
δοῦλον παρεστήσατο Λατίνων κράτει.

populus hilariter cum plausibus processit et laudationibus, (7215) seque libenter Balduino regi cum civitate obtulerunt subditos. tamen enixis precibus rogarunt ut ipse pariter eiusque exercitus urbis introitu vellent abstinere; (7220) id quod clementer Balduinus annuit, moxque se redux contulit Byzantium. exin obtemperans Danduli consiliis reconciliatur marchioni irato, immo cum armis procul urbe stanti; (7225) qui statim lubens Didymoticho veniens Thessalonicam contulit se in urbem, eamque nullo resistente obtinuit; cuius iniuste multavit cives, pecunia et domibus exuens praecipuis. (7230) ibi relicta coniuge Maria, quae Caesaris Isacii iam uxor fuerat, inde discessit comitante exercitu, terras percurrens ad occidentem positas. Serris potitus est, nec non Berroea, (7235) Larissam occupavit totamque Helladem, item Peloponnesum et alias rursus hisce confines urbes et provincias; cunctamque paene regionem occiduam subditam fecit Latinorum imperio.

Καὶ Βαλδουῖνος ἐν πόλει διατρίβων
πέπομφεν Ἐρρῆν σύγγονον πρὸς τὴν ἕω
καὶ Πέτρον ἄνδρα γεννάδαν, ῥωμαλέον
ἡρωϊκόν τε τὴν φυὴν καὶ τὸ σθένος.
ἀφ' ὧν Ἐρρῆς μὲν προσλαβὼν συμμαχίαν
ἐξ Ἀρμενίων τῶν ἐνοίκων Τρωάδος
χώρας ἐκάκου κατέκειρε καὶ πόλεις
αἳ μηδὲν ὑπέκυπτον Ἰταλῶν κράτει,
διὰ δὲ τεμπῶν καὶ στενῶν τῶν τῆς Ἴδης
εἰς τὴν Ἠετίωνος πεφθάκει πόλιν.
ἐξ ἄστεος Πέτρος δὲ Πηγῶν ἀπάρας
ᾔει πρὸς Λοπάδιον εὐχερῶς πόλιν·
ᾧ πρὶν ἀπήντων Ῥωμαϊκαὶ δυνάμεις
Θεοδώρου Λάσκαρι κρατάρχου τότε,
εἰς ἀντίμαχον εὖ μάχην ὡπλισμέναι,
ἐν Ποιμανηνῷ χωρίῳ κεκλημένῳ.
εἶτα Λατίνων οὐκ ἐνεγκοῦσαι σθένος
ᾤχοντο λοιπὸν εἰς φυγὴν τετραμμέναι,
κρατεῖ δὲ Πέτρος εὐχερῶς Λοπαδίου
ἐκ γειτόνων ἄλλων τε λοιπῶν ἀστέων.
ἐπεὶ δὲ προσβάλλειε καὶ Προύσῃ πόλει,
ἀνηνύτοις ἔγνωκεν ἐγχειρεῖν μάτην·
μεθίσταται γοῦν καταλιπὼν τὴν πόλιν.
Προυσαίοις δ' ἴσα καὶ Φιλαδέλφου πόλις
δουλείας ἀνάλωτος Ἰταλῶν μένει·
Θεόδωρος γὰρ Μαγκαφᾶς τις τοὐπίκλην,

7241 *τὴν* **om V**

(7240) Interim Balduinus in urbe residens fratrem Erricum ad orientem misit cum Petro forti magnanimo viro, heroïcis praedito viribus et statura. Erricus quidem, roboratus auxilio (7245) Armeniorum Troadis incolarum, terras vastabat, urbes diripiebat, quaecunque Italis negabant obsequium. dein per Idae montis angustas fauces ad Eetionis urbem est progressus. (7250) de Pegis autem urbe procedens Petrus itinere pergebat Lopadium facili; ubi Romanas primum offendit vires sub Theodoro principe Lascareo ad decertandum instructas egregie (7255) haud procul oppido Poemaneno dicto. hae tamen robori Latinorum impares castris exutae in fugam se dederunt; Petrusque facile potitur Lopadio atque hinc proximis aliis civitatibus. (7260) sed cum Prusensem quoque tentasset urbem, irritam novit ludere se operam, urbi molestus nec fuit diutius. aemula Prusae Philadelphi civitas Latinae servituti haud subiacuit. (7265) nam Theodorus Mancaphas cogno-

ἄνωθεν αὐχῶν ἄστυ πατρίδα τόδε,
Ἐρρῇ συνάψας Λατίνων ἀρχῷ μάχην
ἔν τινι χώρῳ τῷ πρὸς Ἀτραμυττίῳ
αὐτὸς μόρον πέφευγε τὸν ἐκ τοῦ ξίφους,
οὐδὲν δὲ μεῖον καὶ πόλις ἀνωτέρα
τῆς Ἰταλῶν ἔμεινε κυριαρχίας.
Μαρκέσιος δὲ τὰς πρὸς ἑσπέραν πόλεις
αἱρῶν ὑπῆγε τῷ κράτει τῶν Λατίνων,
ἔχων ποδηγούς τινας ἐκ τῶν Αὐσόνων.
Λέων δὲ Σγουρὸς ὑποκαθίσας λόχον
ἐν Θερμοπύλαις Ἀττικῆς τῷ χωρίῳ
πρὸς δῆθεν ἀντίμαχον Ἰταλῶν μάχην,
μηδὲν δὲ γενναῖόν τι καὶ δράσας ὅλως,
ἐκεῖθεν εἰς Κόρινθον ᾤχετο τρέχων·
ὃς ἐξέφυ μὲν ἐκ κλίματος Ναυπλίου,
πατρῴας ἄρχων μετρίας κληρουχίας,
ἀνωμαλίᾳ καιρικῇ δὲ πραγμάτων
φορᾷ τε τύχης ἀστάτου καὶ συγχύσει
ἀεὶ προϊὼν ἐκ μικροῦ μέγας ἔφυ.
ληΐζεται δὲ καὶ Κορινθίων πόλιν,
Ἄργος παρεστήσατο πᾶν λῃσταρχίᾳ.
τέλος προσαρράσσει δὲ καὶ ταῖς Ἀθήναις·
ἀλλ' ἀποκρουσθεὶς ἀρχιποιμένος λόγοις
τοῦ Χωνειάτου Μιχαὴλ τοῦ πανσόφου,
Θήβαις ἐφορμᾷ ταχέως ἑπταπύλοις.
καὶ τάσδε συσχὼν ῥᾷστα τῆς μάχης νόμῳ,
πρὸς Λαρίσσης ἔξεισι τὰς διεξόδους,

mine, generis stirpem ab hac urbe repetens, pugna conserta cum Latino Errico quodam in loco haud procul Atramyttio, ipse vix quidem necem evitavit, (7270) nihilo tamen minus ipsa civitas Latino immunis mansit dominatu.

Interim marchio Hesperias civitates bellans Latino subigebat nomini, quibusdam nostris utens viae ducibus. (7275) Sgurus autem Leo, cohorte imposita Atticae loco celebri Thermopylis, ut ibi proelians Italis resisteret, nulla re digna laudibus patrata raptim Corinthum fuga se proripuit. (7280) hic erat ortus Nauplii regione, modicum nactus a patre principatum: verum reciproco temporum euripo, praepostero varioque fortunae cursu, usque progrediens magnus e parvo evasit. (7285) is et Corinthum oppidum diripuit, et Argos simili posthinc latrocinio. postremo Athenas etiam invadebat, verum repulsus verbis archipraesulis, Michaëlis Choniatae sapientissimi, (7290) Thebas celeriter excurrit septem portis instructas, easque sibi facili bello vindicat. et

ἔνθα βασιλεῖ συνέμιξ' Ἀλεξίῳ,
ὃς ἀπαναστὰς ἐκ μερῶν προσαρκτίων
ἀλώμενός τε τῇδε κἀκεῖσ' ὡς πλάνης
καὶ Θετταλικοῖς τέμπεσι προσερρύη,
ἄγων μετ' αὐτοῦ παῖδα τὴν Εὐδοκίαν,
ἥνπερ κατηγγύησε τῷ Σγουρῷ τότε.
συνῆπτο δὲ πρὶν πρὸς γάμου κοινωνίαν
ἀρχηγετοῦντι τῶν Τριβαλῶν Στεφάνῳ,
ὃς ἐκβαλὼν ἔπεμψε τήνδ' εἰς πατρίδα·
ᾗ Δούκας συνῴκησε, Μούρτζουφλους θέσιν,
μετὰ στέρησιν καὶ κράτους καὶ πατρίδος·
ὅντινα συσχὼν Ἀλέξιος σὺν δόλῳ,
ἄναξ πλάνης ἄνακτα πλανήτην ἴσον,
ἔθηκε τυφλόν, ὀμμάτων λύχνους σβέσας.
εἶτ' εἰς Λατίνων ἐμπεσὼν δεινὰς χέρας,
δέσμιος ἀχθεὶς εἰς πόλιν τὴν τοῦ κράτους,
δίκας ὑπέσχε τοῦ δι' ἀγχόνης μόρου
ὅντιν' ἐπῆγεν Ἀγγέλων Ἀλεξίῳ·
εἰς κίονα γὰρ ἀναχθεὶς Ταύρου μέγαν
ἐκεῖθεν ἠκόντιστο, φεῦ δίκης, κάτω,
καὶ συντριβεὶς ὤλλυτο βιαίῳ μόρῳ.
    Μαρκέσιος δὲ τὴν Βοιωτίαν φθάσας
ταύτην παρεστήσατο ταῖς στρατηγίαις.
κρατεῖ προϊὼν Ἀττικῆς σὺν Εὐβοίᾳ.
ὡς ἐν κεφαλαίῳ δὲ συντεμὼν φράσω,
μήπω παριππεύσαντος ἀκριβῶς ἔτους,
ἑῷον ἑσπέριον Αὐσόνων κλίμα

dum Larissae faucibus exit, imperatori quondam Alexio occurrit, qui borealibus partibus digressus, (7295) exsulum more hac et illac errans, nunc ad Thessalica Tempe pervenerat, habens in comitatu Eudociam filiam, quam tunc desponsam collocavit Sguro. ipsa quidem olim matrimonio fuerat (7300) principi iuncta Triballorum Stephano, qui repudiatam remisit in patriam. eadem Murtzuflo Ducae deinde nupsit, postquam hic imperium patriamque amiserat. sed hunc deinde captum Alexius dolo, (7305) rex erro erronem regem sorte pari, luminae cassum oculorum reddidit. saevis postremo Latinorum manibus Ducas exceptus Byzantiumque ductus pertulit poenam, quod Alexio Angelo (7310) gulam funesto laqueo fregisset. nam de sublimi Tauri columna praecipitatus est, proh dei iudicium! et sic collisus violenter obiit.

Interim marchio venit in Boeotiam, (7315) eamque sibi bello fecit subditam; Atticam quoque obtinuit cum Euboea. atque ut paucis rem verbis expediam, integro nondum praeterlapso anno eoa simul dicio at-

ἅπαν ὑπείκει τῷ κράτει τῶν Λατίνων.
ἄναξ δὲ φυγὰς Ἀλέξιος σὺν χρόνῳ
εἰς ὄψιν ἐλθὼν Λατίνῳ μαρκεσίῳ
τὰ σύμβολ' ἀφῄρητο τοῦ κράτους ἄκων,
εἰς Ἁλμυρὸν δ' ἔσταλτο χῶρον ἑσπέρας,
ἐκεῖ διάγειν καὶ διανύειν βίον
σὺν Εὐφροσύνῃ συζύγῳ βασιλίδι,
σχόντες τύχῃ σύμφωνον ἀτεχνῶς τόπον.
ὅσοι δὲ συνείποντο τῷ στεφηφόρῳ
ἄνδρες μαχηταὶ καὶ γένους ἐριτίμου,
πόλεις Θρᾳκικὰς πατρίδας κεκτημένοι,
ᾑροῦντο συνεῖναί γε τῷ μαρκεσίῳ
καὶ δυνατὴν σύναρσίν οἱ συνεισφέρειν,
καὶ λιπαροῦσιν ὑπὸ τῷδε τυγχάνειν·
ὁ δ' οὐ προσέσχε τῇ δεήσει σφῶν ὅλως,
μὴ χρείαν ἴσχειν Ῥωμαϊκῶν ταγμάτων
ἢ τῆς παρ' αὐτῶν φάμενος συμμαχίας.
ὡς δ' ἱκέται γένοιντο καὶ Βαλδουΐνου,
ὡς σφίσι τὸ πρόθυμον ἥκῃ πρὸς πέρας,
καί τι προβαῖνον οὐχ ἑώρων εἰκότων,
προσῆλθον ἀρχῷ Μυσίας Ἰωάννῃ,
Ἀσὰν συναίμῳ καὶ Πέτρου τῶν ἐξ Αἵμου,
ἀνδρὶ στρατηγῷ γεννάδᾳ τολμητίᾳ,
πάσας διαφθείροντι Ῥωμαίων πόλεις
χώρας τε λοιπὰς κειμένας πρὸς ἑσπέραν
Σκυθῶν ὁμαιχμίᾳ τε καὶ συμμαχίᾳ·
ὃς Λατινικὴν ὑφορώμενος βλάβην,

que occidua (7320) nostra in Latinum cessit dominatum. Alexius posthinc, exsul imperator, cum in Latinum marchionem incurrisset, exuitur invitus imperii insignibus; tum ad Hesperiam salsi aëris locum (7325) mittitur, ut vitam sibi suam clauderet, non sine Euphrosyne coniuge regina, sedem fortunae congruam sortiti. Caesaris autem stipatores regii, strenui viri stirpis generosae, (7330) Thracias urbes patriam habentes, ut cum marchione facerent stipendia, validam ipsi offerebant operam, eiusque imperio postulabant obsequi. ille tamen preces prorsus respuit, (7335) nec sibi Romano opus esse milite dixit, nec illorum expetere auxilia. iidem Balduino fuerunt supplices, si forte fierent voti sui compotes. verum cum spe frustratos semet cernerent, (7340) ad Moesiae principem Ioannem veniunt, Petri Asanisque fratrem, in Haemo natum, audacem virum, bellatorem strenuum, et Romanorum urbium perniciem, quas cum Hesperiis vastabat regionibus, (7345) fretus Scytharum foedere et auxiliis. is ut Latinis detrimentum faceret, supplices illos ex-

ἔνθα βασιλεῖ συνέμιξ᾽ Ἀλεξίῳ,
ὃς ἀπαναστὰς ἐκ μερῶν προσαρκτίων
ἁλώμενός τε τῇδε κἀκεῖσ᾽ ὡς πλάνης
καὶ Θετταλικοῖς τέμπεσι προσερρύη,
ἄγων μετ᾽ αὐτοῦ παῖδα τὴν Εὐδοκίαν,
ἥνπερ κατηγγύησε τῷ Σγουρῷ τότε.
συνῆπτο δὲ πρὶν πρὸς γάμου κοινωνίαν
ἀρχηγετοῦντι τῶν Τριβαλῶν Στεφάνῳ,
ὃς ἐκβαλὼν ἔπεμψε τήνδ᾽ εἰς πατρίδα·
ᾗ Δούκας συνῴκησε, Μούρτζουφλους θέσιν,
μετὰ στέρησιν καὶ κράτους καὶ πατρίδος·
ὅντινα συσχὼν Ἀλέξιος σὺν δόλῳ,
ἄναξ πλάνης ἄνακτα πλανήτην ἴσον,
ἔθηκε τυφλόν, ὀμμάτων λύχνους σβέσας.
εἶτ᾽ εἰς Λατίνων ἐμπεσὼν δεινὰς χέρας,
δέσμιος ἀχθεὶς εἰς πόλιν τὴν τοῦ κράτους,
δίκας ὑπέσχε τοῦ δι᾽ ἀγχόνης μόρου
ὅντιν᾽ ἐπῆγεν Ἀγγέλων Ἀλεξίῳ·
εἰς κίονα γὰρ ἀναχθεὶς Ταύρου μέγαν
ἐκεῖθεν ἠκόντιστο, φεῦ δίκης, κάτω,
καὶ συντριβεὶς ὤλλυτο βιαίῳ μόρῳ.
Μαρκέσιος δὲ τὴν Βοιωτίαν φθάσας
ταύτην παρεστήσατο ταῖς στρατηγίαις.
κρατεῖ προϊὼν Ἀττικῆς σὺν Εὐβοίᾳ.
ὡς ἐν κεφαλαίῳ δὲ συντεμὼν φράσω,
μήπω παριππεύσαντος ἀκριβῶς ἔτους,
ἑῷον ἑσπέριον Αὐσόνων κλίμα

dum Larissae faucibus exit, imperatori quondam Alexio occurrit, qui borealibus partibus digressus, (7295) exsulum more hac et illac errans, nunc ad Thessalica Tempe pervenerat, habens in comitatu Eudociam filiam, quam tunc desponsam collocavit Sguro. ipsa quidem olim matrimonio fuerat (7300) principi iuncta Triballorum Stephano, qui repudiatam remisit in patriam. eadem Murtzuflo Ducae deinde nupsit, postquam hic imperium patriamque amiserat. sed hunc deinde captum Alexius dolo, (7305) rex erro erronem regem sorte pari, lumine cassum oculorum reddidit. saevis postremo Latinorum manibus Ducas exceptus Byzantiumque ductus pertulit poenam, quod Alexio Angelo (7310) gulam funesto laqueo fregisset. nam de sublimi Tauri columna praecipitatus est, proh dei iudicium! et sic collisus violenter obiit.

Interim marchio venit in Boeotiam, (7315) eamque sibi bello fecit subditam; Atticam quoque obtinuit cum Euboea. atque ut paucis rem verbis expediam, integro nondum praeterlapso anno eoa simul dicio at-

ἅπαν ὑπείκει τῷ κράτει τῶν Λατίνων.
ἄναξ δὲ φυγὰς Ἀλέξιος σὺν χρόνῳ
εἰς ὄψιν ἐλθὼν Λατίνῳ μαρκεσίῳ
τὰ σύμβολ' ἀφῄρητο τοῦ κράτους ἄκων,
εἰς Ἁλμυρὸν δ' ἔσταλτο χῶρον ἑσπέρας,
ἐκεῖ διάγειν καὶ διανύειν βίον
σὺν Εὐφροσύνῃ συζύγῳ βασιλίδι,
σχόντες τύχῃ σύμφωνον ἀτεχνῶς τόπον.
ὅσοι δὲ συνείποντο τῷ στεφηφόρῳ
ἄνδρες μαχηταὶ καὶ γένους ἐριτίμου,
πόλεις Θρᾳκικὰς πατρίδας κεκτημένοι,
ᾑροῦντο συνεῖναί γε τῷ μαρκεσίῳ
καὶ δυνατὴν σύναρσίν οἱ συνεισφέρειν,
καὶ λιπαροῦσιν ὑπὸ τῷδε τυγχάνειν·
ὁ δ' οὐ προσέσχε τῇ δεήσει σφῶν ὅλως,
μὴ χρείαν ἴσχειν Ῥωμαϊκῶν ταγμάτων
ἢ τῆς παρ' αὐτῶν φάμενος συμμαχίας.
ὡς δ' ἱκέται γένοιντο καὶ Βαλδουΐνου,
ὡς σφίσι τὸ πρόθυμον ἥκῃ πρὸς πέρας,
καί τι προβαῖνον οὐχ ἑώρων εἰκότων,
προσῆλθον ἀρχῷ Μυσίας Ἰωάννῃ,
Ἀσὰν συναίμῳ καὶ Πέτρου τῶν ἐξ Αἵμου,
ἀνδρὶ στρατηγῷ γεννάδᾳ τολμητίᾳ,
πάσας διαφθείροντι Ῥωμαίων πόλεις
χώρας τε λοιπὰς κειμένας πρὸς ἑσπέραν
Σκυθῶν ὁμαιχμίᾳ τε καὶ συμμαχίᾳ·
ὃς Λατινικὴν ὑφορώμενος βλάβην,

que occidua (7320) nostra in Latinum cessit dominatum. Alexius posthinc, exsul imperator, cum in Latinum marchionem incurrisset, exuitur invitus imperii insignibus; tum ad Hesperium salsi aëris locum (7325) mittitur, ut vitam sibi suam clauderet, non sine Euphrosyne coniuge regina, sedem fortunae congruam sortiti. Caesaris autem stipatores regii, strenui viri stirpis generosae, (7330) Thracias urbes patriam habentes, ut cum marchione facerent stipendia, validam ipsi offerebant operam, eiusque imperio postulabant obsequi. ille tamen preces prorsus respuit, (7335) nec sibi Romano opus esse milite dixit, nec illorum expetere auxilia. iidem Balduino fuerunt supplices, si forte fierent voti sui compotes. verum cum spe frustratos semet cernerent, (7340) ad Moesiae principem Ioannem veniunt, Petri Asanisque fratrem, in Haemo natum, audacem virum, bellatorem strenuum, et Romanorum urbium perniciem, quas cum Hesperiis vastabat regionibus, (7345) fretus Scytharum foedere et auxiliis. is ut Latinis detrimentum faceret, supplices illos ex-

πρόσφυγας ἄνδρας ἀσμένως δεδεγμένος
πρὸς τὰς ἑαυτῶν ἀποπέμπει πατρίδας,
τούτοις κελεύσας δρᾶν τι κακὸν Λατίνους
οὐκ εὖ πρὸς αὐτὸν διακειμένους τέως,
φόβους δ' ἐπισείοντας αὐτῷ καὶ μάχας,
ἔκπτωσιν ἀρχῆς καὶ σκύλευσιν πατρίδος,
εἰ προσφέροιτο μὴ σφίσιν ὡς δεσπόταις
καὶ πάνθ' ὑπείκοι τοῖς παρ' αὐτῶν ῥᾳδίως.
ὡς οὖν ἐπανῆκόν γε πρὸς τὰς πατρίδας
πόλεις δυτικὰς Αὔσονες τοῦτον τρόπον,
τὰς τῶν Θρᾳκῶν τε καὶ Μακεδόνων πόλεις
ἀφηνιάσαι δρῶσι Λατίνων κράτους,
θεοῦ συνάρσει καὶ Μυσῶν συνεργίᾳ
πολλοὺς Ἰταλῶν παραπέμψαντες μόρῳ,
μάλιστ' ἐνοίκους τῶν Διδύμων τειχέων,
οὓς δ' αὖ φυγάδας εἰς πόλιν δεδρακότες.
καὶ τοῦτο τοὖργον Λατινικῆς κακίας
ἐλευθέραν ἔδρασε πᾶσαν τὴν ἕω,
πρὸς κατεπεῖγον Ἰταλῶν ὡρμημένων,
καὶ σφᾶς φρονεῖν μέτρια τίθησι τέως
τοὺς Ἑλλάδα νῆσόν τε Πέλοπος ξένην
ὅπλοις ἑλόντας καὶ κατωφρυωμένους.
Πλὴν Ἀδριανοῦ Διδυμότειχον πόλεις
κάλλιστα κρατύναντες Αὐσόνων στῖφος
κατεῖχον αὐτάς, συμμαχούντων καὶ Βλάχων.
Ἰωάννης δὲ συντεταχὼς δυνάμεις

cipit libenter inque suam singulos patriam remittit, mandans ut damnis Latinos afficerent, (7350) quos sibi infensos iamdiu sciebat, terroremque belli, direptionem patriae et principatus iacturam minantes, nisi serviret dominis Latinis iussaque prompto faceret obsequio. (7355) reversi in patriam milites, quos diximus, urbibus Hesperiis Thraciaeque simul itemque Macedoniae suaserunt ut a Latino imperio deficerent, deo favente, Moesis auxiliantibus. (7360) Italos multos demiserunt Orco Didymotichi incolas potissime; alios Byzantium coegerunt fugere. atque haec caedes Latino flagello eoas etiam terras liberavit, (7365) dum ad graviora damna accurrunt Itali. et simul illos modestiores reddidit, qui fastu elati Pelopis tenebant armis provinciam magnam atque Helladem.

Didymotichum simul et Hadrianopolim (7370) Romani egregio imposito praesidio auxiliantibus retinebant Blachis. Ioannes autem contrahebat copias atque accersebat Scythica subsidia, idque Latinis clam

καὶ συμμαχίδας ἐκ Σκυθῶν μυριάδας
σπουδὴν ἐτίθει Λατίνους λεληθέναι.
ἐπεὶ δ' ἐπανάστασιν Αὐσόνων μάθοι
ἄναξ Ἰταλῶν Βαλδουῖνος καὶ δρᾶμα,
στέλλει στρατιὰν πρὸς πόλεις ἀποστάσας,
ἣ συνέσχε Τζουρουλὸν σὺν Βιζύῃ
καὶ ταύτας ὑπέταξε Λατίνων κράτει.
ἀνδρῶν κενὴν δ' εὕρηκε τὴν Ἀρκαδίου
ῥυηφενῶν τε καὶ περιόπτων γένει·
ὅμως ἐνόντες ἐκχυθέντες τῆς πύλης
καὶ συμπλακέντες Ἰταλοῖς κατὰ μάχην,
τραπέντες ἀπώλοντο πάντες τῷ ξίφει,
φειδὼ Λατίνων οὐδενῶν εἰληφότων.
ἀλλ' οὐδ' ὁσίας τῶνδ' ἔτυχέ τις ὅλως.
ἡ δ' αὖ γε λοιπὴ στρατιὰ τῶν Λατίνων,
ἧς Βαλδουῖνος ἡγεμὼν ὑπῆν ἄναξ,
Ὀρεστιάδα καταλαβοῦσα πόλιν,
ἐκεῖθί που χάρακα βαλοῦσα μένει,
ταύτην ἑλεῖν σπεύδουσα παντὶ τῷ τρόπῳ.
πρεσβεύεται γοῦν ἡ κακουμένη πόλις
πρὸς Ἰωάννην τὸν κρατοῦντα Βουλγάρων,
τὴν δυνατὴν σύναρσιν ἐξαιτουμένη
ἐπικρεμαμένου τε κινδύνου λύσιν·
ὁ δ' ἀσμένως δέδεκτο πρεσβείας λόγους,
καὶ συμμαχικὸν Σκυθικὸν λαβὼν στῖφος,
ἐπεισπεπαικὼς Ἰταλῶν στρατῷ λάθρα,
τοῦτον τροποῦται καὶ νικᾷ κατὰ κράτος·

curabat fieri. (7375) sed conspirantium Romanorum motibus rex Italorum Balduinus cognitis, militem mittit ad rebelles urbes, a quo cum Bizya capitur Tzurulus Latinoque iugo utraque subiicitur. (7380) urbem Arcadii cuncti deseruerant cives pecunia vel stirpe conspicui: reliquus tamen portis egressus populus pugnam cum Italis maluit committere. verum fugati omnes caeduntur gladio, (7385) dum Latinorum furor parcit nemini, ac ne sepulchri quidem gratiam annuit. reliquus autem Latinus exercitus, quem Balduinus ipse ducebat Caesar, ad Orestiadem contulit se urbem, (7390) eamque structis obsidens aggeribus summo conatu nitebatur capere. tunc urbs periclitans legationem mittit ad Bulgarorum principem Ioannem, validum petens militum auxilium, (7395) qui se impendente discrimine eriperet. ille libenter legationem audiit, cumque auxiliarium agmine Scytharum exercitum Latinum repente aggressus in fugam versum penitus devicit, (7400) cepitque vivum Balduinum

ζωγρεῖ τε καὶ σφῶν κράτορα Βαλδουῖνον,
κομῶντα πολλαῖς ἀρετῶν νεανίαν,
μάλιστα πασῶν σωφροσύνῃ καὶ δίκῃ,
ὡς φθὰς προϊστόρησεν ἀνόπιν λόγος.
ὅνπερ καθείρξας μακρὸν ἐν τῷ Τρινόβῳ
δράσας τε δεινὰ μυρία κακοτρόπως,
πέρας καθυπέβαλεν οἰκτρῷ θανάτῳ
κατ' ἠλιβάτων καταχρημνίσας τόπων.
Μεθ' ὃν κρατάρχει Λατίνων τῶν ἐν πόλει
κλῆσιν Ἐρρῆς, σύναιμος ὢν Βαλδουΐνου,
ἀνὴρ ἱλαρός, εὐμενὴς ὑπηκόοις,
πρὸς δὲ στρατηγὸς εὐσθενὴς τολμητίας,
ὀξύρροπός τε πρὸς μάχας ἀντιπάλων
καὶ στρατιώτας γεννάδας ῥωμαλέους,
Ἕλληνας ἄνδρας, συντεταγμένους ἄγων,
ἐπίλεκτον φάλαγγα καὶ νικηφόρον.
οὗτος μάχης αἴτιος ὤφθη πολλάκις
τῶν Αὐσόνων ἄνακτι τῷ Λασκαρίῳ,
καὶ σφῶν παρεστήσατο χώρας καὶ πόλεις
πλήθει στρατιᾶς καὶ ψυχῆς προθυμίᾳ,
Λεντιανά τε Ποιμανηνὸν τὰς πόλεις
καὶ τὰς Ὀχυρὰς καταπορθήσας μάχῃ·
καθ' ἣν τριὰς ὤλωλεν ἀνδρῶν τῷ ξίφει
πανευγενῶν τε καὶ περιόπτων βίῳ,
Δερμοκαΐτης ἡγεμὼν στρατευμάτων,
Παλαιολόγων Ἀνδρόνικος ἐκ γένους,
γαμβρὸς κρατοῦντος εἰς Εἰρήνην τυγχάνων

Caesarem permultis iuvenem ornatum virtutibus, sed castimonia in primis ac iustitia, ut mea superior rettulit historia. quem diu Ternobi carcere detentum (7405) exercitumque plurimis cruciatibus tandem miserando supplicio affecit praecipitatum rupibus altissimis.

Post hunc Latinis imperat Byzantii Balduini frater nomine Erricus, (7410) vir comi adspectu, subditis benivolus, et simul fortis dux et animosus atque ad ciendas pugnas paratissimus. hic habuit Graecos milites fortissimos, quos bene instructo agmine ducebat, (7415) triumphalem phalangem et selectam. idem saepe gravem belli lusit aleam cum Romanorum principe Lascareo, nostrasque urbes cepit et provincias animi fortitudine et copia militum. (7420) Lentiana urbem ac Poemanenum, Ochyras quoque armis superavit; quibus in certaminibus tres perierunt nobilitate et opibus insignes viri, Dermocaites, qui dux erat exercitus, (7425) et Andronicus gente Palaeologus, cui nuptui Caesar Irenem tra-

τὴν πρωτόπαιδα φιλτάτην θυγατέρων,
πρὸς τοῖσδε τοῦδε καὶ φίλων εἷς συγγόνων.
Ἐρρῆ κρατοῦντος τοῦδε τῆς Κωνσταντίνου
Πελάγιός τις ἀρχιθύτης Λατίνων,
θερμουργὸς ἀνήρ, ὑπερόπτης τῶν νόμων,
πρὸς πάπα πεμφθεὶς εἰς πόλιν βασιλίδα
ὡς ποιμενάρχης καὶ λεγάτος τοῦ πάπα,
ἐνημμένος δίκαια τοῦ πεπομφότος,
πάντας θυηπόλους τε καὶ μονοτρόπους
οἰκήτορας ἕδρασε τῆς Κωνσταντίνου
πάνδεινα κακὰ καὶ καθείρξεις ἀτόπους
χάριν ἐθῶν τε δογμάτων ἀμφιβόλων·
ὃ δὴ λύπην ἤνεγκεν ἀστοῖς καὶ βάρος,
μάλιστα τοῖς προύχουσι καὶ τοῖς ἐν τέλει,
οἳ πρὸς τὸν Ἐρρῆν τὸν κρατοῦντ' ἀφιγμένοι
ᾐτοῦντο λύσιν δυσχερῶν τοῖς φυλέταις,
καὶ τάδ' ἐπιλέγοντες ἐν παρρησίᾳ,
ὡς πρὶν μὲν ἡμεῖς ἀλλοδαπῆς ἐκ φύτλης
φύντες, βασιλεῦ, καὶ νομῆς ἐλευθέρας,
ἄλλοις τ' ἐθίμοις παρ' ὑμᾶς κεχρημένοι,
σοῦ πλὴν ἑκόντες ὑπετάγημεν κράτει,
καὶ σωματικὴν ἐκτίνειν ὑπουργίαν,
οὐ πνευματικὴν ψυχικὴν κοινωνίαν
ἡμᾶς παρεσχήκαμεν αὐτούς σοι τάχα.
ἢ γοῦν τὰ δεινὰ λῦσον ἡμῖν εὐθέως,

7431 verba sunt schismatici hominis et a pontificiis partibus alieni. M.

diderat, maiorem natu filiam et carissimam; postremo unus de Caesaris fratribus.

Byzantii imperium retinente Errico (7430) Latinus quidam, Pelagius cardinalis, homo temerarius, contemptor legum, a papa missus in regiam metropolim tanquam legatus eius et summus praesul, digna mittente aggressus committere, (7435) monachos omnes atque sacerdotes, quotquot incolebant Cpolim, coepit vexare et carceribus claudere ob controversa dogmata ritusque. quam rem gravate aegreque ferebant cives, (7440) praesertim optimates ac senatores; qui Erricum adeuntes imperatorem, mala suorum deprecantes gentilium, hoc usi sunt sermone confidenter. "nos, imperator, ex aliena gente (7445) alioque grege et libero prognati, discrepantesque a vestris habentes ritus, sponte tamen tuo paremus imperio. sed enim ministerium praebere corporum, non spiritalium rerum communionem (7450) exhiberi tibi hercle parati sumus. vel ergo statim fac malorum finem, vel manumitte, ut liberi pos-

ἢ χειρὸς ἀπόλυσον ὡς ἐλευθέρους
παλινδρομῆσαι πρὸς νομὰς τῶν Αὐσόνων.
ταῦτα βασιλεὺς εὐμενῶς δεδεγμένος,
καὶ Πελαγίου μὴ θέλοντος λεγάτου,
τὴν συμφορὰν λέλυκε τοῖς καθειργμένοις,
δεσμώτας ἀφεὶς καὶ νεὼς βατοὺς ὅλοις.
Ταῦτα μὲν οὕτω συμβέβηκεν ἐν πόλει·
εἶμι δὲ λοιπὸν πρὸς κρατοῦντας Αὐσόνων,
καὶ τὰ κατὰ σφᾶς ἱστορήσω τῷ λόγῳ.
Ὡς οὖν ἑάλω τοῖς Ἰταλοῖς ἡ πόλις,
Θεόδωρος μὲν ὁ Λάσκαρις τοὐπίκλην,
ὃν γαμβρὸν ἐγνώρισε κρατοῦντος λόγος,
ἀπῆρε προφθὰς τῆσδε σὺν ὁμοζύγῳ,
καὶ καταλαβὼν τὴν Νικαέων πόλιν
ὁμευνέτιν φίλτατα τῇδ᾽ ἐνεισάγει,
αὐτὸς δὲ Προῦσαν χωρία τε τὰ πέριξ
περιπολῶν ἄλλας τε κώμας καὶ πόλεις
τῷδ᾽ εὐνοεῖν ἔπειθε τάσδε τοῖς λόγοις
καὶ τόνδ᾽ ἔχειν ἄνακτα δεσπότην μόνον.
καὶ τῶν κατὰ νοῦν οὐδ᾽ ὅλως ἁμαρτάνει·
πολλοῦ γὰρ οὔπω παραδραμόντος χρόνου
καθίσταται δὴ βασιλεὺς αὐτοκράτωρ
πρὸς ποιμενάρχου Μιχαὴλ Βυζαντίδος
ἄρτι λαβόντος τὴν λεῶ προεδρίαν,
τῇ βασιλικῇ ταινιωθεὶς ταινίᾳ.
Λάσκαρις οὕτως βασιλεὺς δεδειγμένος,
σφόδρ᾽ ἀρρενωπῶς πραγμάτων κραταρχίας

simus ad gentis nostrae pascua reverti." haec imperator audiit libenter, (7455) invitoque licet Pelagio legato vincula solvit, molestias expedivit, cunctis patere sacra templa voluit.

Haec in regali contigerunt urbe. nunc ad Romanos principes transgredior, (7460) horumque historico res dicam sermone.

Post regiam captam ab Italis metropolim Theodorus dictus cognomento Lascaris, quem Caesaris Alexii scimus generum, illinc secessit festinans cum coniuge; (7465) cumque in Nicaenam pervenisset urbem, ibi deposuit coniugem dilectam. ipse autem Prusam cum locis circumiectis, aliosque pagos peragrans et urbes, idoneis populos conciliabat sermonibus, (7470) ut se unum regem dominumque agnoscerent. neque non compos voti sui fuit: haud enim longo praeterlapso tempore rex creatur et imperator, eumque Michaël, Byzantinae urbis (7475) nuper sortitus patriarchae titulum, rite regali redimit corona.

Lascaris ergo creatus imperator imperii pondus admodum viriliter,

ἢ μᾶλλον εἰπεῖν βασιλικῶς ἡμμένος
ταύτην διεῖπεν, ἀντέχων πρὸς κινδύνους
μάχας τε δεινὰς τὰς πρὸς ἐχθροὺς Λατίνους,
ἄναξ ἀγαθὸς καὶ στρατηγὸς γεννάδας,
ὀξύρροπός τε πρὸς μάχας καὶ κινδύνους,
ὑπερμαχῶν κράτιστα τῆς κραταρχίας,
ἀπορραπίζων ὡς ἐνῆν ποίμνης λύκους,
φρικτὸς μὲν ἐχθροῖς, ἥμερος δ' ὑπηκόοις,
μικρὸς τὸ σῶμα, πλὴν μαχητὴς ἐν μάχαις,
ἀεὶ στρατεύων, κατ' ἐχθρῶν κινῶν δόρυ,
αὔξων πλατύνων τοὺς ὅρους τῶν Αὐσόνων
καὶ Ῥωμαΐδος ἀναλαμβάνων πόλεις,
ἐλευθερῶν τε τάσδε τῆς τυραννίδος
ὅπλοις στρατηγίαις τε καὶ μάχης νόμῳ,
φίλοικτος, εὐέντευκτος, εὔσπλαγχνος πάνυ,
μεταδοτικός, φιλοδωρίας χάρις,
καθειμένον γένειον εἰς μέγα φέρων,
φοξός, μελάγχρους μετρίως, οὐ πρὸς βάθος,
ἔρωτος ἥττων, ἀφροδισίων, χόλου,
μακροὺς ἀνατλὰς κινδύνους καὶ καμάτους
ἐν ταῖς κατ' ἐχθρῶν δυσμάχους ἀγωνίαις
χάριν γε κοινῶν πραγμάτων ὑπηκόων·
ᾧ τῶνδ' ὀφείλει πᾶς τις ἐκτίνειν χάριν,
καὶ πάλιν οἷς εὖ ἀναθηλῆσαι κράτος
ἤδη μαρανθὲν Αὐσόνων ἀπειργάκει.

7484 ὡς κράτιστα V 7485 ὡς ἐνῆν] ἐνὸν V

immo potius regaliter sustinuit, (7480) semet periculis iugiter obiiciens, pugnasque graves cum Latinis conserens, rex simul bonus et fortis imperator, ad durum Martis opus paratissimus, et pro re publica strenue decertans, (7485) lupos ovili pro viribus submovens, hostibus formidandus, blandus subditis, corpore parvo sed ad proelia vivido, lanceam semper contra hostes quatiens, Romani fines proferens imperii, (7490) urbes Latina liberans tyrannide atque ad antiquum dominatum revocans armis et vario belli strategemate. idem erat clemens, misericors, comis liberalique manu ac munifica; (7495) demissam gerens ad pectora barbam, capite acuto, subnigro colore, ad Venerem proclivis atque ad iram. hic diu graves pertulit labores, duris cum hoste luctans certaminibus (7500) pro suis subditis atque pro re publica. huic certe omnes gratiam debemus, quod iam exstinctum Romanum imperium ipsius opera maxime revixerit.

Τούτῳ κραταρχήσαντι φροντὶς μυρία
ἐκ τῆς ἑῴας ἐξελάσαι Λατίνους
καὶ Ῥωμαϊκῷ τήνδ᾽ ὑποκλῖναι κράτει,
ἐπεὶ Λατῖνοι κωλυσόντων τῇ σπάνει
οὐ χώρας ἐκράτησαν ἑσπέρας μόνον,
ἀλλά γε μικροῦ καὶ μερῶν πάσης ἕω·
καὶ γὰρ κατέσχον Βιθυνῶν ἅπαν θέμα,
Λεντιανά τε Ποιμαμηνὸν καὶ Βάριν
Λοπάδιόν τ᾽ αὖ Ὀχυρὰς καὶ τὰ πέριξ.
προῆλθον ἄχρις Ἀτραμυττίου τόπων,
καὶ πάνθ᾽ ἁπλῶς πάραλα χωρία πόλεις
αὐτοῖς καθυπέταξαν ἐσκυλευκότες.
οὐχ ἧττον ὑπέθραττον ἄνακτα πάλιν
αἱ κατὰ χώρους Αὐσόνων τυραννίδες·
αὐτίκα καὶ γὰρ τοῦ Σαμψὼν πολιχνίου
σὺν τοῖς προσοίκοις ἦρχε τοὐπίκλην Σάβας,
καὶ Μωροθεόδωρος Φιλαδελφείας,
Δαβὶδ Κομνηνὸς Παφλαγονίας ὅλης,
Ἀλεξίου σύναιμος ὢν τοῦ πρὸ χρόνων
κατατυραννήσαντος Τραπεζουντίων,
ὅστις ἐπωνόμαστο Κομνηνὸς μέγας·
κατηγέτην ἄμφω δὲ σειρὰν τοῦ γένους
ἐξ Ἀνδρονίκου τοῦ βεβασιλευκότος,
ἐκ τοῦδε παιδὸς Μανουὴλ πεφυκότες.
ἀλλ᾽ εὐχερῶς μὲν Θεόδωρόν τε Σάβαν
ἄναξ μετῆλθε τῇ θεοῦ συμμαχίᾳ,

7528 τε om V

Hic enim Caesar summopere studuit (7505) ut ex oriente Latinos eiiceret ibique nostrum firmaret imperium. etenim Latini prohibente nemine non solum terras tenebant occiduas, sed orientis quoque partem maximam. (7510) namque Bithyniae insederant provinciam, Lentiana, Poemanenum atque Barim, Lopadium atque Ochyram cum viciniis. quin et devenerant Atramyttium usque, maritimosque locos urbesque omnes (7515) abactis praedis sibi subiugaverant. nec minus animum Caesaris mordebant circa suam natae dicionem tyrannides. ecce enim parva Sampsionis in urbe eiusque villis imperabat Sabas; (7520) et Philadelphiae Theodorus fatuus; David Comnenus cunctae Paphlagoniae, illius frater Alexii, cuius pridem Trapezuntiorum civitas iugum tulerat. hic porro dicebatur Comnenus magnus: (7525) ambo autem proprii generis originem ab Andronico Caesare trahebant, ex huius filio Manuele sati. et Theodorum quidem atque Sabam Lascaris deo favente statim

κἀντεῦθεν ὤπτο Κελβιανοῦ δεσπότης,
Φιλαδελφείας Μαιάνδρου Νεοκάστρων.
καὶ Παφλαγονίας δὲ κρατεῖ τῷ χρόνῳ,
καταπαλαίσας Κομνηνὸν Δαβὶδ μάχῃ·
ὅθεν παρεστήσατο σὺν Ἡρακλείᾳ
Ἀμάστριδα Κύτωρον Κρῶμναν τὰς πόλεις
πρὸς τοῖς πέριξ ἅπασι καὶ πολιχνίοις,
καὶ κατεκυρίευσε καὶ Παφλαγόνων.
Πέρσας δ' Ἰταλοὺς ταῖς καθ' ἡμέραν μάχαις
οὐκ εὐχερῶς μέν, ἐτροποῦτο δ' οὖν ὅμως
σθένει θεϊκῷ συμμαχούμενος τάχα.
Παρέσχε δ' αὐτῷ πράγματα δυσθυμίας
ὁ φυγὰς Ἀλέξιος Αὐσόνων ἄναξ,
ὢν πενθερὸς τούτου γε τοῦ βασιλέως·
οὗτος γὰρ οὗτος ἐκπεσὼν κραταρχίας,
καθάπερ ἱστόρησε φθάσας μοι λόγος,
ἀλώμενος πέφθακε Θεσσαλονίκην,
καὶ πρὸς Μαρίαν Ἀλαμανῶν ἐκ γένους,
ἣ πρὶν συνῴκει συγγόνῳ Ἰσακίῳ,
μαρκεσίῳ δὲ τηνικαῦθ' ὡμευνέτει,
ἄριστα δεχθεὶς καὶ φιλοφρόνως πάνυ,
ἐκεῖσε διέτριβε σὺν τῇ συζύγῳ.
ὡς δ' αὖ ἀνασείων τὴν πόλιν ἐφωράθη,
ἅμα γυναικὶ καὶ τέκνοις ἀπηλάθη,
καὶ πρὸς τυραννεύοντα τῶν Κορινθίων
Σγουρὸν βαδίσας πρὸς γάμου κοινωνίαν

7552 vel *αὖ* vel *τὴν* tollendum

vicit. (7530) atque hinc Celbiani se fecit dominum, Philadelphiae Maeandricae Neocastrorum. sed Paphlagoniam aegrius obtinuit, Comneno debellato armis Davide; unde acquisivit cum Heraclea (7535) Amastridem Cytorum Cromnamque urbes cum circumiectis agris atque oppidulis, et Paphlagonum dominus evasit. Turcas vero Italosque perpetuis proeliis aegre mehercle, sed tamen devicit, (7540) vires fortasse ministrante deo.

Sed conturbavit animum Lascareos exsul Alexius olim imperator, socer ipsius sceptrum nunc tenentis. etenim ille post amissum regnum, (7545) ut mea superior rettulit historia, Thessalonicam errabundus venit; atque a Maria genere Alamanna, quae coniux fuerat fratris Isaacii, nunc in Marchionis nuptias concesserat, (7550) exceptus peramanter et honorifice diversabatur ibi cum sua uxore. verum cum civium animos tentaret, mox cum uxore et liberis est deiectus. is ad Corinthi protinus tyrannum (7555) Sgurum profectus, foedere coniugii huic copulatam

τούτῳ κατηγγύησε τὴν θυγατέρα.
κἀκεῖθεν ἀπέπλευσε πρὸς Αἰτωλίαν
πρὸς τὸν κρατοῦντα Μιχαὴλ ταύτης τότε,
πρὸς δ' αὖ παλαιᾶς Ἠπείρου κεκλημένης,
πρωτεξάδελφον συγγενῆ πέλοντά οἱ.
ἁλίσκεται δὲ πειραταῖς Λογγιβάρδοις,
ἀπεμπολεῖται πρὸς Μιχαὴλ χρυσίου.
ἐφ' ἱκανὸν γοῦν ἐνδιατετραφότος
τοῖς τοῦ Μιχαὴλ χωρίοις Ἀλεξίου,
θνήσκει βασιλὶς Εὐφροσύνη πρὸς νόσου,
καὶ θάπτεται δὴ τῷ πολιχνίῳ Ἄρτης·
αὐτὸς δ' ἀπέπλει πρὸς πόλιν τὴν Ἀττάλου,
ἔνθα πεφθακὼς τῷ κρατοῦντι Περσίδος
Ἰαθατίνῃ προσδέδεκτο γνησίως,
ὃν αὐτὸς ἐκφεύγοντα τἀδελφοῦ χέρας
καὶ πρὸς πόλιν ἥκοντα πρὶν δεδεγμένος
θετὸν κατωνόμασε παῖδα βαπτίσας,
καί οἱ συνεξῄει γε τῆς Κωνσταντίνου.
ἔπειτ' ἐκεῖθεν ἀποδρὰς οὐκ οἶδ' ὅπως,
παλινδρομήσας εὐχερῶς πρὸς πατρίδα
Ἰκονίου δέδεικτο σουλτὰν Περσάναξ,
καὶ τηνικαῦτα δυστυχοῦντ' Ἀλεξίῳ
ὤφθη παρηγόρημα καὶ σωτηρία.
οὗτός γε τοίνυν ἱκέτῃ τίνων χάριν
πρεσβεύεται δὴ πρὸς νέον στεφηφόρον,
καὶ παραχωρῆσαί γε τῆς κραταρχίας
τῷ πρὶν κρατοῦντι πενθερῷ παρηγγύα·

tradidit filiam suam. mox illinc navi recessit in Aetoliam ad Michaëlem huic dominantem et simul Epiro, quam veterem vocant (7560) (erat enim Alexii ex fratre nepos): sed interceptum piratae Longobardi ad Michaëlem, auro repenso, mittunt. dum ergo longo diversatur tempore in Michaëlis dicione Alexius, (7565) moritur ex morbo Euphrosyne regina atque in oppidulo sepelitur Arta. ipse navigavit ad urbem Attali, ubi est susceptus animo lubente a Turcarum sultano Iathatine, (7570) quem ipse olim profugum a fratre Cpoli hospitem exceperat et in baptismo filium adoptaverat, quicum Byzantium quoque deseruerat. sed postea Iathatines nescio quomodo (7575) feliciter reversus in patriam suam Turcarum rex et Sultanus Iconii evasit. hic ergo tunc aerumnoso Alexio ara salutis fuit et solamen. etenim reddens supplicanti gratiam, (7580) misso ad novellum Caesarem legato hortatus est ut imperio decederet socero suo, domino priori. deinde sumptis contra no-

εἶτ' ἐκστρατεύσας καὶ κατὰ Ῥωμαΐδος
μετὰ στρατιᾶς δυσαριθμήτου μάλα,
ἄγων μετ' αὐτοῦ καὶ κρατοῦντα φυγάδα,
τὴν Ἀντιόχου καταλαμβάνει πόλιν
τὴν πρὸς Μαιάνδρῳ τῷ ποταμῷ κειμένην.
ἀλλ' οὐδ' ὁ κρατῶν τῶν καθ' αὐτὸν ἠμέλει,
ἀλλὰ προσοῦσαν στρατιὰν συναλίσας,
ἐλπίδας ἐξάψας τε Χριστοῦ δεσπότου,
ἐπὶ σουλτάνον ἵεται θαρραλέως.
συῤῥήξεως γοῦν συμβολῆς τε συμβάσης
τὸ πλεῖστον ἠφάνιστο τῶν στρατευμάτων
ἄνακτος, ὃν μάλιστα Λατίνων γένους,
ἔργ' ἀρεϊκὰ καρτερὰ δεδειγμένον·
Ῥωμαϊκὴ δ' ἔφευγεν ἀκόσμως φάλαγξ,
ταύτης μενόντων μετρίων κατὰ μάχην
ἀγωνίας τέρμα τε πᾶν σκοπουμένων.
οὕτω δὲ νίκης μειδιώσης βαρβάροις,
ἄνω θέων κάτω τε σουλτὰν ἱππότης
ἀναδιφῶν ἦν τὸν κρατάρχην Αὐσόνων·
καὶ τόνδε καθ' ὅμιλον εὑρὼν ἱππότην,
ῥώμῃ πεποιθὼς καὶ σθένει βραχιόνων,
πλήττει κορύνῃ κατὰ κάρας αὐτίκα,
καὶ κατὰ γῆν βέβληκε ῥίψας ἐκ δίφρου,
πλησθέντα τύψει συστροφῆς τε καὶ σκότους.
ἐν χρῷ δὲ κινδύνου γε τῇδε τυγχάνων,
αἴφνης ἑαυτὸν ἀναλαβὼν ὁ κράτωρ
πλησθείς τε θείας ἐξ ἐπιπνοίας σθένους,

7595 δεδειγμένων V

stros armis egressus est cum innumero exercitu, (7585) exsulem habens in comitatu Alexium; Antiochiamque occupavit, urbem illam ad Maeandrum sitam. at neque Lascaris rebus suis deerat; qui congregatis quotquot habuit viribus, (7590) spemque suam collocans in Christo domino, contra Sultanum exiit audacter. sed mox conserto proelio gravissimo, maxima pars exercitus Caesarei caesa est, Latinis constans stipendiariis, (7595) postquam ediderat strenua facinora: gentilis autem nostra confuse phalanx acie profugit, paucis exceptis qui pugnae reliquum exspectarunt exitum. dum sic victoria barbaris arridet, (7600) hac illac eques Sultanus oberrans Romanum vestigabat imperatorem. quem ubi vidit equitem in turba, robore proprii brachii confisus, clava percussit Caesarem in capite, (7605) eumque ephippio proruit in terram, ictu patientem vertiginem et tenebras. in tanto versans Lascaris discrimine illico tamen spiritum recepit, divinitusque robore repletus, (7610) pedibus in-

σταθεὶς ἐπὶ πόδας τε γενναίως μάλα,
σπάθην τ' ἐρύσας κουλεοῦ, τέμνει πόδας
θηλείας ἵππου Περσάνακτος εὐψύχως,
καὶ τόνδε χαμαὶ κατέβαλεν ὑψόθεν.
εἶτ' ἐξαπίνης, μηδενὸς πῶς εἰδότος,
σουλτὰν κάραν τέτμητο τὴν μιαιφόνον,
καὶ λοιπὸν ἠνέγκατο τὴν νίκην κράτωρ.
τουτὶ τροπαιούχημα τὸν βασιλέα
ποιεῖ μὲν ἐχθροῖς βαρβάροις φρικαλέον,
ἡδὺν ὑπηκόοις δὲ καὶ πεφιλμένον·
πρὸς τοῖσδ' ἱκανῆς ἐμπιμπλᾷ θυμηδίας
καὶ λήματος θάρσους τε τούτους εἰκότως.
ἐντεῦθεν ἐσπείσατο Ῥωμαίων κράτει
ἡ πρὶν ἀλαζὼν Περσικὴ χώρα πρόφρων,
καὶ λοιπὸν ἐσχόλαζε Ῥωμαίων κράτωρ
ταῖς πρὸς Λατίνων συμπλοκαῖς τε καὶ μάχαις.
καὶ πενθερὸν δὲ προσλαβὼν ἐκ τῆς μάχης,
τιμήσας εἰκότα τε καὶ παρ' ἐλπίδα,
ἀπαγαγὼν δὲ πρὸς πόλιν Νικαέων
καὶ παράσημα τοῦ κράτους ἀπεκδύσας,
μονῇ διάγειν Ὑακίνθου προσνέμει,
ἔνθα θανὼν ἔτυχε ταφῆς ἐντίμου.
Ταῦτα μὲν οὕτῳ συνέβη Λασκαρίῳ·
νῦν βούλεται λόγος δεδηλῶσθαι πάλιν
περὶ Μιχαὴλ ἀγγελωνυμουμένου
τοῦ πρὶν κυριεύσαντος, ὡς ἔφη λόγος,
παλαιᾶς Ἠπείρου τε σὺν Αἰτωλίᾳ.

sistens vigore magnanimo, evaginato ense succidit pedes fortiter equae Sultanum gestantis, atque hunc humi praecipitem sternit. mox improviso, incertoque auctore, (7615) crudele caput Sultano praeciditur; statimque ad nostros transiit victoria. atque hic successus triumphalis Caesarem barbaris fecit hostibus terribilem et subditis iucundum ac gratissimum; (7620) insuper populi recreavit animos idoneaque fiducia replevit. exinde pacem cum Romano imperio superba gens Turcarum libens fecit. quare imperator postea Latinis (7625) gerendis bellis expeditior fuit. nunc media ex pugna socero recepto exhibuit iustam praeter spem honorem; atque eum Nicaenam transferens in urbem, imperii tantum detractis insignibus, (7630) dat Hyacinthi pro sede coenobium, in quo defunctus sepelitur magnifice.

Atque ita se res Lascareos habebant. nunc nostra historia iterum convertitur ad Michaëlem cognomento Angelum, (7635) qui retinebat, ut supra diximus, subditam Epirum veterem cum Aetolia.

Τούτῳ τριὰς ὑπῆρχε συγγόνων φίλη,
Μανουὴλ Θεόδωρος καὶ Κωνσταντῖνος,
ἀφ' ὧν ὁ Θεόδωρος ἐν Νικαέων
παρὰ βασιλεῖ διέτριβεν Αὐσόνων·
ἐπεὶ δὲ παιδὸς γνησίου διαδόχου
ἀρχῆς Μιχαὴλ ἰδίας οὐκ εὐπόρει
(ὃ γὰρ παρ' αὐτῷ Μιχαὴλ κεκλημένος
νόθος τις ὑπῆν ἐκ παρανόμων γάμων),
δεῖται κρατοῦντος τοῦ Θεοδώρου πέρι,
ἵνα παρ' αὐτὸν ἀφεθεὶς καταλάβῃ.
πεισθεὶς ἄναξ πέπομφε τοῦτον εὐθέως,
πίστεις ἐνόρκους βασιλεῖ δεδωκότα
ἦ μὴν φυλάξειν εὐνοϊκήν οἱ σχέσιν
καὶ πίστιν ἀνόθευτον εἰς τέλος βίου,
αὐτῷ τε δήπου καὶ διαδόχοις κράτους.
οὕτως ἐπιστὰς Θεόδωρος ἑσπέρᾳ
συνῆν ἀδελφῷ Μιχαὴλ, ὡς ἂν ἔφην,
Αἰτωλίας ἄρχοντι καὶ τῆς Ἠπείρου.
ἐπεὶ δ' ἀπηνῶς Μιχαὴλ σφαγεὶς ξίφει
πρὸς ἀνδρὸς οὕτω Ῥωμαίου κεκλημένου,
νυκτὸς καθεύδων ἐν Βελλεγράδων ὅροις,
ἐξαπίνης λέλοιπε τόνδε τὸν βίον,
ἀρχὴν ἀδελφοῦ Θεόδωρος λαμβάνει,
ἀνὴρ στρατηγός, εὐσθενὴς καὶ γεννάδας,
γίγας βριαρόχειρ τις, ὀξὺς ἐν μάχαις·
ὃς παραλαβὼν συγγόνου κληρουχίαν
ἀρχήν τε μικρὰν εὐόριστον καθάπαξ,

Huic tres erant Michaëli fratres, Manuel Theodorus et Constantinus, ex quibus Theodorus Nicaena in urbe (7640) apud Romanum versabatur Caesarem. iam quia filio legitimo herede principatus sui Michaël carebat (nam quem habebat dictum Michaëlem, spurium de vetita susceperat copula), (7645) oravit Caesarem ut ex aula sibi Theodorum illum liberum remitteret. annuens Caesar statim misit hominem, fide iurata sibi promittentem conservaturum se animum benivolum (7650) atque sinceram, quoad viveret, fidem ipsi et imperii successoribus. sic Theodorus ad occidentem veniens cum Michaële versabatur fratre, Aetoliae, ut dixi, principe et Epiri. (7655) sed postquam Michaël crudeliter caesus a viro cui Romano nomen erat, noctu sopitus apud Bellegradum, vitam repente cum nece commutavit, fratris principatum Theodorus excipit, (7660) dux bellicosus, strenuus pugnator, alter Briareus gigas in proeliis; qui mox fraternum patrimonium augens e parvo

ηὔξησεν ἐπλάτυνε ταύτης τοὺς ὅρους,
ἐκ Βουλγάρων γῆς, Ἰταλικῶν ἀστέων
Ἰλλυριῶν τε καὶ Τριβαλῶν χωρίων
ταύτην ἐπαύξων εὐρύνων μεγαλύνων.
ἔθηκε καὶ γὰρ ὑφ' ἑαυτόν, ὡς ἔπος,
Ἀχρίδα καὶ Πρίλαπον, Πελαγονίαν
σὺν τοῖς πέριξ ἅπασι χωρίοις τόποις·
κρατεῖ Θεσσαλίας τε σὺν Ἀχαΐᾳ,
Μακεδονίας καὶ μέρους τινὸς Θρᾴκης·
αἱρεῖ Δαλματίαν τε σὺν Ἐπιδάμνῳ,
Ἰλλυρίδα γῆν, Ἀλβανοὺς ὀριτρόφους.
εὐρὺ δέ οἱ τίθησι μᾶλλον τὸ κλέος
ἡ κατὰ Πέτρου Λατίνου λαμπρὰ νίκη.
γαμβρὸς γὰρ οὗτος εἰς ἀδελφὴν τυγχάνων
Ἐρρῆ Βαλδουΐνου τε τῶν βασιλέων,
πρὸς πάπα χρισθεὶς εἰς κρατάρχην Λατίνων
Ἐρρῆ θανόντος εἰς Βύζαντος ἐστάλη,
εἰς Ἐπιδαμνίων δὲ κατάρας πόλιν
δι' Ἀλβανῶν ἔσπευδε τὴν Κωνσταντίνου
μετὰ στρατιᾶς καταλαβεῖν εὐόπλου·
ἀλλὰ προφθάσας Θεόδωρος γεννάδας
τοῦτον τροποῦται καὶ νικᾷ κατὰ κράτος,
αὐτόν τε καὶ στράτευμα δοὺς ἄρδην ξίφει.
πρὸς τοῖσδε Δυρράχιον αἱρεῖ τὴν πόλιν,
καὶ στρατιὰν μὲν ἐμπιμπλᾷ λείας σκύλων,
αὐτὸς δὲ βασίλειον εἴληφε στέφος,
Πέτρου πεσόντος κατὰ μάχην, ὡς ἔφην.

magnum spatiosumque reddidit, proferens huius dilatansque fines, Bulgarorumque et Italorum urbibus, Illyricis oppidis et Triballicis efficiens opulentum et amplificans. ut enim paucis dicam, sibi subdidit Achridem, Prilapum, Pelagoniam cum suis agris et oppidis finitimis. Thessaliam occupavit cum Achaia, et Macedoniam cum Thraciae particula; Dalmatiam acquisivit cum Epidauro, Illyrii tractum, monticolas Albanos. sed nihil huic tantam gloriam peperit quantam Petri Latini clades splendida. hic quia sororem in coniugio habebat Errici et Balduini imperatorum, a papa coronatus Latinus Caesar, defuncto Errico, missus est Byzantium. atque Dyrrachium delatus ad urbem mox per Albanos itinere pedestri ibat Byzantium cum instructo exercitu. sed antevertens Theodorus strenuus Petrum insigni perculit victoria, ipsum cum toto exercitu delevit. urbem quin etiam tenuit Dyrrachium, suumque praeda ditavit exercitum. ipse regalem induit coronam, in acie Petro, ut diximus, occiso. nam

οὗτος πλατύνας εὐτυχῶς ἀρχῆς ὅρους,
ταῖς ἀλλεπαλλήλοις τε κεπφωθεὶς νίκαις,
ἐν οἷς ὑπῆρχε προσμένειν οὐκ ἠγάπα,
ἀλλὰ φρονεῖ μέγα τι καὶ παρ' ἀξίαν.
φημίζεται γοῦν βασιλεὺς αὐτοκράτωρ
τῶν ὧν κατῆρχεν ἀστέων καὶ χωρίων,
στεφθεὶς κεφαλὴν βασιλικῇ ταινίᾳ
παρ' ἀρχιθύτου Βουλγάρων Δημητρίου.
θεὸς δ' ἐπευδόκησε τούτοις οὐδ' ὅλως·
μισεῖ γὰρ ὄντως ὑπερηφάνους φύσεις.
ὅθεν δίκην δέδωκεν ὕστερον θράσους,
σβέσιν ὑποστὰς τοῦ φάους τῶν ὀμμάτων.

Κατὰ μάχην οὕτω δὲ κτανθέντος Πέτρου,
παισί τ' ἐπὶ τέτρασι λιπόντος βίον,
Ῥομπέρτῳ Φιλίππῳ τε καὶ Βαλδουΐνῳ,
πρὸς τῇδε μιᾷ θυγατρὶ τῇ Μαρίᾳ,
τούτων κραταρχεῖ Ῥομπέρτος Βυζαντίδος
πράγμασι κοινοῖς μαλακῶς κεχρημένος,
μετ' Ἐρρῆν κατάρξαντα τὸν τεθνηκότα,
ἀνδρεῖον ἄνδρα καὶ πάνυ ῥωμαλέον.
εἶτα μετ' αὐτὸν σύγγονος Βαλδουῖνος,
μέτριος ἀνήρ, σωφρονικός, χαρίεις,
ἐφ' οὗ κρατοῦντος ἡ Κωνσταντίνου πόλις
ἐπανεσώθη Ῥωμαίων κραταρχίᾳ.
ἡ δ' αὖ Μαρία πρὸς γάμου κοινωνίαν
τῷ Λασκαρίῳ βασιλεῖ συνεζύγη,

7706 τοῖσδε?

aucta sua feliciter dicione et cumulatis elatus victoriis non fuit contentus acquisitis opibus, sed ad maiora praeter fas anhelans (7695) imperatorem Caesarem se dixit eius quae ipsi suberat dicionis; atque regali coronatur stemmate a Bulgarorum Demetrio archipraesule. sed deus rem gestam minime probavit, (7700) qui mentes odit hominum superbas. quamobrem Michaël seram luit poenam, utroque lumine orbatus oculorum.

Petrus in pugna spoliatus vita quattuor reliquit liberos superstites, (7705) Robertum et Philippum ac Balduinum, praeterea filiam Mariam. ex his Robertus imperavit Byzantii, sed administrans ignave rem publicam, post vita functum Caesarem Erricum, (7710) strenuum virum et plane fortissimum. post illum frater regnavit Balduinus, modestus vir et temperans ac gratiosus; quo dominante Constantini civitas ad Romanorum rediit imperium. (7715) Petri Maria filia nuptiali vinculo impe-

πρώτης γυναικὸς ἐκλελοιπυίας βίον,
τῆς δ' ἐκ Κιλίκων δευτέρας εἰς πατρίδα
διά τι μῖσος ἀποπεμφθείσης πάλιν.
οὗτος γυναικάδελφον αὐτοῦ Ῥομπέρτον
εἰς Εὐδοκίαν τὴν τρίτην θυγατέρων
σπεύδων ἀγαγεῖν γαμβρὸν ἀθέσμῳ τρόπῳ,
ἔριν ἐνῆκε ποιμενάρχῃ τῷ τότε,
τῷ φιλοσόφῳ Μανουὴλ κεκλημένῳ,
μὴ συγκατανεύοντι τῷδε τῷ γάμῳ.
θεὸς δὲ λύει τὴν ἀθεσμογαμίαν,
πρὶν ἢ γενέσθαι τήνδε, τοῦ βασιλέως
βίον τὸν ἀνθρώπινον ἐκλελοιπότος.
Ἔτι κραταρχοῦντί γε τῷ Λασκαρίῳ
πράγματα πολλὰ καὶ μακρὰς ἀγωνίας
Ἐρρῆς παρεῖχεν ὁ κρατῶν Βυζαντίδος,
τιθεὶς ὑφ' αὑτὸν Ῥωμαϊκὰ χωρία
λεηλατῶν τε καὶ κατατρέχων πόλεις·
δραστήριος γὰρ καὶ σθεναρὸς ὢν χέρας
καὶ πρὸς μάχας ἕτοιμος, ἄντικρυς Ἄρης,
τὰ Ῥωμαϊκὰ δ' ἠσθενηκότα βλέπων,
καὶ μᾶλλον ἀφ' οὗ σουλτάνου κατισχύσας
Λάσκαρις ἄναξ ἀπέβαλεν ἱππότας
ἄνδρας Ἰταλοὺς ἀρεϊκοὺς γεννάδας,
συχνῶς ἐπεστράτευε Ῥωμαίων ὅροις,
τῶν κωλυσόντων οὐδενῶν ὁρωμένων,
παρὰ τοσοῦτον τοῦ θράσους ἀφιγμένος
ὡς καταδραμεῖν καὶ μέχρις Ἰωνίας

ratori Lascari coniungitur, qui uxorem primam fleverat exstinctam, secundam autem Cilice gente natam nescio quo odio in patriam remiserat. (7720) idem Robertum coniugis germanum optabat generum, contra fas ecclesiae iugando tertiam filiam Eudociam. cum Manuele patriarcha iurgium hinc ortum est, philosopho appellato, (7725) huiusmodi vetante ne fierent nuptiae. sed deus abrupit illicitum coniugium: priusquam enim fieret, ipse Caesar humanae vitae terminum imposuit.

Ceterum adhuc imperante Lascare (7730) molestias multas et proelia diutina Byzantii dominus Erricus exhibuit, cum sibi Romana oppida subiiceret, susque deque urbes diriperet ageret. vir enim erat efficax, forti manu, (7735) alacer ad pugnas semper, et Marti par; qui cum Romanos laborantes cerneret, praesertim quia, dum Sultanum debellat Lascaris Caesar, equites amiserat Italos viros strenuos mavortios, (7740) perpetuo nostros lacessebat bello. quin cum in finibus obviarent nulli, tanta est elatus confidentia Erricus, ut usque in Ioniam fa-

λεηλατοῦντα τὰ μεταξὺ χωρία,
δῃοῦντ' ἀφανίζοντα τῆς μάχης νόμῳ,
σκηνάς τε πῆξαι κατὰ χῶρον Νυμφαίου,
εἶθ' ὑπονοστήσαντα τὴν πόλιν φθάσαι.
ταῦτ' ἄρα Λασκάριος Ἐρρῇ συνέβη·
εἰς σπονδὰς ἀμφοῖν συμβάσεις τ' ἀφιγμένων
αἱ συμβιβάσεις τάδε καὶ συμφωνίαι,
ὡς ἂν Ὀχυρὰν τὴν πόλιν καὶ τὰ πέριξ,
τὰ κατ' ὄρος τ' αὖ τοῦ Κυμινᾶ χωρία,
τυγχάνον ἀγχοῦ φρουρίου λελεγμένου,
φῦλον κατάσχῃ καὶ νέμηται Λατίνων·
Κάλαμος ἡ κώμη δέ, παρ' οὗ τὸ κλίμα
τῶν Νεοκάστρων τὴν καταρχὴν λαμβάνει,
ἔρημος ἀοίκητος ᾖ τε καὶ μένῃ.
τὰ δ' ἀπὸ τοῦδε καθ' ἕω νενευκότα
(Νεόκαστρα ταῦτ' ἔστι, Πέργαμος πόλις
Κελβιανόν τε καὶ Χλιαρὰ καὶ Σμύρνα)
σὺν τοῖς κατ' εὐθὺ κειμένοις καὶ πλαγίως
ἅπαντ' ἀνεῖται βασιλεῖ Λασκαρίῳ.
Πρόθυμον ὁρμᾷ καὶ τὰ παρὰ Βουλγάρων
ἐπεισπεσόντα Ῥωμαΐδι τῷ τότε
τῆς ἱστορίας παραδοῦναι τῷ λόγῳ.
Καὶ πρὶν μέν, εὖ ἔχοντος Αὐσόνων κράτους,
πολλῶν κακῶν αἴτιον ἔθνος Βουλγάρων
ὑπῆρξε Ῥωμαίοις τε καὶ κραταρχίᾳ.
Ἰσάκιον γὰρ ἀγγελώνυμον πάλαι

ceret excursus, vastatis late terris interpositis, (7745) nil bello intactum linquens, donec tandem ante Nymphaei regiam tentorium figeret. sed mox Byzantium reducem tulit pedem. ideo Lascaris cum Errico convenit. deinde pacis foedere coaluerunt, (7750) cuius huiusmodi condiciones erant, ut urbs Ochyra cum agro suo et pagi monti circumiecti Cymino, qui mons ab urbe Ochyra prope abest, Latinis dominis incolisque cederent; (7755) Calamus autem pagus, unde incipit Neocastrorum quae dicitur provincia, neutrius partis esset ac deserta. regiones autem ad orientem versae, Neocastra videlicet atque urbs Pergamus, (7760) Celbianum, Chliara atque Smyrna cum circumiecto regionum latere Lascari cuncta Caesari parerent.

Nunc iam fert animus omnia quae Bulgari per illud tempus contra nos fecerunt (7765) historiae reliquo pandere sermone.

Adhuc florente Byzantino imperio causa multorum exstitit malorum rei nostrae publicae Bulgarica natio. nam et Isacium, Angelum cogno-

κατὰ Βερρόην ἐνικᾷ κατὰ κράτος,
ὥστε πρὸς ἄλλοις καὶ σεβάσμιον ξύλον
σταυροῦ διαρπάσαντας αὐτοὺς κερδᾶναι,
ὃν Αὐσόνων ἄνακτες ἐχθρῶν ἐν μάχαις
ἡγήτορ᾽ εἶχον καὶ τρόπαιον καὶ σθένος,
ἀμήχανον κάλλος τε καὶ ποικιλίαν,
χρυσῷ τιμαλφέσι τε λίθοις μαργάροις
καὶ τεχνικαῖς χάρισιν ὡραϊσμένον,
τούτου μέσον φέροντα τιμίου ξύλου
ᾧ σωματικῶς προσπαγεὶς ὁ δεσπότης
Χριστὸς καθηγίασεν αἵματι τόδε,
θήκας τ᾽ ἐφεξῆς ἐξ ἑκατέρου μέρους
χρυσοῦ τεχνίτῃ προσφυῶς εἰργασμένας,
ἐν αἷς προσῆν λείψανα Χριστοῦ μαρτύρων
καὶ μητρανάνδρου παρθένου σεπτὸν γάλα,
τεμάχιον ζώνης τε τῆσδε τιμίας,
καὶ πλεῖστα τιμήεντα καὶ θαυμαστέα.
καὶ τῷ μετ᾽ αὐτὸν παραλαβόντι κράτος
Ἀλεξίῳ γε κομνηναγγελωνύμῳ
πολλοὺς ἀγῶνας προυξένησαν καὶ μάχας.
ἄρτι δ᾽ ἁλούσης Ἰταλοῖς Βυζαντίδος
καὶ τοῦ κατ᾽ αὐτὴν καταλυθέντος κράτους,
ὁ κυριεύων Βουλγάρων Ἰωάννης,
σκαιός τις ἀνὴρ καὶ φιλαίματος κύων,
Ἀζὰν Πέτρου σύναιμος ὢν ἀλαστόρων,
ἐν Ἀδριανοῦ Λατίνοις σκηνουμένοις

7782 εἰργασμένος V

mine, magna devicit apud Berroen clade, ita ut cum cetera praeda diripuerit crucis dominicae sacrosanctum lignum, quod erat nostris regibus in proeliis ducis instar, robur, victoriae omen. theca fuit, specie eximia et ineffabili, auro gemmisque rutilans pretiosis et laborati operis artificio, sinu complectens venerandum lignum, quod dominus suffixo quondam corpore sanctificavit sanguine perfusum. inerant et aliae ex utroque latere thecae, ab aurifice pervenuste effictae, martyrum Christi reliquias gestantes, deiparaeque virginis lac sanctissimum cum venerandae zonulae segmento mirisque aliis rebus religiosissimis. Alexio quoque Isacii successori, aeque Comnenis Angelis progenito, permultas Bulgari pugnas obtulerunt. mox occupata ab Italis Byzantio eiusque imperio ad nihilum redacto, regnator Bulgarorum Ioannes, homo inhumanus vel cruentus canis, Petri Asanisque frater detestandorum, Latinos obsidentes Hadrianopolim eamque

καὶ τήνδ' ἑλεῖν σπεύδουσι παντὶ τρόπῳ
ἐπιστρατεύει σὺν στρατιᾷ Σκυθίδι,
καὶ κατὰ κράτος ἐκνικᾷ σφᾶς τοῖς ὅπλοις,
ὡς καὶ κρατάρχην σφῶν ἀνεζωγρηκέναι
τὸν Βαλδουῖνον, ὡς ἀνόπιν ἐρρέθη.
ἐπεὶ δ' ἑλεῖν ἔσπευδεν Ὀρεστιάδα
καὶ τοῖς ὑπ' αὐτὸν ὑπαγαγεῖν φρουρίοις,
ἀλλ' ἦν χανὼν ἄντικρυς ὡς λύκος μάτην·
ἐντεῦθεν οἷον ἐκμανεὶς ὁ μαινόλης
καὶ κατεπαρθείς, Σεναχηρεὶμ ὡς πάλαι,
ἄλλως τε μηδὲν ἐμποδὼν ἔχων ὅλως,
Μακεδονίαν καὶ Θρᾴκην κατατρέχει,
κώμας ἐρημῶν καὶ κατασκάπτων πόλεις,
δῃῶν, σκυλεύων, ἐκ βάθρων ἀνατρέπων.
καταστρέφει πρῶτα μὲν Φιλίππου πόλιν,
πόλιν περιώνυμον εὐκλεεστάτην.
ἔπειτα κατήρειψε τὰς ἄλλας πόλεις,
κύδιστον Ἡράκλειαν καὶ Σηλυβρίαν,
Ῥαιδεστὸν καὶ Πάνιον σὺν Δαονίῳ,
Τραϊανοῦ τε καὶ Μάρωνος τὰς πόλεις,
πόλιν Μοσυνόπολιν καὶ τὴν Στάγειραν
καὶ πλείστας ἄλλας ἡ βέβηλος καρδία.
οὕτως ἐρημῶν καὶ σκυλεύων τὰς πόλεις
φθάνει περιώνυμον Θεσσαλονίκην,
κἀκεῖ βιαίως τὸν βίον καταστρέφει
πλευρίτιδι μέν, ὡς ἀκούειν ἦν, νόσῳ,

7796 *ἑλεῖν γε?*

summa vi nitentes capere adgressus est cum Scythico exercitu, et summa clade adfectos debellavit; quorum etiam principem Balduinum (7800) ab ipso vivum captum supra diximus. deinceps Orestiadem tentavit Bulgarus, ut suae dicionis oppidis adiungeret: sed inhiavit frustra tamquam lupus. hinc ergo malo percitus furore, (7805) superbusque ut alter Senacherimus, cum nihil uspiam ipsi iam resisteret, Thraciam Macedoniamque concursabat, pagos desolans, civitates diruens vastans depraedans, a fundamentis quatiens. (7810) in primis quidem evertit Philippopolim, famigeratam urbem et nobilissimam; deinde et alias prostravit civitates, inclytam Heracleam ac Selybriam, Rhaedestum, Panium cum Daonio, (7815) Maroneam insuper et Traianopolim, itemque Mosynopolim et Stagiram aliasque plurimas, hic pessimus mortalis. sic vastitati indulgens et latrociniis Thessalonicam denique illustrem venit, (7820) ubi immaturum habuit vitae finem, pleuritidis, ut fama

ὡς δ᾽ αὖ κλύειν πέφυκε σαφῶς εἰδότων,
ᾧ τίθεται πᾶς, χριστομάρτυρος ξίφει
Θεσσαλονίκης προστάτου Δημητρίου.
τούτου δ᾽ ἀπορρήξαντος ὡς ἔφην βίον,
ἀδελφόπαις τις Βορίλας κεκλημένος,
Σκυθίδα θείαν γαμετὴν παρανόμως
γήμας, ὑπῆρξεν ἐγκρατὴς καὶ Βουλγάρων.
Ἀσὰν δὲ παῖδα παιδαγωγός τις λάθρα,
νέον κομιδῇ, παραλαβὼν ὡς τάχος
πρὸς Σκύθας ἀπήγαγεν εἰς σωτηρίαν.
Ἄννα βασιλὶς συζύγῳ Λασκαρίῳ
θυγατέρας τέξασα τρεῖς λείπει βίον,
Εἰρήνην Μαρίαν τε σὺν Εὐδοκίᾳ.
ἀλλὰ Μαρίαν δευτέραν κατὰ γένος
εἰς κῆδος ἐξέδωκε ῥηγὸς Παιόνων
νύμφην ἐφ᾽ υἱῷ βασιλεὺς φυτοσπόρος,
ἐπανιόντος ἐκ Σιὼν πρὸς πατρίδα·
πρώτην δ᾽ Εἰρήνην ἡρμόσατο πρὸς γάμον
Παλαιολόγων ἐκ γένους Ἀνδρονίκῳ,
ὃν δεσποτικῆς ἠξίωσεν ἀξίας.
τούτου θανόντος, ὡς προφθὰς ἔφη λόγος,
ταύτην συνῆψε κατὰ δευτέρους γάμους
πλήρει χαρίτων ἀνδρὶ χαριτωνύμῳ
Βατάτζῃ, Δουκῶν ἐκ γένους κατηγμένῳ,
σχόντι Διδυμότειχον ἄστυ πατρίδα,
αὐχοῦντι τιμὴν πρωτοβεστιαρίτου·
ᾧ πενθερὸς λέλοιπε θνήσκων τὸ κράτος,

fuit, exstinctus morbo. vel eum potius, ut aiunt recte conscii vulgoque creditur, Christi martyr perculit Thessalonicam protegens Demetrius. (7825) postquam tyrannus vivis exemptus fuit, huius ex fratre nepos dictus Borilas, Scythidi iunctus amitae incestis nuptiis, Bulgarae gentis excepit dominatum. Asànis autem paedagogus filium (7830) puerum adhuc, clandestina fuga consulens vitae, transtulit ad Scythas.

Anna regina coniugi Lascario tribus filiabus editis vita excessit, Irene et Maria atque Eudocia. (7835) Mariam, quae nata erat secundo loco, regis Paeoniae filio in matrimonium Sione revertenti in patriam suam genitor Caesar tradidit desponsam. maiorem natu Irenem nuptui tradidit (7840) Palaeologorum surculo Andronico, quem etiam despotae dignitate ornavit. quo tamen exstincto, ut retro diximus, eandem collocavit secundis nuptiis Ioanni, et re et nomine gratioso (7845) Vatatzae. de Ducarum stirpe genito et oriundo urbe Didymoticho, protovestiarii dignitate ornato. atque huic socer moriens imperium tradidit. ipse

ἐν δ᾽ Ὑακίνθου τῇ μονῇ τούτου νέκυν,
ἐγγὺς βιώσας πεντήκοντά που χρόνων,
ἐξ ὧν ἐβασίλευσεν ὀκτὼ πρὸς δέκα.

Ἰωάννης ὁ Δούκας ἤτοι ὁ Βατάτζης ἔτη λγ΄.

Ἰωάννης οὕτω δὲ τυχὼν τοῦ κράτους
εὐθὺς τεταινίωτο παρ᾽ ἀρχιθύτου
τοῦ φιλοσόφου Μανουὴλ κεκλημένου,
ὅστις μετὰ Μάξιμον ἔσχε τὸν θρόνον,
καὶ λοιπὸν ἐδράξατο τῆς κραταρχίας
κοινῶν τε λοιπῶν ἀρρενωπῶς πραγμάτων·
ἦν γὰρ στρατηγὸς συνετὸς βουληφόρος,
ψυχῆς παραστήματι σὺν εὐτολμίᾳ,
ῥώμῃ βραχιόνων τε σώματος σθένει
κοσμούμενος μάλιστα, συνέσει πλέον,
καὶ καρτερικὸς ἐν μάχαις ἀντιπάλων,
ἄναξ ἀγαθὸς καὶ μαχητὴς γεννάδας,
εὐεργετικὸς καὶ φίλοικτος εἰσάγαν,
ὑπηκόοις μὲν εὐμενὴς ἡδὺς μάλα,
ἐχθροῖς δὲ φρικτὸς καὶ δυσάντητος θέα,
προκινδυνεύων προφρόνως κληρουχίας,
ταμεῖον ὄντως τῶν ἀγαθουργημάτων,
ὄντως χαριτώνυμος, ἔνθεος χάρις,
αὔξων πλατύνων τοὺς ὅρους Ῥωμαΐδος
ὅπλοις στρατηγίαις τε σὺν εὐβουλίαις,
συχνῶς στραταρχῶν, καρτερῶν ἐν ταῖς μάχαις,
ἐπανασώζων τὰς πόλεις Ῥωμαΐδι

in Hyacinthi sepelitur coenobio, (7850) aetatis anno ferme quinquagesimo, duodeviginti dominatus annos.

Ioannes Ducas Vatatzes an. 33.

Sic adsecutus Ioannes imperium statim a patriarcha est coronatus Emmanuele, cui cognomen philosopho, (7855) post Maximum tenente sacrum thronum. ille deinceps ad imperii regimen remque gerendam publicam gnave incubuit: dux enim erat sapiens et consiliosus, animo instructus alacri et audace, (7860) robusto brachio viribusque reliquis; praecipue tamen praeditus prudentia, et sustinendis proeliis invictissimus, rex bonus pariter bellatorque strenuus, beneficus, misericors apprime, (7865) benivolus in subditos et benignissimus, hostibus formidandus intolerabilis, creditum sibi imperium prudenter tuens; verus recte factorum fons et thesaurus, et suo consentiens nomini, id est gratiosus; (7870) augens dilatans dicionis fines armis, peritia bellica et consilio, semper in aciem ducens pugnisque occurrens, urbes Romano vindicans

γνώσει λόγῳ πράγματι καὶ πείρᾳ μάχης,
ὡς ὑφ' ἑαυτοὺς ὑπέταξαν Λατῖνοι
τῶν Αὐσόνων τ' αὖ οὐ καλῶς ἀποστάται,
προσηνὲς εὐέντευκτον ἦθος δεικνύων,
μέτριος, εὐθύς, εὐπρόσιτος, χαρίεις,
τιμῶν μοναχοὺς καὶ θεοῦ θυηπόλους.
ἴσα προσεῖχε δ' ἀγγέλοις ἀρχιθύταις,
ἐκκλησίας ἔθιμα μὴ παρατρέπων,
ἀποστολικῶν δογμάτων ἐπαινέτης
καὶ τῶν πατρικῶν καὶ νόμων τῶν κειμένων,
γνώμην μεγαλόψυχον ἐν καλοῖς ἔχων.
δεῖγμά τι σαφὲς τῆς μεγαλοδωρίας,
μονὴ περιθρύλητος ἡ τῶν Σωσάνδρων,
ἢ μᾶλλον εἰπεῖν θαῦμα τῆς οἰκουμένης.
πλὴν εἶχε μικρὸν συσκιάζον βραχέως
τῶν ἀρετῶν ἥλιον αὐτοῦ τι νέφος·
ἥττητο βραχὺ τῆς ἐρωτοληψίας.
Ὑπῆρχεν αὐτῷ καὶ σύζυγος ὀλβία,
Εἰρήνη λαμπρά, βασιλισσῶν τὸ κλέος,
μερὶς ἀγαθὴ καὶ φύσις ἐξαισία,
βοηθὸς ἀνθάμιλλος εἰς τὰ πρακτέα,
ἀνδρεία γυνὴ καὶ θεὸν φοβουμένη,
σεμνή, μεγαλόψυχος, ἄλλη Δεβώρα,
οὐχ ἧττον ἀνδρὸς διέπουσα τὸ κράτος
καὶ συνδιαφέρουσα τῷδε φροντίδας,
πανευλαβής τε κοσμία, ξένη φύσις,
κέρας Ἀμαλθείας τε σαφῶς ὡς λόγος·

imperio prudentia, voce, manu, et Martis opere, (7875) quas vel Latini subditas sibi fecerant, vel alii contra imperium rebelles perfidi; mitem comemque indolem prae se ferens, modestus, aditu facilis, liberalis, monachorum reverens et sacerdotum, (7880) episcopos angelorum instar habens, nihil in ecclesiasticis immutans moribus, apostolicorum dogmatum laudator statutarumque a patribus regularum; ingenti ad res praeclaras instructus animo, (7885) cuius demonstrat liberalitatem martyrum salutarium coenobium nobile, quod mundi dicitur merito miraculum. sed enim brevis quaedam interdum nebula virtutum eius solem infuscabat; (7890) amoris vincebatur quandoque illecebris.

Erat ipsi et splendida tori socia. Irene, decus inclytum reginarum, pars optima coniugii, eximia indoles, ad res gerendas aemula auxiliatrix, (7895) virilis mulier animi, dei reverens, magnanima, pudica, novella Debora, aeque cum viro publicam rem gubernans, gravesque cum illo regni curas dividens, femina pientissima, morata admodum,

ἧς ἔργον ἀμήχανον εἰς κάλλους λόγον
εὐτεχνίας τε μαρμάρων ποικιλίας
ὁ προδρόμου κάλλιστος ἐν Προύσῃ δόμος,
ὃν εἰς σεμνεῖον καθίδρυσεν ἐνθέως
μονοτρόπων εὖ καὶ λατρευτῶν κυρίου.
αὕτη λόγων ἔστεργε πατέρας μάλα,
μονοτρόπους αὖ καὶ θεοῦ θυηπόλους,
καὶ τῶν πενήτων ἦν χορηγέτις ξένη.
Τῷδ' οὐκ ἀνεκτὸν ἦν βλέπειν στεφηφόρῳ
τοὺς Ῥωμαϊκοὺς εὐπεριγράπτους ὅρους
τὴν ἄμπελόν τε τῆς ὅλης κραταρχίας
συσὶ καθάπερ Ἰταλοῖς λωβουμένην·
ὅθεν πεποιθὼς συντρίβοντι τὰς μάχας
καὶ νικοποιῷ πανσθενουργῷ δεσπότῃ
μάχην συνάπτει Λατίνοις φρικαλέαν
ἐν Ποιμανηνοῦ χωρίοις κεκλημένου,
οὗ ταγματάρχῃ τῶν ἄνω στρατευμάτων
νεὼς ἀνεῖται Μιχαὴλ πρωταγγέλῳ.
ἡγοῦντο τοίνυν στρατιᾶς μὲν Αὐσόνων
ἄλλοι τε πολλοὶ καὶ βασιλεύς, ἐμπρέπων
πᾶσιν ἀρίστοις ὡς ἐν ἡρώων ἴλαις
τὸ πρὶν Ἀχιλλεύς, ἀπολάμπων τοῖς ὅπλοις
καὶ ταῖς κατ' ἐχθρῶν ἀναδούμενος νίκαις·
τοῦ Λατινικοῦ δ' ἀναριθμήτου στίφους
ἄλλοι τε πάλιν καὶ δυὰς ὁμαιμόνων
Θεοδώρου Λάσκαρι τοῦ βασιλέως,
οἳ πρὶν ἀποδράσαντες ἐκ βασιλέως

(7900) atque Amaltheae verum, ut aiunt, cornu. huius opus mirum et pulcherrimum arte simul et marmorum varietate Prusaea in urbe praecursoris templum; quod sanctuarium tradidit incolendum (7905) a se fundatum monachis deique famulis. ipsi placebant docti apprime homines, monachi quoque et dei sacerdotes; et sublevabat opibus laute egenos.

At vero Caesar aegro ferebat animo (7910) Romanos brevi linea conclusos fines atque universi vineam imperii ab Italis vastatam tamquam suibus. quare confisus proeliorum arbitro, victorioso omnipotenti domino, (7915) pugnam cum Latinis commisit asperam in Poemaneni oppidi territorio, ubi caelestium ordinum tribuno templum consurgit Michaëli archangelo. Romanum ergo ducebant exercitum (7920) cum alii multi tum Caesar, praecellens fortibus cunctis, tamquam in heroicis Achilles quondam splendidus ordinibus, victoriarum gloria clarissimus. Latinum vero innumerum exercitum (7925) ducebant, praeter alios, fratres duo Lascareos Theodori regnantis nuper, qui a Caesare

τῷ τῶν Ἰταλῶν ὑπεκλίνθησαν κράτει,
καὶ τηνικαῦτα κατὰ Ῥωμαίων σφίσι
καὶ συνεμάχουν καὶ συνεκρότουν μάχην.
καὶ συρραγείσης ἐξ ἑκατέρου μάχης
νίκην ἀπηνέγκατο Ῥωμαίων ἄναξ,
κατὰ κράτος δ' ἥττηντο Λατῖνοι πάλιν.
ἔνθα βασιλεὺς ὤπτο ῥηγνύων τρέπων
ἐναντίων φάλαγγας ἐνθέῳ σθένει,
πᾶσι κελεύων, ἐμπιπλῶν προθυμίας.
ἔνοπλος, ἱππότης δὲ λογχίτης ἅμα,
ἄνω κάτω θέων τε καὶ περιθέων,
ἔβαλλεν ἐχθροὺς τῷ δόρατι καιρίαν,
αὐτὸς δι' αὑτοῦ τὴν μάχην καταρτύων·
καὶ σὺν ὀλίγοις, ὡς Γεδεών τις νέος,
ἀλλοθρόων ἥττησε τὰς μυριάδας,
οὓς μὲν παρανάλωμα μαχαίρας δράσας,
οὓς δ' αἰχμαλώτους ἀπαγαγὼν δεσμίους.
ἑλὼν δὲ τυφλοῖ καὶ Λασκαρίους τότε.
τουτὶ τροπαιούχημα Λατίνων θράσος
ὀφρύν τε καὶ φύσημα συνέστειλέ πως,
ὕψωσε Ῥωμαίων δὲ τὴν κραταρχίαν
κἀπὶ μέγ' ἀνήγαγε τῆς εὐτολμίας.
Ἄλλη δὲ πάλιν Λατινική τις φάλαγξ
Σέρρας κατατρέχουσα τὴν πόλιν τότε,
ὄλεθρον ἧτταν φυλετῶν γνοῦσα, τάχος
ἐκεῖθεν ἀπέδρασε σὺν ἀκοσμίᾳ,

7948 τὴν om V

Ioanne deficientes ad Italorum partes se contulerant; nunc conspirantes cum hostili exercitu (7930) adversus nos in aciem prodierant. ergo exercitibus utrimque concurrentibus Caesar Romanus rettulit victoriam, et Latinorum sunt prostratae vires. tunc cernebatur Caesar perrumpens fugans (7935) hostium phalanges robore divino, cunctos imperio regens, audacia complens, vectus equo cataphractus et hastam tenens, susque deque currens, ordines perlustrans, hostes letifera lancea percutiens, (7940) ipsemet manu propria bellum gerens, paucisque comitantibus, ceu novus Gedeo, hostium magnas proterens catervas, quos partim gladio messuit in acie, partim constrictos vinculis abduxit. (7945) Lascares quoque captos excaecavit. atque hoc tropaeum contudit audaciam superbosque spiritus Latinorum, nostratium autem extulit fortunam, et confidentiam plurimam restituit.

(7950) Tunc alius quoque exercitus Latinus, qui Serras bello quatiebat urbem, clade suorum cognita celeriter illinc tumultuaria recessit fuga,

καλῆς στρατιᾶς Ἀγγέλου Θεοδώρου,
ὃν φθάσας ἱστόρησε τὸ πρόσθεν λόγος,
ἐπίθεσιν δείσασα προσδοκωμένην.
οὗτος γάρ, ὡς ἔφημεν, ἄρξας ἀστέων
Ὀρεστιάδος Σερρῶν Θεσσαλονίκης,
ἄλλων πολιχνίων τε καὶ χώρας ὅσης,
καὶ βασιλικοῖς ὡραϊσθεὶς συμβόλοις,
ἀντίμαχος κράτιστος ἦν τοῖς Λατίνοις,
ἀντίθετος δὲ καὶ κραταρχοῦντ' Αὐσόνων.
οὗτος μὲν αὐτὸν ἠξίου μάλ' ἐνδίκως
τῶν δευτερείων ἀπολαύειν τοῦ κράτους
καὶ τῶν ὑφ' αὑτὸν κυριεύειν ἀστέων·
αὐτὸς δ' ἀπρὶξ ἦν τοῦ στέφους δεδραγμένος.
προυβάλλετ' οὐκοῦν δεσπότας παραλόγως
καὶ σεβαστοκράτορας καὶ δομεστίκους
ὀφφικίων ἄλλα τε καθάπερ κράτωρ.
Ὁ δ' αὐτοκράτωρ ἐκνικήσας, ὡς ἔφην,
τὴν τῶν Ἰταλῶν στρατιὰν κατὰ κράτος,
καὶ καθελὼν σφῶν μεγαλόψυχον τῦφον
ᾕρει πόλεις χώρας τε ταῖς στρατηγίαις,
Λεντιανά τε, Ποιμανηνὸν αὐτίκα,
καὶ Βερβενίκον καὶ Χαρίορον πάλιν.
πηξάμενος δὲ καὶ νεῶν μακρῶν στόλον
παρεῖχε πολλὰ πράγματα τοῖς Λατίνοις,
ἐκ γῆς ἐπιὼν καὶ θαλάσσης πολλάκις,
καὶ σφᾶς σκυλεύων καὶ κακῶς δρῶν ὡς σθένος,

7972 τὸν μεγαλόψυχον V

metuens ne Theodori Angeli, (7955) cuius iam nostra meminit historia, in se ruentem cerneret exercitum. hic enim, ut iam diximus, urbium dominus Serrarum Orestiados Thessalonicae, oppidorumque aliorum cum agris suis, (7960) et iam adsumptis regiis insignibus, Latina proelia egregie sustinebat. sed nostro quoque resistebat Caesari, qui sane patiebatur aequo animo secundum esse Angelum in imperio (7965) suarumque urbium dominum se gerere. sed hic coronam retinebat mordicus, designabatque absurde sebastocratoras despotas et domesticos atque alia huiusmodi nomina dignitatum tamquam Caesar.

(7970) At imperator post victoriam illam quam de Latino rettulit exercitu, compressa hostium tumida superbia, urbes cum territoriis occupavit, Lentiana statim atque Poemanenum, (7975) Charioron deinde et Vervenicum. idem longarum navium classe instructa multam Latinis praebebat molestiam, aggrediens ipsos terra marique saepius, praedas

καὶ τὰς ὑπ' αὐτοὺς παραλαμβάνων πόλεις.
Μάδυτον εἷλε καὶ πόλιν τὴν Καλλίου
σὺν τοῖς πέριξ ἅπασι χωρίοις τόποις.
Ταύταις κρατοῦντος ἐμβραδύνοντος μάχαις
καττύεταί οἱ παρ' Ἀνδρονίκου λόχος
πρωτεξαδέλφου, Νεστόγγου γε τοὐπίκλην,
συνίστορας ἔχοντος ἄνδρας ἐντίμους,
Ἰσάκιον σύναιμον Ταρχανιώτην
καὶ Συναδηνὸν καὶ Φλαμούλιον μέγαν
ἑταιρειάρχην Μακρηνόν, ἄλλο στῖφος·
ὃ γνοὺς βασιλεὺς καὶ πυρὶ δοὺς τὸν στόλον
πρὸς τὰς Ὀχυρὰς τὴν πόλιν ἀποτρέχει,
κἀκεῖ τὸ πρᾶγμα δοὺς ἐτασμῷ καὶ κρίσει
ὑπευθύνους εὕρηκε τοὺς εἰρημένους.
καὶ Νεστόγγου μὲν σύγγονον πρωτεργάτου
καὶ τὸν Μακρηνὸν ἐστέρησεν ὀμμάτων·
καθεῖρξεν ἄλλους· τὸν δ' Ἀνδρόνικον πάλιν
εἱρκτῇ παραδίδωσιν ἐν Μαγνησίᾳ,
ἀφ' ἧς ἀποδρὰς ᾤχετ' εἰς τὴν Περσίδα.
ἐκ τοῦδ' ἑαυτῷ λοιπὸν ὁ στεφηφόρος
φρουροὺς περιέστησε καὶ ξιφηφόρους
πρὸς φυλακὴν σώματος ἢ σωτηρίαν,
ἐλευθερίας τῆς πρὶν ἐκλελησμένος
τῆς θ' ἁπλοϊκῆς βιοτῆς τῆς ἀτέχνου,
ἔχων βοηθὸν καὶ συνεργὸν εἰς τόδε
κοινωνὸν εὐνῆς καὶ βοηθὸν τοῦ βίου,

7987 Acropolita tribuit hoc cognomen Synadeno; at Ephraemius videtur Isacio dare. M. 7991 hoc cognomen v. 7751 singulari numero scribitur. M.

abducens, pro viribus atterens, (7980) urbes illorum armis capiens, quas inter Madytum et Calliupolin cum circumiectis pagis ac territoriis.
Atque in his bellis dum versatur Caesar, ab Andronico patitur insidias, (7985) patruelis filio, Nestongo dicto, qui coniuratos habuit viros nobiles, fratrem Isacium atque Tarchaniotam Synadenum et Phlamulium et Macrinum, hetaeriarcham magnum, aliosque plures. (7990) re cognita imperator, cremata classe, celeri cursu se recepit Ochyras; ubi quaestione de negotio instituta, praedictos culpae reperit affines. quare Nestongum primarii rei fratrem (7995) Macrinumque simul multavit oculis, alios inclusit; Andronicum pariter vinclis Magnesiae custodiendum tradidit, unde is elapsus abiit ad Turcas. ex illo autem tempore imperator (8000) armatis se custodibus circumsepsit ob corporis tutelam atque vitae, omissa iam priore facilitate simplicis moris et procul suspicione. atque ad hoc etiam adiutricem habuit (8005) tori consortem et

τὴν ἀρρενωπὸν λῆμα προσκεκτημένην
ἦθός τε βασίλειον ἐν τοῖς πρακτέοις
Εἰρήνην βασίλισσαν, εἰρήνης δότιν.
    Ἀσύμφορον κρίναντες αὐτοῖς τυγχάνειν
ἱστᾶν Ἰταλοὶ πρὸς βασιλέα μάχας
συνῆλθον αὐτῷ, συμβάσεις δεδρακότες
καὶ παραδόντες ἄστυ Πηγῶν εὐθέως,
ἔπειθ' ὑπεκστάντες δὲ χωρῶν ἀστέων
τῶν πρὸς νότον γε κειμένων κραταρχίᾳ,
τῶν δ' αὖ πρὸς ἄρκτον πλησίον Βυζαντίδος
ἔτι κρατοῦντες σὺν Βιθυνίας τόποις.
καὶ λοιπὸν ὑπῆν ἀνακωχὴ τῆς μάχης.
    Οὕτως ἐχόντων ὡς ἔφην τῶν πραγμάτων,
οἰκήτορες στέλλουσι πρὸς βασιλέα
Ὀρεστιάδος λιπαροῦντας ἱκέτας,
ὡς ἂν σταλείσης στρατιᾶς τούτων πόλις
ἐλευθέρα γένοιτο χειρὸς Λατίνων.
μετὰ στρατιᾶς τοιγαροῦν πέμπει τάχος
Ἰσῆν πρωτοστράτορα σὺν τῷ Καμμύτζῃ,
οἳ τὴν πόλιν φθάσαντες, ἔνδον τειχέων
εὖ προσδεχθέντες, εἰσέδραμον ἀσμένως.
ἐπεὶ δὲ Θεόδωρος Ἀγγέλων γένους
σχεδὸν κατῆρχε Μακεδονίας ὅλης
τῆς γείτονος Θρᾴκης τε σὺν τοῖς ἐν κύκλῳ,
ἄνευ Ροδόπης Ἀχριδοῦ Μελενίκου
(τούτων γὰρ ἦρχε Σθλάβος ὠνομασμένος,
οὗ τὰ κατ' αὐτὸν ἐξερεῖ τάχα λόγος),

vitae subsidium, virili praeditam spiritu reginam atque regali ad res gerendas indole, Irenem, parem nomini, auctorem pacis.

Iam cum Italici cernerent inutile (8010) a se susceptum bellum contra Caesarem, pacis cum ipso foedus pepigerunt; et urbe quidem Pegis excesserunt atque aliis oppidis territoriisque, quotquot ad austrum nobis erant posita, (8015) sed borealem Byzantii viciniam retinuerunt cum Bithyniae partibus. deinceps vero quies a bellis erat.

Hoc rerum statu cives Orestiados mittunt ad Caesarem legationem supplicem, (8020) valde rogantes ut submisso exercitu ipsorum urbem gravi Latinorum ereptam iugo libertati redderet. is ergo cum exercitu statim misit protostratorem Isem et Cammytzem, (8025) qui progressi illuc in urbem facile pronis excepti votis penetrarunt. at Theodorus ille stirpe Angelus cunctae erat prope Macedoniae dominus finitimaeque Thraciae cum viciniis, (8030) Rhodope excepta Achride Melenico: namque his terris imperabat Sthlabus. nunc age res gestas,

ἐπεὶ κατῆρχεν, ἐκ Θεσσαλίας ἄρας
τὴν Ἀδριανοῦ καταλαμβάνει πόλιν,
καὶ τῇσδ' ὑπῆρξεν ἐγκρατὴς συμφωνίᾳ.
ἐξηλάθη γοῦν στρατιὰ βασιλέως
κακῶν ἀπαθής, καὶ τρέχει πρὸς τὴν ἕω.
Οὕτω κατασχὼν Θεόδωρος τὴν πόλιν
ἀεὶ παρεῖχε πράγματα τοῖς Λατίνοις,
τὰς σφῶν σκυλεύων καὶ κατατρέχων πόλεις.
ἐπῆλθε μὲν Βιζύῃ Λατίνων πόλει,
πρὸς δ' αὖ γε Βρύσει χωρίοις θ' ὑπηκόοις,
καὶ πάντα πορθεῖ καὶ σκυλεύει τὰ πέριξ.
ἐπιστρατεύει καὶ μέχρι Βυζαντίδος,
καὶ τοῖς Ἰταλοῖς ἐντίθησι δειλίαν.
οὗτος πρὸς Ἀσὰν τὸν κρατοῦντα Βουλγάρων
σπονδὰς ἔθηκε συμβάσεις τ' ἐνωμότους.
Ἀσὰν δ' ὑπῆρχεν οὗτος υἱὸς Ἀσάνη
τοῦ Βουλγάρων ἄρξαντος ἔμπροσθεν χρόνον·
ὅστις θανόντος τῷδε τοῦ φυτοσπόρου,
καὶ τοῦ Βορίλα Βουλγάρων σχόντος κράτος,
καθάπερ ἱστόρησε φθάσας μοι λόγος,
φυγὰς ἀπέδρα πρὸς Σκύθας παριστρίους·
εἶτα Σκυθικὸν Ῥωσικὸν λαβὼν στῖφος,
ἐπιστρατεύσας τῷ κρατοῦντι Βορίλᾳ
ἀνακαλεῖται τὴν πατρὸς κληρουχίαν,
καὶ κατὰ μάχην συμπλακεὶς τοῦτον τρέπει,
ἑλών τε τυφλοῖ καὶ κραταρχεῖ Βουλγάρων.
πρὸς τόνδε τοίνυν Ἀσάνην Ἰωάννην

Theodori fabor. hic e Thessalia cum armis progrediens ad Hadriani urbem semet contulit, (8035) quam occupavit incolis faventibus. quamobrem inde expulsae regiae copiae in orientem rediere incolumes.

Sic Theodorus urbe hac potitus numquam Latinis non erat molestus, (8040) horum concursans urbes et depraedans. is Byziam quoque Latinorum urbem insedit atque Brysin pagosque subditos, cunctamque late diripuit viciniam. tandem Byzantii moenia progressus usque (8045) magnum Italicis intulit timorem. hic cum Asane Bulgarorum rege iuratum foedus amicitiae pepigit. erat hic autem Asan Asanis filius eius qui olim imperabat Bulgaris; (8050) isque excedente vita parente suo, Bulgaricumque regnum rapiente Borila, veluti nostra historia iam retro dixit, fuga trans Istrum in Scythiam evaserat. mox comitante Scythico Rossoque milite (8055) dominatori Borilae bellum inferens recuperavit patrium imperium: aemulum enim acie profligatum, captum caecavit, ipse regnum tenuit. cum hoc, ut dixi, Asane Ioanne

ἄναξ ἐπακτὸς Θεόδωρος, ὡς ἔφην,
εἰρηνικὰς θεὶς συμβάσεις μεθ᾽ ὅρκίων
καὶ κῆδος ἕδρα, τοῦδε παῖδα Μαρίαν
τὴν ἐκ νοθείας προσλαβὼν νύμφην φίλην
εἰς αὐτάδελφον τὸν Μανουὴλ ἐννόμως.
μετὰ δὲ μικρὸν συμβάσεις διαλύσας
καὶ συναλίσας στρατιᾶς πλεῖστον στῖφος
ἐπεστράτευσε Βουλγάρων ἀρχηγέτῃ·
καὶ συρραγείσης ἐξ ἑκατέρων μάχης
ἧτταν ὑπέστη Θεόδωρος ἐσχάτην,
αὐτοῦ στρατιᾶς ἀκλεῶς λελυμένης.
καὶ συσχεθεὶς αἴσχιστα Μυσοῖς βαρβάροις
πρὸς Ἀσὰν αἰχμάλωτος ἀπήχθη τάλας
μετὰ λογάδων προσγενῶν ἐριτίμων
ἄλλου τε πολλοῦ μυριαρίθμου στίφους.
ἀλλ᾽ Ἀσάνης μὲν Θεόδωρον κατέχων
πολλῆς θεραπείας τε τιμῆς ἠξίου,
πλῆθος δ᾽ ἁλωτὸν ἐκλύει πρὸς πατρίδας
ποσὶν ἐλευθέροις τε καὶ δίχα φόβου
ἐπαναδραμεῖν ἐκ φιλανθρώπου τρόπου,
τάχα δ᾽ ἑαυτῷ καὶ τιθεὶς τὸ συμφέρον·
μετὰ γὰρ ἀπόλυσιν αὐτῶν εὐθέως
μετὰ στρατιᾶς ἐξιὼν πρὸς τὰς πόλεις
ᾕρει τε ταύτας εὐχερῶς ἄνευ μάχης,
καὶ τοῖς ὑπ᾽ αὐτὸν συνέταττε φρουρίοις.
τὴν Ἀδριανοῦ παραλαμβάνει πόλιν,
μεθ᾽ ἣν Διδυμότειχον ἀσφαλῆ πόλιν,

(8060) Caesareae dignitatis usurpator foedus pacificum statuit Theodorus, tum etiam affinitatem: nam Mariam istius notham filiam iustis nuptiis germano fratri Manueli iunxit. (8065) sed enim paulo post contempto foedere, contractoque plurimo copiarum numero, Bulgaro regnatori bellum intulit. mox concurrentibus utrimque viribus extremam cladem Theodorus pertulit, (8070) eius dilapso turpiter exercitu. ipse indecore captus a Moesis barbaris infelix ad Asanem vinctus ducitur cum selectis nobilibus et praecipuis et cum ingenti vulgi multitudine. (8075) verum Asanes captum Theodorum benignitate multa et honore habuit, captivumque vulgus militum in patrias suas libero pede solutumque metu sivit reverti ob clementem suum animum; (8080) quin et fortasse ob utilitatem suam. nam post emissos vinculis captivos, statim cum proprio exercitu percurrit urbes, easque obtinuit facile et sine proelio, suaeque adiunxit dicionis oppidis. (8085) Hadrianopolim occupavit urbem, munitumque oppidum Didymotichum, deinde Thraciam

ἔπειτα Θρᾴκην Μακεδονίαν ὅλην,
Βολερὸν εἷλε καὶ Ξάνθειαν καὶ Σέρρας,
ἄστυ Πριλάπου, Πελαγονίας πλάτη
σὺν τοῖς πέριξ ἅπασι χωρίοις τόποις.
αἱρεῖ τε Πρέσπαν Δεάβολιν Ἀχρίδα,
Ἀλβανὸν ἅπαν, Ἰλλυριῶν τὸ κλίμα,
καὶ τῆς Βλαχίας τοὺς ὅρους κατατρέχει.
ἔπειτ' ἐπανέζευξε πρὸς τὴν πατρίδα,
καὶ φρουρίων μέν τινα Ῥωμαίοις νέμει,
ἄλλα δ' ἀφῆκεν ὑφ' ἑαυτὸν τυγχάνειν.
ἐντεῦθεν οὖν ἔδοξεν οὗτος Ἀσάνης
θαυμαστὸς ἀνὴρ μακαριστὸς τοῖς ὅλοις.
ἦν γὰρ ἀληθῶς συμπαθὴς πρᾶος πάνυ·
οὐ γὰρ ἐχρῆτο καθ' ὑπηκόων φόνοις,
οὐδ' εἶχεν ὠμότητα τὴν ἐν βαρβάροις
σύμφυτον οἷον συμπεφυκυῖαν γένει,
ἢ Ῥωμαϊκοῖς αἵμασιν ἐνετρύφα,
ὡς πρὶν κρατάρχαι Βουλγάρων κακοτρόπως,
ἀλλ' ἦν ἀγαθὸς καὶ φιλάνθρωπος φύσει.
τῷ τοι ποθεινὸς Αὔσοσιν ἦν Βουλγάροις.
Φρουρούμενος δὲ Θεόδωρος ὡς ἔφην,
φιλοφροσύνης τ' ἀπολαύων ἐν χρόνῳ,
ἐπεὶ τυρεύειν μηχανὰς ἐφωράθη,
τοὺς ὀμμάτων ἔσβεστο λύχνους ἐνδίκως.
αὐτοῦ δ' ἀδελφὸς Μανουὴλ ὁ δεσπότης,
κατὰ μάχην ὧν καὶ φυγῇ κεχρημένος,
Θεσσαλονίκην καταλαμβάνει πόλιν,

cunctamque Macedoniam. Bolerum quoque cepit Xanthiam Serras Prilapum, latos Pelagoniae campos, (8090) cum circumiectis omnibus castellis. cepit et Prespam Deabolin Achrin, Albaniam cunctam, Illyricam provinciam. Valachiae quoque concursavit fines. postremo in patriam reducem tulit pedem. (8095) oppida vero partim nobis concessit, partim in sua retinuit potestate. ob has res gestas visus est Asanes vir admirandus, cunctis laudabilis: clemens vere erat mitisque admodum, (8100) nec subditorum caedibus indulgebat; neque saevitia barbaris ingenita stirpis velut propria hic laborabat; nec rursus nostro sanguine gaudebat, velut priores impii reges Bulgari, (8105) sed bono erat clementique ingenio, et nostris aeque ac Bulgaris gratissimus.

Captivus vero, ut dixi, Theodorus, et iam expertus diu benivolentiam, postea moliri fraudes deprehensus (8110) meritam poenam excaecatus pertulit. eius autem frater Manuel despota, praedicto e proelio

καὶ τῆσδ᾽ ἐκυρίευσε πραγμάτων δίχα
σὺν τοῖς γε λοιποῖς ἀστέων καὶ χωρίων
τοῖς κατὰ δύσιν ἐγκαταλελειμμένοις.
οὗτος καλεῖσθαι δεσπότης ᾑρημένος
ἐχρῆτο μᾶλλον βασιλικοῖς συμβόλοις,
ἐν ὑπογραφαῖς διὰ κοκκίνου γράφων.
πρὸς ὃν τις ἀπέσκωψεν εὐστόχως μάλα,
ὡς σοὶ προσᾴδειν ἁρμόδιον τυγχάνει
σὲ τὸν βασιλέα τε δεσπότην ἅμα.
Καὶ Σθλάβος ἀνήρ, οὗπερ ἐμνήσθην ἄνω,
ἐκ Βουλγάρων φύς, προσγενὴς ὢν Ἀσάνῃ,
λαβὼν κατεῖχε φρούριον Μελενίκου,
καὶ τῆς Ῥοδόπης ἦρχε σὺν τοῖς φρουρίοις
καὶ τοῖς ἐν αὐτῇ χωρίοις ἀραρότως,
καὶ δεσποτικῆς ἀξίας γε τυγχάνει
πρὸς τοῦ κρατοῦντος Ἐρρῆ τῆς Κωνσταντίνου,
οὗ καὶ συνήφθη τῇ θυγατρὶ τῇ νόθῳ.
ἐνίοθ᾽ οὗτος συνεμάχει Λατίνοις,
ἐνίοτ᾽ αὖθις Βουλγάροις τοῖς φυλέταις,
καὶ Θεοδώρῳ τῷ Κομνηνῷ πολλάκις.
τίνι δ᾽ ἁπάντων οὐ συνήρχετ᾽ εἰς λόγον,
ἀλλοπρόσαλλος εὐρίπιστος τυγχάνων;
Τοῦ δὲ κρατοῦντος Ἰταλῶν τοῦ Ῥομπέρτου
βίον καταστρέψαντος ἐν Βοιωτίᾳ,
σφῶν Ἰωάννης παραλαμβάνει κράτος,
ἔξωρος ἀνήρ, τῆς Σιὼν ῥὴξ τυγχάνων·
ὃς καὶ μάχην ἵστησι πρὸς βασιλέα,

fuga se subducens, Thessalonicam urbem cursu petiit, eiusque nullo resistente dominum (8115) se gessit, atque urbium ceterarum, quae ad occidentem reliquae sibi fuerant. hic cum vocari despota voluisset, regias tamen usurpabat tesseras, rubrica utens in subscriptionibus. (8120) in quem iocatus est acute admodum nescio quis dicens "congruit vocari, ut est in psalmo, te regem et despotam."

Ille etiam Sthlabus, cuius antea memini, Bulgarus gente Asanisque affinis, (8125) insederat praesidium Melenici et Rhodopem tenebat cum castellis eiusque montis pagis dominio firmo; despotae quoque acceperat dignitatem a Byzantino imperatore Henrico, (8130) cuius et notam filiam habebat coniugem. hic nunc Latinas sequebatur partes, nunc Bulgaris favebat popularibus, Comneno quoque saepe Theodoro: nemini vero firmam servabat fidem, (8135) homo desertor atque versipellis.

Iam cum Robertus Italus imperator vivendi finem in Boeotia fecisset, Byzantii sceptrum Ioannes excepit, decrepitus vir, qui Sionis rex erat. (8140) atque hic nostro Caesari bellum intulit in orientem na-

μετά γε νηῶν ἐκπεπλευκὼς εἰς ἕω
καὶ τῆς Λαμψάκου κατάρας νεωρίῳ.
πλέον δὲ μηδὲν δεδρακὼς ὑποστρέφει·
ὁ γὰρ βασιλεὺς Αὐσόνων Ἰωάννης
γενναῖος ἀντίμαχος ἦν ἀντιστάτης,
εἰ καὶ καθυπέστρεψεν ἄρτι τῆς μάχης
τῆς πρὸς Καίσαρα Γαβαλᾶν ἀποστάτην,
εἰ καὶ τριήρεις καὶ δυνάμεις αὖ πάλιν
Παλαιολόγῳ παραδοὺς Ἀνδρονίκῳ,
ὃν εἶχε δομέστικον μέγαν τῷ τότε,
πρὸς τὴν Ῥόδον πέπομφε κατ' ἀποστάτου.
ἀλλ' οὖν μετρίους παραλαβὼν ὁπλίτας
ὅπλοις ἀπεῖργεν ἐκδρομὰς τοῖς Λατίνοις.
καὶ τὰ κατὰ μάχην δὲ τὴν ἀποστάτου
αἴσιον ἔσχε Παλαιολόγῳ πέρας,
καὶ κατὰ νοῦν τείνοντα τοῦ βασιλέως.
Τοῦ Λατινάρχου δ' ἐκλελοιπότος βίον
κληροῦχος ἀρχῆς Βαλδουῖνος γίνεται,
ἤπιος ἀνήρ, σωφρονικός, χαρίεις.
Ἄναξ δὲ τιθεὶς τοῖς ὑπηκόοις σθένος
καὶ τοῖς ὑπ' αὐτὸν ἄστεσι καὶ χωρίοις
εἰρηνικὴν σύναρσιν εἴτε καὶ πλάτος,
ἐναντίοις δὲ συστολὴν καὶ δειλίαν,
κῆδός τε κατήλλαξε μνηστείαν θ' ἅμα
πρὸς τὸν κρατοῦντα Βουλγάρων τὸν Ἀσάνην,
καὶ πιστὰ συντέθεικεν ὅρκια πάλιν,
σπονδὰς ἐνωμότους καὶ συμφωνίας,

8167 *τε καί?*

vibus directis atque occupato Lampsaci navali. verum nil ultra aggressus retro cessit. Ioannes enim imperator noster (8145) validus erat obex et adversarius. qui quamquam bello vix perfunctus fuerat adversus Gabalam Caesarem rebellem, et quamquam naves etiam cum militibus Andronico traditas Palaeologo, (8150) qui magnus illi tunc erat domesticus, rebellis causa Rhodum amandaverat, attamen paucis stipatus militibus armis Latinas incursiones reppulit. insuper pugnam adversus rebellem (8155) prospero eventu gessit Palaeologus et ex sententia Caesaris Ioannis.

Imperatore Latinorum mortuo heres imperium Balduinus adiit, vir mitis ac modestus et gratiosus.

(8160) At Caesar noster subditorum auctis viribus, et securae pacis munere per cuncta imperii oppida florente, perterrefactis hostibus et repressis, affinitatem quoque quaesitis nuptiis (8165) cum Bulgarorum rege Asane iunxit, iuratamque fidem rursus obtulit et firmas ami-

ὡς, εἰ παρείκοι, συγκροτοῖτο προσφόρως
καὶ συμμαχοῖτο πρὸς μάχας ἐναντίων,
καὶ πάλιν εἰ δέοιτο, χειρὸς Αὐσόνων,
καταπολαύοι Βουλγάρων ἀρχηγέτης.
τούτων πραχθέντων ὅνπερ εἰρήκειν τρόπον,
συνέρχεται δὴ πρὸς πόλιν τὴν Καλλίου
μετὰ συνεύνου καὶ θυγατρὸς Ἑλένης
Ἀσὰν βασιλεῖ καὶ βασιλίδι τότε,
καὶ συντελοῦσι συνάφειαν υἱέων,
Θεοδώρου Λάσκαρι συνεζευγμένου
Ἀσὰν θυγατρὶ κατὰ νόμους Ἑλένῃ.
ἐπευλόγει δὲ τοὺς γάμους ἀρχιθύτης
θεῖος Γερμανός, συμπαρὼν τελουμένοις,
τῷ τηνικαῦτα ποιμενάρχης Τρινόβου,
τῷ Βουλγαρίας ὑποκείμενος θρόνῳ.
οὐκ οἶδ' ὅπως κέκριτο συνόδου κρίσει
θεσπίσματί τε τοῦ κρατοῦντος Αὐσόνων
τιμὴν πατριάρχου γε καὶ κλῆσιν ἔχειν,
κήδους τινόντων τῶν κρατούντων οἱ χάριν.
ἐπεὶ δ' ἐπεπλήρωτο τὰ κατὰ γάμους,
βασιλὶς Εἰρήνη μὲν ἅμα νυμφίοις
οἴκαδ' ἀπῄει κατὰ τοὺς ἕω τόπους,
πρὸς Μυσίαν δ' αὖ ἡ βασιλὶς Βουλγάρων·
δυὰς δ' ἀνάκτων σὺν δυνάμεσι πάλιν
Μακεδονίαν κατέδραμε καὶ Θρᾴκην,

8182 rectius Acropolita ait Κωνσταντινουπόλεως. neque certe Ioannes Graecus imperator decretum condidisset de episcoporum Bulgarorum inter se praerogativis. M.

citiae condiciones, ut si utilem operam conferret sibi Bulgarus et bellorum socius fieret, (8170) idem vicissim, si Romano auxilio forte indigeret, frustra non requireret. his quemadmodum dixi constitutis, profectus est Asanes Calliupolim cum tori socia filiaque Helena (8175) ad Caesarem reginamque praesentem ibi, et liberorum celebrarunt nuptias: Asanis enim filia datur Helena Lascari Theodoro in matrimonium; benedixitque nuptiis patriarcha (8180) rei gestae praesens Germanus venerabilis. tempore illo Ternobi archipraesul, metropolitae Bulgaro antea subditus, patriarchalem titulum obtinuit nescio quo sacrae synodi iudicio (8185) decretoque simul nostri Caesaris, qui affinitati tribuit hanc regiam gratiam. post celebratos nuptiarum ritus regina Irene cum novitiis sponsis in orientem redux domum petiit, (8190) et Bulgara regina in Moesiam rediit. at reges ambo stipati exercitibus Thraciam Macedoniamque percurrebant, et Latina castella urbesque captas absque

καὶ Λατινικὰ χωρία τε καὶ πόλεις
αὐτοῖς διεῖλον καὶ κατέσχον ἀμάχως.
τὰ Μάδυτα μὲν καὶ Χερρονήσου πλάκα,
πόλιν Καλλίου σὺν ὄρει τε τοῦ Γάνου
μάχῃ παρεστήσατο προφθὰς ὁ κράτωρ,
οὗ καὶ πόλιν ἔκτισε πρὸς πόδας ὄρους·
ἀρχῆς δ' ὅρους ἔπηξεν ἄχρι Μαρίτζης.
τὰ δ' αὖ κατ' ἄρκτον προσνενευκότα μέρη
κληρουχίαν εἴληφε Βουλγάρων ἄναξ.
καὶ μέχρι δ' αὐτῶν τειχέων Βυζαντίδος
ἄνακτες ἄμφω προσπελάζουσιν ὅπλοις,
καὶ πτοίαν οἵαν ἐντιθοῦσι Λατίνοις.
ἑκάτερος δ' ἔπειτα τῶν βασιλέων
χειμῶνος ὑπέστρεψεν εἰς κραταρχίαν.
Ὁ μέν γε Θεόδωρος ἄνακτος γόνος,
ἄνηβος ὢν τις καὶ νεώτατος φύσει,
εἰ καὶ συνῄει μηδαμῶς γε τῇ κόρῃ,
πλὴν ἀλλ' ἀνῆκτο σὺν Ἑλένῃ συζύγῳ
πρὸς βασιλίδος εὐμενῶς φιλοφρόνως.
μεταμεληθεὶς δ', ὡς ἐνῆν ἀπεικάσαι,
ἐφ' οἷς Ἀσὰν δέδρακε πρὸς βασιλέα,
στείλας πρὸς αὐτὸν ἐκλιπαρεῖ σὺν δόλῳ
αὐτῷ σταλῆναι τὴν φίλην θυγατέρα
προσρήσεώς τε καὶ φίλης θέας χάριν
ἐν Ἀδριανοῦ τῇ πόλει σκηνουμένῳ
μετὰ στρατιᾶς καὶ συνεύνου φιλτάτης,

8195 *τὰ Μάδυτα*] hoc nomen v. 7981 effertur singulari numero. M.

labore bellico dividebant. (8195) Madyta quidem et tractum Chersonesi, Ganum etiam montem et Calliupolim antea noster bello Caesar ceperat. oppidum quoque ad montis pedem struxerat, finesque imperii protulit Maritzam usque. (8200) verum regiones reliquas ad Boream sitas rex Bulgarorum sibi vindicavit. quin adeo Byzantina usque ad moenia cum armis ambo reges appropinquarunt, incutientes mirum Latinis metum. (8205) verum instante hieme rex uterque in suum reversus est deinde imperium.

Iam Theodorus imperatoris filius, impubes adhuc teneraque aetate, quamquam puellae nondum idoneus erat, (8210) diversabatur tamen cum sponsa Helena apud reginam matrem amantissimam. sed enim Asan, ut credere par erat, gestae cum nostro Caesare rei paenitens, misso legato precibus fallacibus (8215) ad se reduci petiit filiam suam, ut eius alloquio et visu frueretur, quoad versaretur in Hadriani urbe

μετὰ δ' ἐπανήκειν γε πρὸς τὸν γαμέτην.
σταλεῖσαν οὖκοῦν προσλαβὼν φυτοσπόρος
οὔκουν μεθῆκε καὶ δακρύουσαν μάλα
ἐπαναδραμεῖν, ὡς ὑπόσχεσις, πάλιν·
ἀλλὰ σὺν αὐτῇ πρὸς Μυσοὺς ἀποτρέχει,
μεθεὶς ὀπαδοὺς ἰέναι παλινδρόμους.
Εἶτα Σκυθικὸν μυριάριθμον στῖφος
Ἴστρον περᾶσαν σὺν γυναιξὶ καὶ τέκνοις,
ἄκοντος Ἀσάν, δι' Αἵμου καὶ Ῥοδόπης
χύδην ἐπῆλθε Μακεδονίας τόποις,
καὶ τήνδ' ἐλῄσαντο σὺν πάσῃ Θρᾴκῃ,
εἰς Αἶνον αὐτὴν πεφθακότες τὴν πόλιν
καὶ τὰ πρὸς ἑσπέραν γε νεύοντα μέρη·
ὧν οἱ μὲν εἶχον τὰς νομὰς ἐλευθέρας
κατὰ ποταμὸν Ἕβρον ὠνομασμένον,
ὃς ἐκβολὰς τίθησιν εἰς Ἀμφιτρίτην·
οἱ δ' αὖ ἐνηυλίζοντο τοῦδε χωρίοις
κἀν τοῖς πεδίοις καὶ τόποις παραλίοις,
ἐφ' ὧν ἐδῄουν ἐσκύλευον τὰ πέριξ,
αἱροῦντες ἄστη, πυρπολοῦντες χωρία,
καὶ πάντα δρῶντες Σκυθικὴν ἐρημίαν.
τοὺς δ' αἰχμαλώτους εἰς πόλεις τὰς Αὐσόνων
πωλοῦντες ἦγον ἀργύρου καὶ χρυσίου.
τὸ δ' Ἰταλῶν ἔκσπονδον ἀναιδὲς γένος,
κατ' Αὐσόνων μῆνίν τε καὶ χόλον τρέφον

8233 κατὰ] καὶ V εὖρον V 8237 ἀφ'?

coniuge cum dilecta et cum exercitu, ad sponsum suum postea reversuram. (8220) igitur missam filiam parens perfidus haud iam remisit, lacrimantem licet, neque promissum reditum concessit; verum cum ipsa abiit in Moesiam; comites tantum retro iussit cedere.

(8225) Mox infinita Scytharum multitudo Istro traiecto cum feminis ac liberis, invito Asane, per Aemum atque Rhodopen effusa est in agrum Macedoniae, cum universa Thracia hunc depopulans; (8230) Aenumque usque pervenerunt urbem atque ad occiduas item partes Scythae. quorum alii liberis vagabantur tribubus qua se flumen Hebrus in mare exonerat; alii occupatis villulis utrimque (8235) in huius ora stationem fixerant, et per planitiem locaque maritima; unde ruentes praedis indulgebant urbes capiendo, pagos exurendo, Scythica ubique facta solitudine. (8240) denique captivam turbam in Graecis urbibus hastae suppositam pecunia commutabant. at Italorum impudens gens foedifraga, ingenti adversus nostros ira exaestuans ob inflictas a Cae-

ἐφ᾽ οἷς κακῶς πέπονθεν ἐκ βασιλέως,
συνῆλθεν Ἀσὰν καὶ Σκύθαις εἰς συμβάσεις,
καὶ σὺν στρατιᾷ Σκυθικῇ καὶ Βουλγάρων
ἐπ᾽ αὐτὸν ὁρμᾷ τὸν κρατάρχην Αὐσόνων.
ὡς δ᾽ ἧκον ἔνθ᾽ ἔρυμα Τζουρουλοῦ πέλει,
περιλαβόντες μηχαναῖς πάσαις τόδε
μάχην ἐπ᾽ αὐτὸ καρτερὰν συνεκρότουν,
τόξοις λίθοις βάλλοντες ἐξ ἐναντίας,
καὶ μηχαναῖς τύπτοντες αὐτοῦ τὰς βάρεις,
καὶ πάντα δρῶντες ὥστε πορθῆσαι τόδε.
ἀλλ᾽ ἦσαν αὐτοῖς μηχαναὶ τόξα βέλη
ἕωλα πάντα καὶ σαφὴς ληρῳδία·
ὁ γὰρ ἔσω φρούραρχος ἢ στρατηγέτης
Νικηφόρος κλήσει τε καὶ τρόποις πλέον,
Ταρχανειωτῶν ἐκ γένους κατηγμένος,
ὁ τοῦ μεγάλου δομεστίκου νυμφίος,
Παλαιολόγων ἐκ φυλῆς Ἀνδρονίκου,
εἰς πρωτόπαιδα Μαρίαν θυγατέρα,
τῆς βασιλείου τραπέζης ὑπηρέτης,
μετὰ δὲ δομέστικος ὀφθείς τις μέγας,
ἀνδρεῖος ἀνὴρ συνετὸς καὶ γεννάδας,
θεοῦ θεράπων νουνεχής θ᾽ ὑπηρέτης,
ταῖς εὐτυχίαις καὶ στρατηγίαις μέγας·
ὃς ταῖς κατ᾽ ἐχθρῶν ἀναδούμενος νίκαις
στεῤῥός τις ἀντίμαχος ἦν ἀντιστάταις,
ἀποτρέπων φάλαγγας αὐτῶν εὐψύχως
θεοῦ σθένει τε καὶ στρατηγίας τέχνῃ.

sare clades varias, (8245) cum Scythis et Asane foedus pepigit, et sic cum armis Scythicis et Bulgaricis contra Romanum Caesarem commovit bellum. ergo accesserunt ad Tzuruli arcem, atque hanc machinis undique cinctam (8250) summis oppugnabant connisi viribus, iaculis ex adverso saxisque iactis; atque tormentis muros suffodientes nihil excidio idoneum omittebant. verum omnes machinae arcus tela (8255) in irritum lusumque recidebant. erat enim arcis praeses duxque belli Nicephorus et nomine et factis victor, Tarchaniotarum genitus familia, qui domestici magni gener erat, (8260) Andronici gente Palaeologi, cuius maiorem filiam Mariam duxerat. idem et regiae mensae pincerna erat; mox et magnus domesticus fuit creatus, vir sane fortis prudens et magnanimus, (8265) admodum religiosus dei famulus, fortuna et rebus bellicis praeclarus. hic ob relatas nobiles victorias hostibus erat firmus adversarius, quorum phalanges repellebat fortiter, (8270) divino auxilio fretus et arte bellica.

Οὕτως ἐχόντων ὡς ἔφην τῶν πραγμάτων,
Ἀσὰν τόλυπεύοντι τὰ κατὰ μάχην
ἀγγέλλεται μήνυμα μεστὸν πικρίας,
ὡς σύζυγός τε καὶ σὺν αὐτῇ παιδίον
καὶ Τρινόβου πρόεδρος αὐτίκα μάλα
τεθνᾶσιν ἤδη, τὸν βίον λελοιπότες.
ὡς οὖν ταῦτ᾿ ἠνώτιστο, λύσας τὴν μάχην
εὐθὺς ἐπανέζευξε πρὸς τὴν Μυσίαν,
πυρὶ παραδοὺς τειχέων καθαιρέσεις.
μόνον δὲ φῦλον Ἰταλῶν λελειμμένον,
καὶ τοῦτ᾿ ἐπανέζευξε πρὸς Βυζαντίδα,
ἄστυ λελοιπὸς ἀσινὲς βλάβης δίχα.
Ἀσὰν δὲ συνεὶς συμφορᾶς τὴν αἰτίαν,
ὡς ἔκτισις πέφυκε τῆς ἐφορκίας,
πρεσβεύεται τάχιστα πρὸς βασιλέα,
ἀνανεῶν κῆδός τε καὶ συμβιβάσεις,
ἃ δέδρακε πρίν, ἠθέτησε δ᾿ ὑστέρως.
ὁ δ᾿ ἀσμένως ἤκουσε πρεσβείας λόγους,
καὶ σπένδεται δὴ συγγινώσκει τ᾿ αὖ μάλα
μετανοοῦντι Βουλγάρων ἀρχηγέτῃ
ἐφ᾿ οἷς κακῶς ἔπραξεν ὅρκους συγχέας·
ὃς λοιπὸν ἐκπέπομφε καὶ θυγατέρα,
καὶ συμβιβάσεις ἐμπεδοῖ καὶ φιλίαν.
καὶ πάλιν Αὐσόνων τε Βουλγάρων μέσον
ὑπῆρχεν εἰρήνης καὶ φιλίας κλέος.
Ἐξαπορηθεὶς τοῖς ὅλοις Βαλδουῖνος

8295 *τε καὶ* V

Ecce autem rebus ita se habentibus Asani, ut dixi, ad bellum incumbenti nuntius venit plenus amaritie uxorem simul eius ac filiolum (8275) atque archipraesulem Ternobi repente vitam cum morte nuper commutasse. quibus ille auditis, omisso bello, statim in Moesiam maturavit reditum, ipse consumptis bellicis tormentis. (8280) tunc et Latina derelicta phalanx Byzantium sibi redeundum censuit, et sic Tzurulus perstitit incolumis. tunc vero Asanes infortunium suum iustam periurii poenam esse intelligens, (8285) protinus misit ad Caesarem legatos pacem instaurans et affinitatem, quam olim is compositam mox resciderat. Caesar libenter legationem audiit foedusque renovavit, et veniam obtulit (8290) resipiscenti Bulgarorum regi de violato fidei iuratae iure; qui mox et filiam remisit ad sponsum, et confirmavit foedus amicitiae. atque ita rursus inter nos ac Bulgaros (8295) benivolentiae ac pacis munus floruit.

At Balduinus rebus suis desperans, propterea quod in urbe Cpoli

ὡς συνελαθεὶς εἰς πόλιν πανταχόθεν
πρὸς τοῦ κρατοῦντος Αὐσόνων Ἰωάννου,
πρὸς ῥῆγα Φράγγων ἐν τριήρεσι πλέει,
καὶ συμμαχικὸν προσλαβὼν πλεῖστον μάλα,
καὶ διοδεύσας Γαλλίας Ἰταλίαν,
εἰς Παιόνων ἔφθασε λιπαρὰν χθόνα·
ἀφ᾽ οὗ περάσας τὸν βαθυδίνην Ἴστρον
προσέσχε Μυσῶν τοῖς ἀποκρήμνοις τόποις,
οἳ καὶ παρέσχον δίοδον τοῖς Λατίνοις,
τὰς πρὸς κρατοῦντα σπονδὰς ἠθετηκότες.
εἷλον δ᾽ Ἰταλοὶ καὶ Τζουρουλὸν τῷ τότε,
Σκύθας ἔχοντες συμμάχους παριστρίους,
τοῦ Πετραλίφα πρὸς φυλακὴν φρουρίου
ἔντοσθεν ὄντος, εὐγενοῦς στρατηγέτου.
Ἄναξ δ᾽ ἐπελθὼν Νικομηδείας τόποις
δι᾽ ὑγροχέρσου στρατιᾶς ῥωμαλέας
Δακιβύζης φρούριον εἷλε τῇ μάχῃ,
ἔρυμά τ᾽ ἄλλ᾽ ᾧ κλῆσις Νικητιάτου,
καὶ λείαν ἀπήλασε, πλῆθος λαφύρων.
πέπονθε δ᾽ ἄλλως ἐν στόλῳ δυστυχίαν·
τοῦ γὰρ Κοντοφρὲ Μανουὴλ κεκλημένου,
ἀνδρὸς στρατηγοῦ, δεξιοῦ ναυαρχίαν,
ὄντος στολάρχου τὸ πρὶν εὐτύχει στόλος·
ὡς δ᾽ Ἰαφρὲ ναύαρχος ἐκ βασιλέως
ἀντικαταστὰς Ἰταλοῖς συνεπλάκη,
ἧτταν ὑπέσχε παρὰ τούτων ἐσχάτην,
τρεισκαίδεκα ναῦς ἀποβαλὼν ἐν μάχῃ.

prorsus conclusus esset a nostro Caesare, adnavigavit ad Francorum regem, a quo permagnis instructus auxiliis permeatisque Galliis atque Italia ad Paeonum pervenit pingue solum; ubi traiecto maximo Danubio accessit ad montanas Moesorum sedes, qui transitum Latinis concesserunt contra promissas Caesari condiciones. tunc Tzurulum quoque ceperunt Itali auxiliantibus Scythis Istri accolis, quanquam illius arcis custodia tradita nobili duci Petraliphae fuerat.

Nicomediensem Caesar invadens agrum, forti ac potente stipatus exercitu, vi superavit Dacibyzae castellum aliamque arcem dictam Nicetiatae, magnamque praedae copiam inde abegit. verum accepit mari detrimentum. quoad enim Manuel Contophreus, dux sapiens et rei nauticae peritus, navarchus praefuit, classis bene habuit: sed postquam id officium obtinuit Iaphreus a Caesare, et cum Italis pugnam iniit, summam ab his perpessus cladem est, in proelio amissis tredecim navigiis.

Ταῦτα μὲν οὖν ἔσχηκε τόνδε τὸν τρόπον·
ὁ δ' Ἀσάνης ἔστεργε συμβάσεις τέως,
εἰ μὴ καθαρῶς, ἀλλὰ τὸ πλέον μέρος.
τούτῳ θανούσης ὡς ἔφην τῆς συζύγου
τῆς ἐξ Οὐγγρίας, πρὸς γάμους γε δευτέρους
ἠγάγετ' ἀθέσμως τε καὶ παρανόμως
τὴν Θεοδώρου παῖδα Κομνηναγγέλου,
ὃν φωτὸς ἐστέρησε τὸ πρὶν ὀμμάτων,
κλῆσιν Εἰρήνην, ἀγαθὴν ὄψιν πάνυ,
μὴ κασιγνήτου κῆδος ἐν νῷ λαμβάνων.
παίδων δ' ὑπῆρχε τετρακτὺς Θεοδώρῳ,
Ἰωάννης τε Δημήτριος σὺν Ἄννῃ,
Εἰρήνη τ' αὖ, σύνευνος Ἀσὰν Βουλγάρου,
ἣ παῖδάς οἱ τρεῖς ἀποτέξασα φθάνει,
Μιχαὴλ Μαρίαν τε καὶ Θεοδώραν.
εἱρκτῆς δὲ δεσμῶν ἐκλυθεὶς κήδους χάριν
ὁ μνημονευθεὶς Θεόδωρος πολλάκις
Θεσσαλονίκην καταλαμβάνει πόλιν·
μετὰ φενάκης δ' εὐτελῶν τε ῥακίων
εἴσω παρελθὼν τῆσδε λαθὼν τειχέων
συνιστόρων σθένει τε καὶ συνεργίᾳ
δεσμοῖ τ' ἀδελφόν, ἐν κεφαλαίῳ φάναι,
καὶ τὸ πρὶν ἀνείληφε τῆς χώρας κράτος.
εἶτ' Ἰωάννην υἱέων φίλων ἕνα
τοῖς βασιλικοῖς ὡραΐσας συμβόλοις,
πρὸς δ' αὖ καλεῖσθαι θεσπίσας βασιλέα,

8333 recole v. 8062.

Atque hic fuit praedictae eventus rei. (8325) Asanes autem in foedere manebat, etsi non prorsus, attamen ex parte. is defuncta sibi, ut supra diximus, Ungarica consorte, secundis nuptiis duxit uxorem contra ius canonicum (8330) Theodori filiam Comnenangeli, quem ipse olim oculis orbaverat, nomine Irenem, adspectu formosissimam, fratris affinitatem haud reveritus. erant huic Theodoro quattuor liberi, (8335) Ioannes et Demetrius atque Anna, denique Irene uxor Asanis Bulgari, quae apud ipsum peperit tres liberos, Michaelem Mariam et Theodoram. carcere porro emissus ob istas nuptias (8340) Theodorus ille, de quo saepe diximus, Thessalonicam venit haud absque dolo: nam cum galero pannosaque veste clam intra moenia oppidi receptus, coniuratorum conspiratis viribus (8345) fratrem, ut dicam breviter, in vincla coniicit, pristinum ipse dominatum recipit. mox unum e suis liberis Ioannem insignibus ornari regiis voluit, atque hunc regem appellari iussit;

αὐτὸς διεῖπε πραγμάτων τὰς φροντίδας.
τὸν σύγγονον δὲ πρὸς πόλιν τὴν Ἀττάλου
ἔπεμψεν ἐξόριστον, αὐτοῦ δ᾽ εὐνέτιν
Ἀσὰν πατρὶ πέπομφεν. ἀστάτου τύχης.
ἀλλὰ Μανουὴλ ἀπάρας ἐξ Ἀττάλου
πρὸς τὸν χαριτώνυμον ἄνακτα τρέχει,
καὶ τοῦδε τυχὼν εὐμενοῦς γε προστάτου,
φιλοφρονηθεὶς δ᾽ ἱκανῶς ὥσπερ δέον,
χρήματα λαβὼν καὶ τριήρεις ἓξ πάλιν,
δι᾽ ὧν κατασχεῖν ἠδυνήθη τὸν τόπον,
πρὸς τὰ Βλαχίας ἐξαπεστάλη μέρη.
καὶ καταλαβὼν Δημητριάδος τόπον,
στράτευμ᾽ ἱκανὸν ἐν βραχεῖ συναλίσας,
ἄρχει Φαρσάλων Πλαταμῶνος Λαρίσσης·
εἶτα συνῆλθε τοῖν δυοῖν ὁμαιμόνοιν,
πηρῷ Θεοδώρῳ τε καὶ Κωνσταντίνῳ.
καὶ τοῖσδε πεισθεὶς ἀμελεῖ τῶν ὁρκίων
ἑκὼν ἄκων, ὥς φασι, καὶ συγκειμένων
τῶν πρὸς κρατάρχην Αὐσόνων Ἰωάννην,
ἐσπείσατο σφίσι δὲ καὶ συνεκράθη.
μετ᾽ οὐ πολὺ θνήσκων δὲ Μανουὴλ ὅδε
ἐχρῆτο πολλῷ καὶ πικρῷ μεταμέλῳ
παραβασίας ὁρκίων φρικαλέων.
Λείπει δὲ βίον καὶ βασιλὶς Εἰρήνη,
καὶ πρὸς μονὰς βέβηκε τὰς οὐρανίους,
γυνὴ φίλοικτος, ἀρχική, σώφρων, ξένη,
χάρισι πολλῶν ἀγαθῶν κοσμουμένη.

(8350) ipse suscepit rei publicae curam. porro germanum exsulem ad urbem Attali expulit, eiusque coniugem remisit, o fortunae inconstantiam! ad patrem Asanem. ceteroqui Manuel profectus Pergamo (8355) ad Caesarem Ioannem supplex venit, eiusque nactus pium patrocinium atque, ut par erat, peramanter habitus, pecunia instructus itemque sex triremibus, quibus ad terram posset tuto exscendere, (8360) ad Valachiae oras direxit cursum. cumque appulisset naves Demetriadem, contractis brevi copiis occupavit Pharsala Platamonem et Larissam. mox in colloquium venit cum duobus (8365) fratribus, Theodoro caeco et Constantino; quibus obtemperans iusiurandum violat, volens nolens, ut ait proverbium, quod nuper nostro Caesari praestiterat; et cum germanis societatem iniit. (8370) sed enim paulo post hic Manuel moriens amaram prae se tulit paenitentiam ob violatam fidei religionem.

Regina quoque Irene vita excessit atque ad caelestes transiit stationes, (8375) misericors, pudica, imperio digna, mirabilis et affluens virtute mulier.

Μετὰ βραχὺ δὲ καὶ κρατάρχης Βουλγάρων
ἀνθρώπινον λέλοιπεν Ἀσάνης βίον,
ἤπιος ἀνὴρ καὶ φιλοικτίρμων φύσει,
ἄριστος ὀφθεὶς παρὰ Μυσοῖς βαρβάροις,
εὐεργετικὸς Αὔσοσι καὶ φυλέταις,
πᾶσιν ἐπαρκῶν τὰς σιτήσεις ἀφθόνους,
μερίδα καὶ μέλλοντι προσνέμων βίῳ.
τούτου τελευτήσαντος ἀρχὴν Βουλγάρων
παῖς Καλλιμάνος παραλαβὼν κατέχει,
ὃν βασιλὶς ἔτικτεν αὐτῷ Μαρία,
ἐκ Παιόνων ἔχουσα σειρὰν τοῦ γένους.
ὑπῆρχεν αὐτῷ καὶ σύναιμος ἡ Θάμαρ,
ἐκ δ' Ἀγγελίνης Εἰρήνης Ἀσὰν ἔφυ
Ἄννα Μιχαὴλ καὶ σὺν αὐτοῖς Μαρία.
Καλλιμάνος γοῦν κράτος ἀνεζωσμένος
τὰς πρὸς κρατάρχην ἐμπεδοῖ συμβιβάσεις,
καὶ πάλιν εἰρήνη τις ἦν ἐν τῷ μέσῳ.
πηρὸς δὲ Θεόδωρος σὺν Ἰωάννῃ
Θεσσαλονίκης ἐκράτει καὶ τῶν πέριξ·
μεθ' οὓς ὑπῆρχε δεσπότης Κωνσταντῖνος
πηροῦ σύναιμος καὶ Μιχαὴλ ἔγγονος,
Μυσῶν κραταρχῶν Μανουήλ τε τοῦ λάχους.
Οὕτως ἐχόντων πραγμάτων Ἰωάννης,
στρατηγετῶν κράτιστος, ἀνάκτων κλέος,
βουλεύεται δὴ καθελεῖν Ἰωάννην
τῆς βασιλικῆς ἀξίας καὶ τοῦ θρόνου,
ὡς τήνδε κατέχοντα μαλ' ἀναξίως.

Paulo post etiam Bulgarorum dominus deseruit mortalem Asanes vitam, vir clemens et misericors natura, (8380) optimus sine dubio inter Moesos barbaros, beneficus in nostros et cives suos, cunctis dilargiens vitae subsidia, partem reponens futuro saeculo. hoc vita functo, regnum Bulgarorum (8385) ipsius filius excepit Callimanus, quem ex regina susceperat Maria, genus de populo Paeonum trahente. erat huic etiam Thamar germana soror. Irene vero peperit Angelonyma (8390) Asani Michaelem Mariam Annam. iamvero Callimanus imperio adito cum nostro Caesare foedus renovavit; eratque rursus pax ambobus populis. Theodorus autem caecus cum Ioanne (8395) Thessalonicam cum locis finitimis regebat, et sub illis caeci frater despota Constantinus, et Michael Manuelis nepos partem Moesiae.

Hoc rei publicae statu Caesar noster, (8400) optimus imperator et gloria regum, Ioannem illum Thessalonicensem imperatorio statuit detrahere gradu, quem iste nullo possidebat iure. quare in orientem pru-

ὅθεν παρ' αὐτὸν εἰσκαλεῖται καθ' ἕω
τὸν Ἰωάννου Θεόδωρον πατέρα
ἄναξ φρενήρης, καὶ τιμᾷ φιλοφρόνως·
εἶτα δυνάμεις Ῥωμαϊκὰς Σκυθίδας,
ἃς εἶχε κλῆρον ἰδιαίτατον δράσας,
εὖ συναθροίσας ἐκστρατεύει προφρόνως
κατ' Ἰωάννου διὰ Μακεδονίας.
Χριστοῦ πόλιν οὖν παραμείψας Στρυμόνα,
προσέσχε φρουρίῳ γε τῷ τῆς Ῥεντίνης,
πάμπαν ἐρήμῳ τῶν συνοικούντων ἔσω,
ἀποδρασάντων τῶν φυλάκων ἐκ φόβου·
ὃ καὶ λαβὼν φύλακας ἔνδον εἰσάγει.
ἔπειτ' ἐκεῖθεν σὺν στρατῷ καὶ δυνάμει
ἐφίσταται τάχιστα Θεσσαλονίκῃ·
ἧς τειχέων ἄγχιστα πηγνύει φέρων
σκηνὰς βασιλείους τε καὶ παντευχίας,
παρὰ δ' ἑαυτῷ τῶν στρατευμάτων στῖφος,
ἃ πάντ' ἐδῄουν ἐκδρομαῖς κεχρημένα,
ληϊλατοῦντα τὰ πρόσοικα χωρία.
Σκύθαι δὲ μᾶλλον ἠφάνιζον πλειόνως,
συχνῶς ἐπιόντες γε πάντα τὰ πέριξ
καὶ ταῦτα δρῶντες Σκυθικὴν ἐρημίαν.
ὁ δ' αὖ στόλος πάραλα κατεπυρπόλει,
οὗ περ στολάρχης Κοντοφρέ τις γεννάδας.
εἵποντο τῷδε βασιλεῖ στρατηγέται
ἄνδρες λογάδες ἀρεϊκοὶ γεννάδαι,
ἄριστος Ἀνδρόνικος ἐν στρατηγίαις,

8421 ἐκδρομῆς. V

dente consilio (8405) Ioannis patrem Theodorum vocat, atque benivolis excipit officiis. deinde copiis propriis atque Scythicis, quarum selectam manum sibi adsciverat, egregie comparatis in Macedoniam (8410) contra Ioannem pergebat alacriter; praetervectusque Strymona et Christopolin ad Rhentinae castellum castra transtulit, quod sane offendit incolis desertum, dilapsis prae metu custodibus; (8415) ipse occupatum muniit praesidio. illinc deinde cum potente exercitu Thessalonicam propere contendit, et prope moenia fixit tabernacula Caesar cum omni bellico apparatu: (8420) cuius dispersi copiarum manipuli omne vastabant late territorium, praedam agentes proximis e villis. praecipue vero Scythae molesti erant, cum perpetuis per agrum incursionibus (8425) Scythicam facerent ubique solitudinem. interim classis litora infestabat, cuius navarchus fortis Contophreus erat. Caesaris castra sequebantur duces viri praecipui strenui mavortii, (8430) Andronicus inclytus Palaeologus,

Παλαιολόγος ἐν δομεστίκοις μέγας,
πρωτοβεστιάριος Ῥαοὺλ τοὐπίκλην,
Τορνίκης Δημήτριος ἀγαθὸς φύσιν,
πράγματα κοινὰ φροντίδας τ' αὖ ἀνέχων
Ταρχανειωτῶν ἐκ γένους Νικηφόρος,
πρωτοσεβαστὸς Κοντοστέφανος πάλιν,
καὶ Πετραλίφας χαρτουλάριος μέγας
μετά γε πολλῶν εὐκλεῶν βουληφόρων.
ἀμφιπονουμένων δὲ τῇδε ταγμάτων
ἀφῖκτό τι μήνυμα πρὸς βασιλέα,
ὡς Ταχαρίων ἔθνος ὠνομασμένον
Τούρκοις συνελθὸν ἐκνικᾷ σφᾶς ἐν μάχῃ.
ταῦτ' ἐμβραδύνειν μὴ δυνάμενος κράτωρ,
ἀφεὶς τὸ πορθεῖν, ἀφορᾷ πρὸς συμβάσεις,
πρέσβιν μεσιτεύοντα ταύταις λαμβάνων
τὸν Ἰωάννου Θεόδωρον πατέρα.
τὰ δ' ὁρκίων ἦν ὡς ἅπαντ' Ἰωάννην
τὰ σύμβολα ῥίψαντα τῆς κραταρχίας,
πέδιλ' ἐρυθρὰ καὶ πυραμίδος λίθον,
κλῆσιν κεκτῆσθαι καὶ τιμὴν τὴν δεσπότου,
καὶ φίλον εὔνουν βασιλεῖ καθεστάναι.
οὕτω δεδρακὼς βασιλεὺς ὑποστρέφει,
κατεμπεδώσας ὁρκίοις τὰς συμβάσεις,
Θεόδωρον δ' Ἄγγελον λιπὼν φιλτάτῳ.
Ὡς οὖν ἐπανέζευξε πρὸς τὰ τῆς ἕω,
Ἰαθατίνης σουλτὰν Ἰκονιέων
ἔπεμψε πρέσβεις, λιπαρῶν βασιλέα

expertus dux et magnus domesticus, Raulus item protovestiarius, egregiusque Tornices Demetrius, et qui consilium publicum regebat (8435) Tarchaniotarum de gente Nicephorus; protosebastus item Contostephanus, et Petraliphas magnus chartularius, cum aliis multis claris senatoribus. dum ibi incumbit ad bellum exercitus, (8440) ecce defertur nuntius ad Caesarem Tachariorum gentem commisso proelio vires Turcarum penitus fregisse. morari Caesar nequiens, omissa obsidione condiciones obtulit, (8445) et mediatorem rei legatum misit ipsum Ioannis patrem Theodorum. mandabat autem Caesar ut Ioannes imperii cuncta deponeret insignia, calceos rubros, pyramidis lapillum; (8450) nomenque et dignitatem haberet despotae, benivolumque animum servaret Caesari. his actis imperator inde abscessit post confirmatum sacramento foedus, Theodorumque Angelum filio tradidit.

(8455) Reverso autem Caesari in orientem Iathatines sultanus Iconii

τυχεῖν βοηθείας τε καὶ συμμαχίας
κακῶς πεπονθώς, ὡς ἔφην, Ταραχίοις,
καὶ κινδυνεύων ἀπολέσθαι παντάπαν.
συνεὶς βασιλεὺς ὡς ἑαυτῷ συμφέρει
εἰ δυστυχοῦντι συμμαχήσει σουλτάνῳ,
πρεσβείαν εἰσδέδεκτο καὶ μάλ' ἀσμένως.
ὅθεν κρατάρχης καὶ σουλτὰν συνηλθέτην
ἐν τῇ Τριπόλει τῇ πρὸς Μαιάνδρῳ πόλει·
σπεισάμενοι δὲ καὶ δράσαντες συμβάσεις
ὡς ἂν συνασπίζοιεν ἀλλήλοις μάχῃ,
πρὸς πατρίδας ᾤχοντο καὶ κραταρχίας.
Μετὰ δὲ μικρὸν ἀπολείπει τὸν βίον
ἐν Θεσσαλίᾳ δεσπότης Ἰωάννης,
ἀνὴρ ἀγαθός, εὐλαβής, νόμων φύλαξ,
σώφρων, ἱλαρός, εὐμενὴς ὑπηκόοις,
ἀεὶ σχολάζων ἱεραῖς ὑμνῳδίαις
καὶ ναζιραίων προκρίτοις ἐντυγχάνων.
τούτου θανόντος λαμβάνει κληρουχίαν
καὶ δεσποτικὴν ἐξ ἄνακτος ἀξίαν
Δημήτριος σύναιμος, οὐ καλὸς τρόπους,
ἔρωτος ἥττων, δοῦλος ἀφροδισίων,
τὰ πολλὰ συνὼν ἀνδράσιν ἀβελτέροις
καὶ μειρακίοις συνομιλῶν δυστρόποις.
Ἄγων δὲ μάχης ἀνακωχὴν ὁ κράτωρ,
περάσας Ἑλλήσποντον ἅμα βραχέσιν
ἐπιστρατεύει τοῖς κατὰ δύσιν τόποις.

misit legatos, atque enixis precibus ab eo suppetias petiit et societatem, male mulcatus scilicet a Tachariis (8460) deque rerum summa iam periclitans. utile sibi Caesar esse intelligens si laboranti sultano subveniret, libente animo excepit legationem, et cum sultano venit in colloquium (8465) Tripolitana in urbe ad Maeandrum, ubi conscriptis firmiter condicionibus de sufficiendis invicem auxiliis in suum quisque rediit imperium.

Brevi post illud tempus in Thessalia (8470) excessit vita despota Ioannes, vir bonus, pius, legum servantissimus, modestus, comis, clemens erga subditos, et semper sacrae deditus hymnodiae cumque potioribus monachis conversans. (8475) huius defuncti stationem excipit despotaeque a Caesare dignitatem frater Demetrius, moribus incomptis, amori obnoxius, Veneris mancipium, viris plerumque pessimis se socians (8480) et corruptorum iuvenum familiaris.

Tunc otiosus a bellis imperator, paucis stipatus, Hellespontum traiicit occiduasque terras armis appetit. Cissum castellum Thraciaeprae-

Κισσὸν παραμείψας δὲ φρούριον Θρᾴκης,
Ἕβρου τε τὸν ῥοῦν ἐκπεράσας ἱππότης,
εὐθὺ Ζιχνῶν ἤλαυνε τοῦ πολιχνίου.
μήνυμα δ' ἧκεν ὡς ὁ Βουλγάρων ἄναξ
Καλλιμάνος λέλοιπεν ἡλίου φάος·
βαίνων δ' ὅμως πέφθακε Σέρρας τὴν πόλιν,
ἣν καὶ παρεστήσατο ταῖς εὐβουλίαις,
Μυσοῦ Δραγωτᾶ παραδόντος τὴν πόλιν,
τοῦ τῆσδε φρουράρχου τε καὶ πρωτοστάτου.
φιλοφρονηθεὶς δ' ἐκ βασιλέως ὅδε
πρὸς Μελενίκου τὴν πόλιν ἀπεστάλη.
εἶτα, τί πολλὰ μηκύνοντα δεῖ γράφειν;
σὺν Νικολάῳ Μαγκλαβίτῃ τοὐπίκλην,
ἀνδρὶ φρονίμῳ καὶ πάνυ δραστηρίῳ,
παραδιδοῦσι τῷ κρατάρχῃ τὴν πόλιν,
τὸ πρὶν προβάντων χρυσοσημάντων λόγων
ἐρυθρογράφων ἐξ ἄνακτος ὡς ἔθος,
πόλει τυπούντων δωρεὰς χορηγίας.
τούτων τελεσθέντων δὲ τόνδε τὸν τρόπον
οἱ κρείττονές τε καὶ περίβλεπτοι γένει
οἰκητόρων ἥκουσι πρὸς βασιλέα,
καὶ μᾶλλον οἷς Ἄρης τε καὶ μάχη φίλα,
ἄνδρες σθεναροὶ γεννάδαι ῥωμαλέοι,
πλείους ἀριθμῷ πενταχοσίων τάχα,
καὶ βασιλεῖ τίνουσι πρόσφορον σέβας.
εἶτα κατῆρξεν ἀμαχεὶ στεφηφόρος
Στενομάχου τε Τζεπαίνης πολιχνίων,

teriit, (8485) Hebrumque flumen vectus equo tranans Zichnorum illico affuit urbeculae. ibi intellexit Bulgarorum regem Callimanum vitali privatum luce. attamen pergens Serras usque venit, (8490) quam et sagace obtinuit consilio, Moeso Dragota oppidum tradente, cuius praesidio et curae mandatum fuerat. hic delinitus a Caesare officiis legatus est ad urbem Melenicum. (8495) is autem (ne rem longo sermone differam) cum Nicolao conspirans mangiavita, sagacis mentis viro et efficaci, imperatori nostro urbem tradidit, praemisso tamen aureo libello, (8500) quem Caesar rite minio subscripserat, urbi spondente largitiones plurimas.) rebus igitur hoc modo compositis, ecce optimates et genere conspicui incolae urbis ad Caesarem venerunt, (8505) praecipueque viri sueti bellis, asseclae Martis, strenui, pugnaces, quorum quingenti aut paulo plures debitum obtulerunt obsequium Caesari. ipse deinde sine proelio obtinuit (8510) urbeculas Stenimachum et Tzepaenam terrasque

χώρας τε πάσης πρὸς Ῥοδόπῃ κειμένης,
καὶ Βελέσβου Δίου γε σύμπαντος τόπου.
καὶ Βελεσσὸν εἶλε δὲ σὺν τοῖς Σκοπίοις·
κατέσχε καὶ Πρίλαπον ἅμα τοῖς πέριξ,
Πελαγονίας τοὺς ὅρους καὶ τὰ πλάτη,
καὶ φρούριον Πρόσακον ἅμ' Εὔτζᾳ πόλει.
ταῦτα καθυπέταξε τῇ κραταρχίᾳ
ἄναξ χαριτώνυμος ἄνευθεν μάχης·
ἐφ' οἷς παρέσχεν αἰτήσασι Βουλγάροις
ἐχέγγυον μόνοις γε τούτοις ἐμμένειν.
ἔπειτ' ἐπῆλθε Θεσσαλονίκης ὅροις,
καὶ τῆσδε κρατεῖ τῇ θεοῦ συμμαχίᾳ.
ὅπως δ' ἑάλω, συνελὼν δήπου φράσω.
Ταύτης κρατοῦντος, ὡς ἔφην, Δημητρίου,
ἀτασθάλου τε δυσαναγώγου νέου,
καὶ παιδιαῖς χαίροντος ἀεὶ καὶ μέθαις,
καταμελοῦντος ἀστικῶν δὲ πραγμάτων,
καττύεταί οἱ σκέμμα καὶ σκευωρία
παρὰ πολιτῶν γνωρίμων τῇ πατρίδι,
Ἰατροπούλου Σπαρτηνοῦ Κουνσουλάτου,
σὺν οἷς Καμπανός, Σίσυφος ἄλλος τρόπους,
ἐκ δ' εὐγενῶν Λάσκαρις καί τις Τζιρίθων.
οἳ καὶ δόλῳ πέμψαντες ὡς βασιλέα
σκηνούμενόν που καθ' ὅρους Μελενίκου
τοῦτον Καμπανόν, τῶν συνιστόρων ἕνα,
τῇ μὲν προφάσει πραγματεύσεως χάριν,

8512 τε?

cunctas ad Rhodopen positas, Belesbum, Dium cum omni territorio. Belessum insuper occupavit cum Scopiis, Prilapum quoque cum locis finitimis, (8515) et Pelagoniae fines cum sua planitie, Prosacum castrum cum oppido Eutza. haec, inquam, omnia subdidit imperio absque cruore Ioannes imperator. Bulgaris autem promisit postulantibus, (8520) his se contentum terminis futurum. Thessalonicam postea perrexit, atque hac favente potitus est numine; cuius rei ordinem breviter expediam.

Urbem tenente, ut dixi, Demetrio, (8525) scelesto iuvene et pessime morato, perpetuae dedito crapulae et lasciviae et negligente publicae rei curam, fit contra ipsum conspiratio civium in patria minime obscurorum, (8530) Iatropuli, Sparteni, Cunsulati, quibuscum erat Campanus, alter Sisyphus, nobiles autem duo, Lascaris et Tziritho. hi fraudulenter miserunt ad Caesarem, tunc Melinici in agro demorantem, (8535) Campanum illum, ut dixi, coniuratum, praetextu quidem publici

τῷ δ' ὄντι λαβεῖν χρυσοσημάντων λόγων
ἐρυθρογράφων ἀσφάλειαν πατρίδι,
ἃ πάντα κρατῶν ἐκπεραίνει προφρόνως,
ἀλώσεως ἤνυσαν ἅπαντα λόχον.
ἐπαναδραμὼν Καμπανὸς γοῦν εἰς πόλιν
ἕκαστα σαφεῖ λάθρα τοῖς συνωμόταις.
εἶτα βασιλεὺς μηνύει Δημητρίῳ
ὡς αὐτὸν ἐλθεῖν προσκύνησιν ἐκτίσων,
καθάπερ ἐστοίχησε τὸ πρὶν ὁρκίοις,
τὴν δεσποτικὴν ἀξίαν δεδεγμένος·
ὁ δ' ἀκλινὴς ἦν, μηδαμῶς ἐπαΐων.
τοίνυν ἐπιστὰς Θεσσαλονίκῃ κράτωρ
πάλιν ἐδήλου ταῦτα τῷ Δημητρίῳ·
ἀλλ' ἦν ἀπειθὴς ἀμελῶν συμβουλίας.
τῶν πραγμάτων οὖν τῇδε διακειμένων
βοή τις ἔνδον ἀθρόως ἐξερράγη
ὡς πυλὶς ἀνέῳκτό τισιν ἀνδράσιν
ἡ καθ' ἅλα νεύουσα, καὶ συνερρύη
ὁπλιτική τις ἔνδον τειχέων φάλαγξ.
ἐν τῷδέ τις θροῦς παμμιγὴς ἤρθη μέγας,
καὶ τῶν πυλῶν ἔντοσθεν ἀνεῳγμένων
στρατιὰ συνήλασεν ἔνδον καὶ κράτωρ.
φεύγει δὲ Δημήτριος εἰς ἄκραν πόλιν·
ἐχέγγυον δὲ προσλαβὼν σωτηρίας
αὐτόν τε φρουρὰν τῷ κρατάρχῃ προσνέμει.
Οὕτως ἑάλω Θεσσαλονίκη πόλις·

8539 ἄκαιντα V

negotii, revera ut bullam auream impetraret, minio subscriptam, ad salutem patriae. annuit cunctis libenter imperator; (8540) illi dedendae urbi navarunt operam. namque Campanus in urbem profectus rem omnem gestam sociis patefecit. mox imperator significat Demetrio ut ad se veniat obsequium praebiturus, (8545) quod se facturum sacramento obstrinxerat, cum dignitatem despotae impetraret. morem iubenti iuvenis non gessit. Thessalonicam igitur accedens Caesar idem mandatum Demetrio significat, (8550) qui id rursus surdis praeteriit auribus. quae cum ita se haberent, en repente fama clamorque diditur per urbem portam a viris patefactam aliquot mare spectantem, et moenibus receptam (8555) phalangem armatorum iam irrumpere. ibi tumultus maximus est ortus, et reseratis foribus introrsus, ingreditur exercitus Caesarque simul: Demetrius autem fugit in acropolin; (8560) qui mox salutis fide accepta semet cum arce imperatori tradidit.

Sic urbs Thessalonica capta fuit; ubi imperator substitit parumper,

οὗ διαγαγὼν βασιλεὺς βραχὺν χρόνον,
καὶ διαθεὶς ἅπαντα καθάπερ δέον,
χαίρων ἐπανέζευξεν εἰς ἕω τόπους,
ὑμνούμενος ξύμπασιν ὡς νικηφόρος,
ἀφεὶς στρατηγὸν τῶν δυτικῶν ταγμάτων
πάντων ἐπιστάτην τε χωρῶν ἀστέων
Παλαιολόγον ἐν δομεστίκοις μέγαν,
ἄνδρα στρατηγίας τε καὶ μάχης ἴδριν
καὶ παντοδαπαῖς καλλοναῖς ἠνθισμένον·
τὸν δ᾽ αὖ Κομνηνὸν Μιχαὴλ τούτου γόνον,
τὸν ὑστέροις ἄρξαντα Ῥωμαίων χρόνοις,
ἐπιστατεῖν Σερρῶν τε καὶ Μελενίκου
καὶ τοῦ μεταξὺ καὶ πέριξ τούτων τόπου.
καὶ πάλιν ἄλλους ἀλλαχοῦ γῆς καὶ τόπου
ἄρχειν ἐφῆκε καὶ διευθύνειν πόλεις.
Δημήτριον δὲ Λεντιανῶν ἐν πόλει
ἔμφρουρον εἶχεν ἐν μακρῷ καθειργμένον.
Τοῦ δ᾽ ἀρχιθύτου Γερμανοῦ Βυζαντίδος
βίον λιπόντος καὶ σὺν αὐτῷ τὸν θρόνον,
ἀναδραμόντος δ᾽ εἰς μονὰς αἰωνίους,
Μεθόδιός τις ἐκ μονῆς Ὑακίνθου
ἐπὶ βράχιστον παραλαμβάνει θρόνον.
τούτου θανόντος εἰς μακρὸν χρόνου θρόνος
ἔρημος ὑπῆν ποιμένος καὶ προστάτου.
Μετὰ δὲ μικρὸν καὶ δομέστικος μέγας
Παλαιολόγος ἐξαμείβει τὸν βίον,
τὰ τῶν μοναχῶν ἐνδυθεὶς πρὶν ὡς θέμις·

ordinatisque rebus ex sententia (8565) laetus ad eoas provincias rediit, a cunctis celebratus ceu triumphator. reliquit autem exercitus occidui generalemque urbium rectorem magnum domesticum Palaeologum, (8570) ducendi pugnandique scientissimum atque ornamentis abundantem omnibus. huius vero filium Michaelem Comnenum, qui dein Romanum tenuit imperium, Serris praefecit atque Melenico (8575) et circumiectis omnibus regionibus. alios praeterea statuit praefectos regendis variis urbibus ac provinciis. Demetrium autem in urbe Lentianis diu retinuit custoditum carcere.

(8580) Iam patriarcha Byzantii Germano vitam sedemque simul relinquente, ut in aeternas stationes pergeret; Methodius quidam de Hyacinthi coenobio insedit solium tempore brevissimo; (8585) quo mortuo sedes Byzantina perdiu caruit praeside pastore.

Paulo post etiam magnus domesticus mortali excessit vita Palaeologus, monachi in speciem rite convestitus: (8590) missus est autem

καὶ Φιλῆς Θεόδωρος ἐξαπεστάλη
ἄρχειν στρατηγεῖν ἀντ' ἐκείνου ταγμάτων.
Θεσσαλονίκη καὶ Βέρροια μὲν πόλεις
τὸν Αὐσονάρχην δεσπότην εἶχον τότε·
πηρὸς δὲ Θεόδωρος ἐκφὺς Ἀγγέλων
κατῆρχεν αὖθις Βοδηνῶν Σταριδόλων
σὺν Ὀστροβοῦ κλίματι καὶ τῶν ἐν κύκλῳ·
τῶν ἐκ Πλαταμῶνος δὲ καὶ κατωτέρω
μερῶν κλινόντων ὡς πρὸς ἑσπέρας τόπους,
σὺν Ἀχαΐᾳ Βλαχίας καὶ τῶν πέριξ,
παλαιᾶς Ἠπείρου τε σὺν Αἰτωλίᾳ
ἅμ' Ἰλλυρικῷ καὶ Δυρραχίῳ πόλει,
ἔτι Πριλάπου, Πελαγονίας ὅλης,
κλεινῆς Ἀχρίδος, σελασφόρου καὶ Πρέσπης,
ὁ Μιχαὴλ ἦν δεσπότης ὁ δεσπότης,
ὃς ἐκ νοθείας Μιχαὴλ πρὶν ἐξέφυ
Κομνηναγγέλου, συγγόνου Θεοδώρου,
ὡς ἀνόπιν εἴρηκε φθάσας μοι λόγος.
Οὕτω μὲν ἔσχε τὰ πρὸς ἑσπέραν μέρη·
ἄναξ δὲ λιπὼν βασίλειαν Νυμφαίου
ἦρος φανέντος Ἑλλήσποντον διέβη,
καὶ βάλλεται χάρακα κατ' ἄστυ φθάσας
τὸ τῆς Τζουρουλοῦ, καὶ νόμῳ τῷ τῆς μάχης
καθαιρετικῶν μηχανημάτων τέχνῃ
ῥᾷστα παρεστήσατο φρούριον τόδε·
οὗ κασιγνήτην Εἰρήνης βασιλίδος

8598 ἑσπέραν V

Theodorus Philes qui copiarum regimen exciperet. tunc urbs Thessalonica et Berroea imperatorem ipsum habebant dominum. Theodorus autem caecus Angelonymus (8595) Bodenis imperabat et Staridolis, cum Ostrobi provincia et confinibus. a Platamone autem atque inferius in partibus ad hesperum conversis, nec non Blachiam Achaiam et viciniam, (8600) antiquamque Epirum cum Aetolia, Illyriumque et oppidum Dyrrachium, Prilapum etiam, Pelagoniam cunctam, nobilem Achrin splendidamque Prespam, cum dignitate despotae regebat Michael, (8605) quem clandestinis nuptiis genuerat Michael Theodori frater Comnenangelus, cuius iam nostra meminit historia.

Hic erat rerum in occidente status. Caesar relicta regia Nymphaei, (8610) vere appetente, Hellespontum transiit, valloque statim circumclusit arcem Tzuruli, et mox adhibito Martis opere, admotis machinis obsidionalibus, facile arcem sibi vindicavit; (8615) ubi sororem reginae

Εὐδοκίαν ἔντοσθεν εὑρών, εὐνέτιν
παρ' Ἰταλοῖς ἄρχοντος Ἀσελδεκάε,
κέλητι παρέπεμψεν εἰς Βυζαντίδα,
πάντων γυμνώσας τῶν ἐνόντων πραγμάτων
αὐτήν τε προσπόλους τε καὶ δορυφόρους.
ἐκεῖσε δ' ὢν σύνευνος αὐτῆς ἀπέδρα
πρὶν ἢ κρατάρχην προσβαλεῖν τῷ φρουρίῳ,
τρόμῳ τε ληφθεὶς καὶ ψυχῆς ἀγωνίᾳ.
ἤδη παρεστήσατο καὶ τὴν Βιζύην,
πέμψας κατ' αὐτῆς στρατιάν, αὐτοκράτωρ.
Τούτοις ἑάλω τοῖς χρόνοις νῆσος Ῥόδος
τοῖς Γενουΐταις Ἰταλοῖς μετὰ δόλου·
ἐπεὶ γὰρ ἀπόδημος ἦν ἐπιστάτης
Ῥόδου Γαβαλᾶς Ἰωάννης τῷ τότε,
ὅμαιμος ὢν Καίσαρος ἄρξαντος Ῥόδου,
συνεκστρατεύων Αὐσονάρχῃ δεσπότῃ,
νῆσον κατέσχον οἱ λελεγμένοι λάθρα.
ὃ γνοὺς βασιλεὺς ἐν Θρᾴκῃ διατρίβων
Καντακουζηνῶν ἐκ γένους Ἰωάννην
σὺν στρατιᾷ πέπομφε Ῥοδίων πόλει·
ὃς ἐκπεπλευκὼς καὶ κατάρας ἐν Ῥόδῳ
κατέσχε Φιλέρημον ἄστυ τῇ μάχῃ,
ἀφ' οὗπερ ἐχθροῖς ἀντεπιὼν εὐψύχως
ῥᾷστα κατέσπα τὴν ὀφρὺν σφῶν καὶ θράσος.
καὶ τάχ' ἂν εἷλε καὶ πόλιν κατὰ κράτος,
εἰ μὴ πρίγκιψ ἤμυνε τῆς Ἀχαΐας,
ὁπλίτας αὐτοῖς συμμάχους δοὺς ἱππότας.

uxoris suae Eudociam deprehensam, quae nupserat Aseldecao Italo dynastae, celeti equo impositam Byzantium misit, erepto omni ornatu et supellectile (8620) ipsi comitibusque et satellitibus. nam sponsus eius fuga se subduxerat, perculsus metu, consternatus animo, priusquam arcem Caesar obsideret. neque diu post cepit quoque Bizyam (8625) missis infestis copiis imperator.

Per idem tempus astu fuit capta ab Italis Ianuensibus Rhodus insula. nam cum abesset exteris in terris Rhodi praefectus Gabalas Ioannes, (8630) Caesaris frater, qui Rhodi princeps fuerat, imperatoris domini castra sequens, hostes praedicti clam ceperunt insulam. rem ubi in Thracia novit imperator, Cantacuzenum cum copiis Ioannem (8635) ad Rhodiensium oppidum direxit. ille cum classem Rhodum appulisset, oppidum cepit proelio Phileremum; ex quo progressus fortiter in hostes ipsorum facile contudit audaciam. (8640) iamque capturus erat et metropolin, nisi obstitisset ipsi Achaiae princeps, qui armatos equites he-

ὡς οὖν ἐπανέζευξεν ἐκ μάχης ἄναξ,
ναῦς ἱππαγωγοὺς εὐτρεπίσας καὶ στόλον,
ἵππους ἐν αἷς ἔβαλε τριακοσίους,
εἶτ᾽ ἀποτάξας καὶ στολάρχην τοῦ στόλου
τινὰ Κοντοστέφανον, ἄνδρα γεννάδαν,
πρωτοσεβαστοῦ τὴν τιμὴν εἰληχότα,
εἰς νῆσον ἀπέστειλε τὴν τῶν Ῥοδίων·
καὶ κατὰ μάχην συμπλακεὶς Γενουΐταις
κατὰ κράτος σφᾶς ἐκνικᾷ καὶ συντρίβει,
καὶ νῆσον ἀνέσωσεν Αὔσοσι πάλιν.
Ὁ δ᾽ αὐτοκράτωρ πρὸς Μιχαὴλ δεσπότην
κῆδός τε ποιεῖ συμβάσεις τ᾽ ἐνωμότους·
παῖς δεσπότου γὰρ Μιχαὴλ Νικηφόρος
εἰς γαμετὴν εἴληφε τὴν Θεοδώρου
ἄνακτος υἱοῦ Μαρίαν θυγατέρα,
τῆς τοῦ Μιχαὴλ συζύγου Θεοδώρας
δι᾽ Ἑλλησπόντου φθασάσης χώρους ἕω
μετά γε παιδὸς φιλτάτου Νικηφόρου,
καὶ τὴν ἐπ᾽ αὐτῷ συγγένειαν δρασάσης,
εἶτα σὺν αὐτῷ πρὸς δύσιν χωρησάσης.
ἀλλὰ Μιχαὴλ Αἰθίοψ ὤν, καρκίνος,
οὐκ εὖ βαδίζειν οὐδὲ ῥύπτεσθαι θέλει·
συμφωνίας γὰρ ἠθετηκὼς συμβάσεις
ἀναπέφανται δυσμενὴς ἀποστάτης,
σύμβουλον εὑρὼν πατράδελφον εἰς τόδε
Θεόδωρον Ἄγγελον, εὔριπον τρόπους.
ὡς οὖν τάδ᾽ ἠνώτιστο τῷ στεφηφόρῳ,

stibus concessit. sed suo bello redux imperator equestribus navigiis cum classe instructis (8645) trecentos eques imposuit. tum et navarchum classi praepositum, Contostephanum quendam, virum strenuum, protosebasti dignitate praeditum, in Rhodiensem ire iussit insulam; (8650) qui Ianuenses in proelium vocatos potenter debellavit ac protrivit, et sic imperio insulam restituit.

At imperator cum Michaële despota affinitatem panxit et amicitiam; (8655) filius enim despotae Nicephorus uxorem sibi Theodoro genitam, imperatoris filio, Mariam iunxit. et Theodora Michaelis coniux per Hellespontum ivit in orientem (8660) una cum dulci filio Nicephoro ad copulandas nuptias praedictas; exin cum ipso rediit in patriam. attamen Michael Aethiops et cancer nec recte incedere poterat nec albescere. (8665) namque deletis pacis condicionibus rabidum semet praebuit rebellem, nactus ad hoc conspirantem patruum Angelum Theodorum versipellem. haec imperator cum intellexisset, (8670) Romanas vires denuo

τὰς Ῥωμαϊκὰς δυνάμεις συναλίσας
καὶ τοὺς ὑπ' αὐτὸν εὐσθενεῖς στρατηγέτας,
Ταρχανειωτῶν ἐκ γένους Νικηφόρον,
κλῆσιν ἀληθεύουσαν εὖ κεκτημένον
τὴν ἀξίαν τε τὴν ἐπὶ τῆς τραπέζης,
πληροῦντα δ' ἔργα μεγάλου δομεστίκου,
Στρατηγόπουλον Ἀλέξιον γεννάδαν
καὶ φίλον υἱὸν μεγάλου δομεστίκου,
Παλαιολόγον Μιχαήλ, κλέος νέων,
καὶ τὸν Μακρηνὸν καὶ Τύραννον Βουδελόν,
παραλαβὼν τούτους τε καὶ τὰς δυνάμεις
Θεσσαλονίκην καταλαμβάνει πόλιν,
κἀκεῖθεν ἄρας ἐν Βοδηνῶν φρουρίῳ
ἀνακτορικὰς σκηνὰς ἐγκαθιδρύει,
καὶ τοῦτο πορθεῖ μηχαναῖς καὶ σὺν χρόνῳ.
ἔφθη δ' ἀποδρὰς Θεόδωρος φρουρίου,
καὶ τῷ Μιχαὴλ δεσπότῃ προσερρύη.
εἶτα βασιλεὺς Ὀστροβοῦ φθάνει λίμνην,
καὶ στρατιὰν πέπομφε κατὰ δεσπότου.
μετὰ δὲ μικρὸν παρὰ πᾶσαν ἐλπίδα
προσηλθέτην ἄνακτι Γλαβᾶς τοὐπίκλην
ἐκ Καστορίας ἀγγελεὺς τῶν κρειττόνων,
καὶ Πετραλίφας εὐγενῶν τῶν ἐν τέλει,
γαμβρὸς Τορνίκη τυγχάνων Δημητρίου,
γυναικάδελφος Μιχαὴλ δεσπότου.
ὡς οὖν προσῆλθε βασιλεῖ Πετραλίφας,

8694 δὲ δεσπότου?

collegit, suosque duces robore praecipuos; Tarchaniotam scilicet Nicephorum, nomen gerentem meritis idoneum, regii insignitum pincernae officio, (8675) domesticique magni gerentem vices; Strategopulum strenuum Alexium; filium praeterea magni domestici, Palaeologum Michaelem, decus iuvenum; postremo Macrinum et Tyrannum Budelum. (8680) his ducibus stipatus atque exercitu Thessalonicam contulit se in urbem; atque illinc pergens ad Bodenum castrum defixit regium tentorium, diuque moenia perstans oppugnabat. (8685) sed Theodorus evolarat arce, ad Michaelem despotam profugiens. mox ad Ostrobi lacum ivit Caesar, exercitumque misit contra despotam. paulo post venit insperatus nuntius (8690) ad comitatum Caesaris, Glabas quidam gratam Castoria referens notitiam; simulque Petraliphas senator nobilis, qui Demetrii Tornicae gener erat, et Michaëlis despotae uxori frater. (8695) ut ergo ad Caesarem pervenit Petraliphas, ipsum exercitumque

αὐτόν τε χαρᾶς ἐμπιμπλᾷ στράτευμά τε·
εὐθὺς προσερρύη γὰρ ἡ Καστορία
καὶ τὰ πέριξ ἅπαντα σὺν Δεαβόλει.
καὶ Γολεάμος Ἀλβανῶν εἷς ἐντίμων,
αὐτανεψιὰν Εἰρήνης βασιλίδος
σύνευνον αὐχῶν, εἰς ὅμηρα φιλίας,
γράμμασι πεισθείς, αὐτεπάγγελτος φθάνει.
οὕσπερ κρατάρχης εὐμενῶς δεδεγμένος
πολλαῖς ἐδωρήσατο ταῖς εὐποιίαις.
ταῦτ' ἄρα μαθὼν Μιχαὴλ ὁ δεσπότης
ἔπεμψε πρέσβεις, ποιμένα Ναυπακτίων,
Μαλιασηνὸν εὐγενῆ καὶ Λαμπέτην,
πρὸς τὸν κρατοῦντα, καὶ τιθοῦσι συμβάσεις·
καὶ παραχωρεῖ Μιχαὴλ τοῦ Πριλάπου
Βελεσσοῦ Κροῶν ἀστέων στεφηφόρῳ,
εἶτ' ἀσφαλεῖς τίθησιν ὅρκους ἐγγράφως.
καὶ Μιχαὴλ πέπομφεν ἄναξ δεσπότῃ
δι' ἀρχιθύτου Φωκᾶ Φιλαδελφείας,
Ἰσακίου Δούκα τε καὶ Ὑαλέα,
οἳ πρὸς Λαρίσσῃ Μιχαὴλ εὑρηκότες
σπονδὰς πεπληρώκασι καθάπερ δέον.
ἔπειτα παῖδα τοῦδε τὸν Νικηφόρον
παραλαβόντες, καὶ μετ' αὐτοῦ δ' αὖ πάλιν
τὸν Ἄγγελον δέσμιον ὡς φαυλεργάτην,
αὖθις ὑποστρέφουσι πρὸς βασιλέα.
τιμᾷ δ' ὁ κρατῶν ἄξια τοῦ δεσπότου
τὸν τοῦ Μιχαὴλ παῖδα τὸν Νικηφόρον.

implevit gaudio: ait enim ilico deditam Castoriam cum territorio cuncto et cum Deaboli. Goleamus etiam nobilis Albanus, (8700) reginae Irenes neptem in matrimonio habens desponsam, invitatus literis lubens ad pacem confirmandam venit. quos omnes Caesar benivole exceptos multis ornavit ultro beneficiis. (8705) ubi haec rescivit Michaël despota, misit legatos, Naupacti episcopum, nobilem Maliasenum ac Lampetem, qui condiciones firmarunt cum Caesare. igitur Michael Prilapum concessit, (8710) Belessum, Croas, dicioni Caesareae. postea subscriptas misit condiciones ad Michaelem despotam imperator per Phocam episcopum Philadelphiae, Isaacium Ducam et Hyaleam; (8715) qui Michaeli Larissae occurrentes pacis negotium rite transegerunt; atque abducentes illinc Nicephorum despotae filium, cum eoque pariter qui rebellarat Angelum captivum, (8720) ad Caesarem legati remearunt, cui Michaelis hunc filium Nicephorum despotae dignitate ornare placuit.

Οὕτω περάνας τὰ πρὸς ἑσπέραν κράτωρ,
κἀν τοῖς Βοδηνῶν παραχειμάσας τόποις,
ἦρος φανέντος καταλιπὼν αὐτόθι
πλεῖστον στρατιᾶς, σὺν ὁπλίταις μετρίοις
βλέψων ἀπῄει προσρυέντα φρουρίων.
ἀφῖκτο λοιπὸν εἰς Λυχνιδὸν τὴν πόλιν,
ἔβλεψε Δεάβολιν καὶ Καστορίαν.
ἐλθὼν δ' ἐκεῖθεν, ἀναλαβὼν δυνάμεις,
Θεσσαλονίκην παραμείψας τ' αὖ πόλιν,
ἔνθα δικαστήριον ἀθροίσας μέγα,
κριτάς τ' ἐν αὐτῷ καὶ δικαστὰς καθίσας,
προὔθηκεν ἐξέτασιν ἀστάτου λόγου,
ὃν Μαγκλαβίτης Νικόλαος ἐκ φθόνου
ἐν τοῖς Βοδηνοῖς βασιλεῖ σκηνουμένῳ
ἐξεῖπε λάθρα κατὰ Κομνηνιάδου
κλήσει Μιχαήλ, Παλαιολόγων γένους.
ὁ δ' εἶχεν ὧδε, συντεμόντα με φράσαι.
ἐπεὶ γὰρ ἐκλέλοιπε Τορνίκης βίον,
ὅστις προσῆκε Μιχαὴλ κατὰ γένος,
ἦν βαρυθυμῶν καὶ σκυθρωπάζων ὅδε,
πενθῶν στέρησιν συγγενοῦς ἀνδρὸς τάχα.
ἅπερ δ' ἐπὶ τούτοις γε φιλεῖ συντρέχειν,
"ὅτου χάριν" ἔφη τις "ἡγεμὼν στένει;"
ὁ πεῦσιν ἀκούσας δὲ τἀληθῆ λέγει,
αἴτιον εἶναι Τορνίκη φράσας μόρον.
ὁ δ' ἀνανεύσας ὠδίνει πονηρίαν,
κἀκεῖνα φάσκει κατὰ Παλαιολόγου

Hesperiis rebus sic Caesar dispositis, atque Bodenis hieme transacta, (8725) veris sub ortu reliquit ibidem plerasque copias; ipse concomitantibus paucis armatis castra nuper dedita invisit. venit ad urbem Lychnidum, spectavit et Deabolin ac Castoriam. (8730) moxque reversus, exercitu recepto, Thessalonicam denuo migravit, ubi senatu celebri coacto delectisque quaestoribus ac iudicibus instituit quaestionem de dubio crimine, (8735) quod manclavites Nicolaus invidus apud Bodenos ad Caesarem detulerat clam Comneniadem contra Michaelem, Palaeologorum genitum familia; cuius negotii seriem brevi evolvam. (8740) postquam Tornices vitam dereliquit, qui Michaelem genere attingebat, hic erat maestus facieque tristi, cognati viri dolens desiderio. ut autem his in rebus haud raro evenit, (8745) rogabat quidam "cur dux noster gemit?" porro is qui audiebat respondit vere, causam maeroris esse Tornicae fatum. ille prior negans parturit malitiam, eaque dicit contra

ἃ μηδ' ἐπὶ νοῦν ἐμβέβληκε παράπαν
μήτ' οἶδεν εἰπεῖν ἢ γινώσκειν συνόλως,
νοῦς δ' ὑπέτεινε βασκάνῳ συνηγόρῳ,
ὡς δῆθεν ἐν νῷ συστρέφει κακουργίαν
γνώμην τ' ἀποστάτιδα Παλαιολόγος,
καὶ βούλεταί γε πρὸς γάμου κοινωνίαν
λαβεῖν ἀδελφὴν Καλλιμάνου τὴν Θάμαρ,
εἶτα κατασχεῖν καὶ Μελενίκου πόλιν
σὺν τοῖς πέριξ ἅπασι φρουρίοις τόποις.
κἂν τοῦτο συμβῇ, φεῦ τόποις τοῖς ἐνθάδε
τοῖς ἄρτι κατάστασιν εὖ σχοῦσιν ἔφη.
ἀποκριθεὶς δ' εἴρηκεν ἅτερος τάδε
"ἑταῖρε, κἂν γένοιτο τοιοῦτον, φίλε,
οὐ χεῖρον' ἔσται τὰ καθ' ἡμᾶς καὶ πάλιν·
ἐν Θεσσαλονίκῃ γὰρ ἡγεμὼν ἔνι
Παλαιολόγος ἐν δομεστίκοις μέγας,
ἐν δ' αὖ παρ' ἡμῖν Μιχαὴλ τούτου γόνος
ἐπιστατεῖ χώρας τε καὶ τῶν πραγμάτων·
ὥσθ' ὑπὸ τούτοιν τὰ καθ' ἡμᾶς ἠγμένα
οὐ κοσμικὴν ἂν καθυποσταίη ζάλην."
ἐκ τῶνδ' ἀναστὰς ἅτερος Μαγκλαβίτῃ
τὰ θατέρῳ πέφρακεν ὡμιλημένα·
Μαγκλαβίτης δ' αὖ βασιλεῖ καταλέγει.
κατασχεθέντες τοιγαροῦν ἄνδρες δύο
οἱ καθ' ἑαυτοὺς τὸν λόγον δεδρακότες
ἐπυνθάνοντο τῶν λελεγμένων χάριν·

8766 *ἐν*] *ὁ*?

Palaeologum (8750) quae prorsus ille mente non revolverat, nedum verbis attigerat aut notitia. hinc accusator invidus putabat mala consilia mentemque apostaticam versare secum et alere Palaeologum; (8755) et praeterea coniugium eum ambire Thamaris, Callimani sororis; mox occupaturum Melenici urbem cum vicinis munitis locis; quod si fiat, inquit, vae terris nostris (8760) quae sunt recente vix pace compositae. alter respondens loquebatur ita "o sodes, etiamsi forte haec eveniant, res nostra publica peius non habebit: Thessalonicae etenim moderator (8765) magnus est domesticus Palaeologus, apud nos autem filius eius Michael res et provinciam magistratus regit; quare res nostrae, talibus praesidibus, magnis iactari incommodis haud poterunt." (8770) iam hunc sermonem alter colloquentium ad manclavitae detulit notitiam: is autem Caesarem conscium rei fecit. quamobrem comprehensi viri duo, quos habuisse scripsimus colloquium, (8775) interro-

καὶ τῶνδ' ὁ μὲν συνεῖπε τὸν λόγον φάναι,
πλὴν ἀφ' ἑαυτοῦ, μηδενὸς συνειδότος,
κατήγορος δ' ἔφασκε καὶ συνειδότος
τούτου Μιχαὴλ Παλαιολόγου φάναι.
ὁ δ' ἀντέβαινεν ἰσχυρῶς ἀντιλέγων.
καὶ λοιπὸν ηὐτρέπιστο τούτου δὴ χάριν
στρατηγική τις ἀπόδειξις ἐκ μάχης.
ἑκάτερος γοῦν ὁπλίτης δεδειγμένος
εἰσῆλθε τὸ στάδιον ἱππεὺς λογχίτης,
εἶτα συνεπλάκησαν ἄμφω πρὸς μάχην.
καὶ τὴν νίκην κατήγορος κομίζεται,
ῥίψας τὸν ἀνθάμιλλον ἀφ' ἵππου κάτω.
καὶ πάλιν ἠρωτᾶτο τοῦ λόγου χάριν,
ὁ δ' ἐμμένων ἦν τοῖς πρὶν οὐχ ἧττον λόγοις,
ἀθῷον εἶναι Μιχαὴλ φάσκων λόγου.
ὅθεν κατακέκριτο θανεῖν ἐκ ξίφους.
δεθεὶς οὖν καὶ καλυφθεὶς τὰ φάη
ἀπήγετ' εἰς θάνατον ἀδίκῳ κρίσει,
προὔτεινεν αὐχένα δὲ δέξασθαι μόρον.
καὶ πάλιν ἠρωτᾶτο παρὰ δημίου·
ὁ δ' ἀμετακίνητος ἦν δεδογμένων,
ὅρκοις ἀθῷῶν Μιχαὴλ φρικαλέοις.
ἀλλ' οὗτος ἐρρύσθη μὲν ἀδίκου μόρου,
καθειργμένος δὲ φυλακὴν ὑπεισέδυ·
ἡ δ' ἐξέτασις καὶ βάσανος τοῦ λόγου
πρὸς τὸν Κομνηνὸν Μιχαὴλ μετηνέχθη.

8792 κατακαλυφθεὶς?

gantur quidnam inter se dixerint. atque horum unus sic se locutum fassus est, sed sponte sua addidit, conscio nemine. at accusator affirmabat conscio dicta haec fuisse Michaele Palaeologo. (8780) ille constanter contra pernegabat. tum militari more fit decretum, rem cognoscendam esse per duellum. uterque igitur cum lorica et galea venit in stadium eques, hastam tenens; (8785) et mox conserto valido duello accusatori arrisit victoria, qui proturbavit adversarium equo. tunc iste eadem super re rogatur; qui superiore constans in sermone (8790) rei Michaelem inscium affirmat: quamobrem gladio decollandus traditur. statimque vinctis manibus, velatis oculis, iudicio iniusto ad necem ducebatur. sed cum cervicem iam offerret ictui, (8795) interrogatur rursus a carnifice. homo constanter adhuc et sancte deierans immunem criminis Michaëlem ait. iniusto tunc subducitur supplicio, traditur tamen carceris custodiae. (8800) quaestio deinde exploratioque criminis

καὶ τόνδε μύδρον χειρίσαι κατηξίουν,
καὶ σκέψιν οὕτως ἀμφιβάλλουσαν λῦσαι·
ὁ δ᾽ ἀντεπῆγε πρὸς κριτὰς πεποιθότως
ὡς εἰ μὲν ἦν τις κατ᾽ ἐμοῦ τάχα λέγων,
πρὸς αὐτὸν ἂν ἠγωνισάμην σὺν ὅπλοις·
κατηγόρου δὲ μὴ παρόντος μοι τέως,
πρὸς τίνα δεῖ με τὴν δίκην καθιστάναι;
εἰ θαυματουργεῖν δ᾽ ἐγκελεύεταί με τις,
ἀλλ᾽ ὢν ἀλιτρὸς οὐ δυνήσομαι τόδε.
ἐνθεὶς δέ τις σίδηρον ἐκκεκαυμένον
πνέοντος ἀνδρὸς χερσὶν ἐψιλωμέναις,
οὐκ οἶδα πῶς ἂν οὐ καταφλέξοι χέρας.
παρὼν δὲ ποιμὴν τῆς Φιλαδέλφου τότε,
λαχὼν δικάζειν καὶ τὰ πρὸς χάριν λέγειν,
τοῦτον Μιχαὴλ παραλαβὼν ἰδίᾳ
τοιαῦτά οἱ δήπουθεν οὐκ εὖ ὡμίλει,
ὡς σὺ μὲν ἀνὴρ εὐγενὴς ὢν τυγχάνεις,
κἀξ εὐγενῶν ἔφυς δὲ πατέρων πάλιν,
καὶ δεῖ σε λοιπὸν τοῦ γένους ἐπαξίως
πάντ᾽ εὖ νοεῖν τε καὶ πέρατι διδόναι·
ἐπεὶ γὰρ οὐ πάρεισι μάρτυρες λόγου,
θείᾳ τε δεῖξει καὶ σαφεῖ τεκμηρίῳ
μύδρῳ χρεὼν ἔλεγχον ἐκτῖσαι, φίλε.
ὁ δ᾽ ἀνδρικῶς ἔφησεν εὐεπηβόλως
"τέθηπα πῶς ἅγιον ᾄδεται μύδρος,
ὅνπερ δέδοικα χειρί μου προσεγγίσθαι
ὡς ἂν ἀλιτρός, ἥπερ ἀνόπιν ἔφην·

in Michaelem vertitur Comnenum; qui ferrum candens tangere iubetur atque ita ambiguam controversiam solvere. hic confidenter respondit iudicibus (8805) "si testimonium quispiam in me diceret, huic ego armis resisterem: nunc accusante nemine, non video contra quem possim iudicio contendere. quodsi patrare iubeor miracula, (8810) homo peccator equidem non potero. iam fervefactum igne si quis ferrum viventis nudis collocet in manibus, nescio cur manus non sit ambusturum." ibi inter iudices sedens episcopus (8815) Philadelphiae, gratificari volens, hunc Michaelem sevocat secreto, et sic cum illo insipienter loquitur. "cum sis tu nobili vir condicione et de nobilibus genitus parentibus, (8820) oportet te pro generis dignitate et cogitare semper et operari. cum ergo testes criminis non adsint, divino te iudicio committas velim, tuique facias per ignem peritiam." (8825) audacter ille et commode respondit "miror cur vectes res sacra dicatur; quem hercle timet manus mea contingere, qui sum peccator, ut antea iam dixi. tu vero sanctus

σὺ δ' ἅγιός τε καὶ θεοῦ θεῖος θύτης,
χερσὶ προσάγων κυρίῳ τὴν θυσίαν·
εἰ γοῦν κελεύεις, ἐνδὺς ἱεραρχίας
σὺ τὴν στολὴν ἅπασαν, ὡς ἔστιν ἔθος,
σιδήρεον πύρωσον ἐν τῇ καμίνῳ,
καὶ τοῦτο λαβὼν τῇ καθαρᾷ χειρί σου
χερσὶν ἐπίθες ταῖς ἐμαῖς ταῖς ἀνάγνοις·
καὶ δὴ θεῷ πέποιθα παντοδυνάμῳ
ὡς θαυματουργήσει σαῖς δυσωπίαις
πληθὺν παριδὼν τῶν ἐμῶν ἁμαρτάδων."
οὕτω Μιχαὴλ ἀρχιθύτης δ' ἀντέφη
ὡς οὗτος, ὦ βέλτιστε, βαρβάρων νόμος,
οὐ Ῥωμαϊκοῖς ἐγκατάγραφος νόμοις,
οὐ κανόσι θείοις τε τῆς ἐκκλησίας
δεκτὸς πέφυκεν, οὐ πατράσιν ἁγίοις,
ἡμῖν δ' ἀγνώς τις βαρβαρικός θ' ὁ τρόπος.
ἡ δ' ὃς Μιχαὴλ προσφυῶς ἐπηβόλως
"οὐκοῦν, μέγιστε ποιμενάρχα κυρίου,
τὰ κατ' ἐμαυτὸν ἐκτελεσθῆναι δέον
ὡς Ῥωμαϊκοὶ διατυποῦσι νόμοι·
εἰ μὲν γὰρ αὐτὸς ἐξέφυν ἐκ βαρβάρων
ἢ βαρβαρικοῖς ἀνατέθραμμαι νόμοις,
τάχ' ἂν δικαίως σφῶν ὑπηγόμην δίκαις·
Ῥωμαῖος ὑπάρχων δὲ κἀκ τούτου γένους
τοῖς Ῥωμαϊκοῖς ὑπαχθήσομαι νόμοις."
οὕτω Μιχαὴλ φαμένῳ τὰ τῆς δίκης

8837 ταῖς σαῖς?

et dius dei sacerdos, (8830) deo sacrificium manibus offerre solitus, si tibi placet, age, captis infulis totaque stola rite convestitus, vectem ardente fervefac camino, tuisque puris manibus sublatum (8835) in meas transfer sordidatas manus. tunc sane spero omnipotentem deum rem tua gratia miram peracturum, dissimulatis interim peccatis meis." sic Michael. respondit autem archipraesul (8840) "est hic, o sodes, barbarorum ritus, Romanis minime legibus adscriptus, neque sacris canonibus ecclesiae receptus unquam neque sanctis patribus; quare insuetus nobis hic mos barbaricus." (8845) recte respondit Michael sciteque admodum "igitur, o maxime dei pontifex, me meo iure agere sit aequum, atque ut Romanis legibus praecipitur. nam si parentibus natus essem barbaris (8850) atque barbaricis innutritus legibus, iuste, ut opinor, ad hoc ius compellerer: nunc cum Romana stirpe sim creatus, Romanis volo disceptare legibus." sic Michaelem sibi patrocinantem

ἀνεῖται τηνικαῦτα πρὸς βασιλέως·
ὅμως παρεῖχεν οὐ μικρὰν ὑποψίαν.
πέμπει τὸ λοιπὸν χαριτώνυμος κράτωρ
τοῦτον πρὸς υἱὸν καὶ διάδοχον κράτους
καὶ ποιμενάρχην Μανουὴλ Βυζαντίδος·
οὗτος γὰρ ἦρχε τηνικαῦτ' ἐκκλησίας.
ὁ δ' ὑποβάλλει Μιχαὴλ φρικαλέοις
ἐπιτιμίοις ἀφορισμοῖς καὶ λέγειν,
ἦ μὴν καθαρῶς εὐνοεῖν τῷ δεσπότῃ
καὶ βασιλεῖ πάντα γε τὸν ζωῆς χρόνον,
μισεῖν τ' ἀποστάτιδα γνώμην ἐκτόπως.
τούτου πραχθέντος βασιλεὺς Ἰωάννης
εἰς συνάφειαν γαμικὴν συζευγνύει
τούτῳ Μιχαὴλ Παλαιολόγων γένους
τὴν Θεόδωραν ἔγγονον τοῦ συγγόνου
τοῦ σεβαστοκράτορος Ἰσαακίου·
καὶ λοιπὸν αὐτὸν εὐμενῶς ἦν προσβλέπων,
καὶ συνέταττεν εὐνοοῦσι γνησίως.
Οὕτω συνηνέχθη μὲν ὑπάρξαι τάδε·
ὁ δ' αὐτοκράτωρ ἧκεν εἰς Νικαέων
μηνὸς περί που τέρμα Φεβρουαρίου,
ἐπὶ κλίνης δὲ καθίσας καθ' ἑσπέραν
παρεῖχεν ἀνάπαυσιν αὐτοῦ σαρκίῳ·
μετὰ βραχὺ δ' εὕρητο πρηνὴς ἐν κλίνῃ,
ἐξαπίνης ἄναυδος, οὐκ ἐπαΐων.
ταῦτ' ἄρα συνέδραμον Ἀσκληπιάδαι,
ἕκαστος συμφέροντες ἄκος τῆς νόσου,

(8855) Caesar tunc quidem dimittendum censuit, nec tamen ille gravi suspicione caruit. mittitur ergo a domino gratioso ad filium suum imperii successorem Manuelemque praesulem Byzantii (8860) (hic enim per id tempus ecclesiae praeerat), qui perquam gravibus Michaelem minis canonicisque iussibus cogit dicere se vere domino bene velle Caesari, fidemque in omni vita servaturum, (8865) atque ab apostasia prorsus alienum fore. peractis his Ioannes imperator matrimonii copulat consortio huic Michaeli stirpe Palaeologo Theodoram neptem germani sui, (8870) sebastocratoris scilicet Isaacii; iamque eum benigno respiciebat vultu, atque amicorum habebat in numero.

Hic fuit dicti exitus negotii. postea Nicaeam ivit imperator, (8875) ferme sub mensis finem Februarii. vespere porro lectulo decumbens corpusculi quieti indulgebat: paulo post subito pronus in culcitam mutus inventus est et nihil audiens. (8880) quamobrem accurrentes Asclepiadae morbo medelam variam adhibebant, et pedes etiam

πρὸς δ' αὖ ἀμυχὰς ἐν ποσὶ τεθεικότες,
τἄλλά τε δρῶντες ὧν διδάσκαλος τέχνη.
ἀλλ' οὐδὲν ἧττον ἡμέραν εἰς δευτέραν
ὑπῆρχεν ἀκίνητος ἄφωνος κράτωρ,
ἐμπληξίας νόσῳ γε συνεσχημένος.
νόσου δὲ μικρὸν ῥαΐσας πλὴν δυσκόλου
εἶχε χρόαν σώματος ἠλλοιωμένην.
ἀφῖκτο λοιπὸν εἰς βασιλείους δόμους
τοὺς ἐν Νυμφαίῳ, καὶ βραχὺν βιοὺς χρόνον
ἀπῆλθε πρὸς κύριον, ἐκλιπὼν βίον,
ἄναξ ἀγαθὸς καὶ στρατηγὸς γεννάδας,
πρὸς δυσὶν ἑξήκοντα βιώσας ἔτη,
ἐξ ὧν κατῆρξε πρὸς τριάκοντα τρία.
ἐπεὶ δ' ἐτετρύχωτο χαλεπῇ νόσῳ,
ἐπιπολάζων τοῖς τόποις ἦν Νυμφαίου,
κατὰ διαστήματα πάσχων τοῦ χρόνου·
ἐν παλατίῳ διάγων γὰρ ἔσθ' ὅτε
ἐπὶ κλίνης ἄναυδος ἦν ἐρριμμένος·
ἐνίοτ' αὖθις ἱππότης δεδειγμένος
ἐκινδύνευεν ἐκπεσεῖν ἐφεστρίδος,
εἰ μὴ παριππεύοντες ἀντεῖχον νέοι·
εἶτα καθεστὼς τὸ φρόνημα λαμβάνων,
βάδην ὑπῆρχεν εἰς δόμους ὑποστρέφων
ἢ καὶ φοράδην τοῖς ὑπηρετουμένοις.

punctim vellicabant, promentes artis omne magisterium. nihilo tamen minus iam die secunda (8885) immobilis mutusque iacebat Caesar, sensibus cunctis morbo consopitis. mox aliquantum reviguit, quanquam corpusculo defluxerat omnis color. quare defertur in Nymphaei regiam, (8890) ubi sat brevi tempore superstes, postea defunctus ad dominum abiit, rex sane bonus et fortis imperator, qui annis duobus supra sexaginta vixit, in imperio triginta tribus. (8895) is postquam gravem incidit in morbum, circa Nymphaei regiam diversans ex intervallo deficiebat animo. interdum enim in palatio degens loquela in lecto carens recumbebat: (8900) interdum etiam equitans in publico, lapsurus erat cernuus ephippio, ni adequitantes subvenissent iuvenes; et mox erectus, spiritu recepto, revertebatur pedibus in regiam, (8905) vel gestatus a famulis in sellula.

Θεόδωρος Δούκας ὁ Λάσκαρις ἔτη γ' Ϛ'.

Οὕτω τὸ βιοῦν ἐκμετρῶν Ἰωάννης
Θεόδωρον κληροῦχον ἀρχῆς καὶ κράτους
τὸν παῖδα κατέλιπεν, ἐκ Λασκαρίων
τοὐπώνυμον φέροντα τῶν προπατόρων,
ἄγοντα τριάκοντα τοῦ βίου χρόνους
πρὸς τρισὶν ἄλλοις, ὡς ἔφασαν εἰδότες·
ὃς αὐτοκράτωρ βασιλεὺς ἐπ' ἀσπίδος
ἀναγορευθεὶς κατὰ κρατῆσαν ἔθος,
εὐθὺς ἀπάρας ἀπὸ χώρου Νυμφαίου
τὴν Φιλαδέλφου καταλαμβάνει πόλιν,
ἀφ' οὗ βεβαιοῖ τὰς πρὸς σουλτὰν συμβάσεις·
κἀκεῖθεν ἐλθὼν εἰς Νικαέων πόλιν
βασιλικῆς ἔτυχε τῆς εὐφημίας.
εἶτ' ἀρχιθύτας ἀλίσας πανταχόθεν
κλήρου τε παντὸς τοὺς λογάδας ὡς δέον
σὺν τοῖσδ' ἐδίφα προστάτην ἐκκλησίᾳ,
τοῦ ποιμενάρχου Μανουὴλ τεθνηκότος
πρὶν ἢ θανεῖν ἄνακτα μησί που δύο.
ἔσπευδεν οὖν ὡς ταινιωθεὶς τῷ στέφει
ἐπιστρατεύσει τοῖς κατὰ δύσιν τόποις
πάσχουσι κακῶς πρὸς Μιχαὴλ Βουλγάρου,
ὃν Ἀγγέλου παῖς ἀπέτικτεν Ἀσάνῃ·
μαθὼν γὰρ οὗτος τὸν μόρον βασιλέως
σφοδρῶς ἐπῄει Ῥωμαϊκοῖς φρουρίοις
τοῖς κατὰ δύσιν κειμένοις καὶ χωρίοις.
ἄλλων παρ' ἄλλων τοιγαροῦν καλουμένων

Theodorus Ducas Lascaris an. 3 mens. aliquot.

Sic vitae termino Ioannes imposito heredem dignitatis et imperii filium reliquit Theodorum Lascarim, cognomen id habentem a maioribus, (8910) annos tunc natum tres supra triginta, ut tradiderunt temporum periti. hunc more solito clypeo sublatum imperatorem salutavit populus; isque Nymphaei regia profectus (8915) Philadelphiam sine mora accessit, ubi cum sultano foedus confirmavit. illinc Nicaenam progressus in urbem regium plausum audiit sollemniter. mox congregatis undique pastoribus (8920) praecipuaque rite cleri parte cum his de summo praesule deliberabat, quoniam Manuel patriarcha obierat mensibus ante Caesarem duobus. atque id urgebat, ut accepto stemmate (8925) in occidentem iret cum exercitu, res ibi turbante Michaele Bulgaro, quem ex Asane ediderat filia Angeli. Caesaris enim hic audito obitu nostra incursabat graviter castella (8930) Hesperiisque nocebat provinciis. itaque aliis alios eligentibus ad patriarchae summam

εἰς ποιμεναρχίαν τε καὶ προεδρίαν,
ἡ δόξα κοινὴ Βλεμμύδην Νικηφόρον
προστασίας ἄξιον εἶναι προυτίθει,
ἄνδρ' ἀρετῇ τε συνέσει κεκασμένον,
ἴδριν σοφίας παντοδαπῆς καὶ λόγων,
καὶ τῶν κατ' αὐτὸν οὐδενὸς λελειμμένον,
τετρακτύος διδάσκαλον μαθημάτων,
φιλούμενον φιλοῦντα πρὸς βασιλέως,
διδάσκαλον φανέντα τῷδε τῶν λόγων,
παιδείας ἄλλης καὶ καλῶν διδαγμάτων.
καὶ βασιλεὺς οὐχ ἧττον ἠγάπα τόδε.
ἔσπευδεν οὐκοῦν τόνδ' ἐνιδρῦσαι θρόνῳ,
πεῖραν προσάγων, προστιθεὶς τι καὶ βίας.
ὡς δ' εἶδεν οὐ θέλοντα τὴν προεδρίαν,
τρόπῳ δὲ παντὶ μηδ' ὅλως πεπεισμένον,
ἐπὶ μοναχὸν Ἀρσένιον ἐτράπη,
ἀσκοῦντ' Ἀπολλωνιάδος κατὰ λίμνην,
πεῖραν ὀλίγην γραμμάτων κεκτημένον,
ἐπιπολαίως γραμματικῆς ἡμμένον,
ἄλλων δ' ἄγευστον ἐγκρίτων μαθημάτων.
τοῦτον μετεστείλατο ταχέως κράτωρ,
καὶ δὴ παρόντα πατριάρχην δεικνύει,
καὶ ποιμενάρχαις ἐγκελεύεται τάχος
ἅπαντ' ἐπ' αὐτῷ τὰ κατὰ νόμους δρᾶσαι·
ὃν καὶ τελοῦσιν ἐν τρισὶ τόνδ' ἡμέραις

8933 hic est cuius orationem de regis officio, ad Theodorum imperatorem scriptam, ego nuper edidi in coll. Vat. volumine secundo. M.

dignitatem, communis tandem Blemmydam sententia Nicephorum honore dignum censuit, (8935) virum virtute et mente praestantissimum, omni exornatum doctrinarum genere suaeque aetatis nemini secundum, disciplinarum omnium magistrum, et summo amore Caesari devinctum, (8940) cui literas discenti praeceptor fuerat, nec non ad alias pulchras disciplinas. mire ergo Caesari placebat electio, qui hunc ad sacrum solium vocabat haud preces solum sed vim quoque adhibens. (8945) sed repugnantem dignitati cernens, neque se omnino patientem flecti, ad monachum Arsenium suffragium vertit, degentem prope lacum Apolloniadis, nulla propemodum praeditum doctrina, (8950) unius leviter conscium grammaticae, gravium prorsus scientiarum expertem. atque hunc accitum festinatim Caesar, iamque praesentem, patriarcham eligit; pastoribusque praecipit, celeriter (8955) ipsum ordinibus initiarent sacris; qui tridui spatio consecrant Arsenium diaconum presbyterum et episco-

διάκονόν τε καὶ θύτην καὶ ποιμένα.
παρ' οὗ βασιλεὺς ταινιωθεὶς τῷ στέφει,
ὡς εἶχεν ἐξώρμησεν εὐθὺς πρὸς δύσιν,
πορθμὸν διαβὰς ναυσὶν Ἑλλησποντίων.
καὶ καταλαβὼν Ἀδριανοῦ τὴν πόλιν
ἐν τῇδε διήγαγεν ἡμέραν μίαν·
εἶτ' ἐκστρατεύει πρὸς τὰ Ῥοδόπης μέρη
κατὰ Μιχαὴλ Βουλγάρων ἀρχηγέτου
σὺν στρατιᾷ καθ' Ἕβρον ἐσκηνημένου·
ὃς εἷλε Στενίμαχον Τζέπαιναν Οὔστραν
Κρυβοὺς Περπεράκιον καὶ Περιστίτζαν,
Ἐφραὶμ Κριτζιμόν, Ἀχριδοῦ πάντα τόπον,
ὑπήκοα φρούρια τῇ Ῥωμαΐδι.
οὕτως ἐπιόντος δὲ κρατάρχου δρόμῳ,
ὁ Μιχαὴλ γνοὺς ἐκ κατασκόπων δρᾶμα
φυγὰς ἀπιὼν ᾤχετο πρὸς πατρίδα
αὐτός τε καὶ στράτευμα διὰ δυσπόρων
συνηρεφῶν τρίβων τε καὶ δυσεκβάτων.
εὑρὼν κενὸν δ' ἕωθεν ἄναξ τὸν τόπον
ἐπὶ Βερρόην ἧκε τὴν ἐν γειτόνων·
ἑλὼν δὲ ταύτην καὶ σκυλεύσας τὰ πέριξ
εἰς Ἀδριανοῦ τὴν πόλιν ὑποστρέφει
μετὰ λαφύρων ἀμυθήτων τε σκύλων·
ἀφ' οὗ πεπομφὼς στρατιὰν ὅτι τάχος
πόλεις παρεστήσατο τὰς ἀποστάσας.
καὶ βασιλεὺς δ' ἔξεισι κατὰ Ῥοδόπης,

8965 *κατ' εὖρον* V

pum; a quo imperator corona redimitus in occidentem protinus discedit, (8960) Hellespontiacum navibus fretum transiens. atque Hadriani delatus ad urbem, ibi vix uno demoratus die castra promovit Rhodopem versus contra Bulgaricum principem Michaëlem, (8965) qui cum exercitu ad Hebrum morabatur, Stenimachum ceperat, Tzepaenam Ustram Cribos Perperacium et Peristitzam, Ephraemum Critzimum, cunctam Achridem, quae nobis arces antea parebant. (8970) nunc de irruente celeriter Caesare ab explorante Michael admonitus, fuga se statim rettulit in patriam ipse cum copiis, per locos difficiles perque dumosos sine calle saltus. (8975) mane cum vacuum locum repperisset Caesar, propinquam pervenit ad Berroen; qua capta, agroque proximo direpto, Hadrianopolim semet recipiebat non sine multis spoliorum divitiis. (8980) atque illinc misso protinus exercitu recuperavit urbes apostaticas. ipse perrexit imperator ad Rhodopen Stenimachumque Peri-

καὶ Στενίμαχον Κρυτζιμὸν Περιστίτζαν
ἐπανασώζει κράτει τῶν Αὐσόνων·
ἔμεινε δ' ἀνάλωτος Τζέπαινα μόνη
διά τε κρυμὸν καὶ τόπου δυσχωρίαν.
ἦρος δ' ἐπιλάμψαντος αὐτίκα γράφει
ἄναξ στρατηγοῖς τοῖς κατὰ Σέρρας πόλιν,
τῷ Στρατηγοπούλῳ καὶ Τορνικίῳ,
μετὰ στρατιᾶς προσβαλεῖν τῇ Τζεπαίνῃ.
ἐξῄεσαν οὖν παρὰ τόνδε τὸν τόπον·
εἶτ' οὐκ ἰδόντες στρατιὰν ἐναντίων,
οὐχ ὁπλίτας ἰόντας εἰς μάχην ὅλως,
φύλλων δὲ κτύπων καὶ ψόφων ᾐσθημένοι,
ᾤχοντ' ἀκόσμως, ἐν φυγῇ λελοιπότες
ἵππους πανοπλίας τε καὶ σκευὴν ὅλην
τοῖς ἱπποφορβοῖς καὶ συβώταις Βουλγάρων·
ὃ γνωσθὲν ἠνίασεν ἄνακτα λίαν.
οὐχ ἧττον ἠνίασεν εἰσπεσὸν πάλιν
λυποῦν τι κακὸν Δραγωτᾶς ἐκ Βουλγάρων,
ἄρχων στρατιᾶς τῆς κατὰ Μελενίκον,
ὅστις ἀποστὰς καὶ στρατὸν συναλίσας
κατατρέχων ἦν τὰ πέριξ Μελενίκου,
ἄστυ δὲ συνέκλεισε πορθῆσαι θέλων.
ἤκουστο ταῦτα βασιλεῖ στρατηγέτῃ,
καὶ τὴν ταχίστην, ἀετός τις καθάπερ
ὤκιστος, ἔπτη πρὸς Μελενίκου τόπους
μετὰ στρατιᾶς καὶ στρατηγῶν ταγμάτων,
καὶ καταπλήξας στρατιὰν ἐναντίων

8984 *τῷ κράτει?* 8989 *τῷ τε?*

stitzam Crytzimum Romano rursus addidit imperio. (8985) una Tzepaena perstitit invicta ob loci asperitatem atque hiemis. sed vere exorto statim dedit literas ad duces Caesar Serris demorantes, Strategopulum et Tornicium, (8990) ut cum exercitu quaterent Tzepaenam. illi ad hunc agmine tendentes locum, cum nec vidissent hostilem exercitum neque ruentes in proelium armatos, foliorum tantum sonitu perterriti (8995) turpiter diffugerunt, abiectis etiam equis et armis et sarcina universa, quae praeda cessit armentariis Bulgaris. rem autem Caesar tulit aegerrime. nec minus aliud superveniens malum (9000) se[illegible]t, Bulgarum Dragotam, nostras regentem Melenici copias. rebellans enim congregato exercitu populabatur Melenici fines ipsamque urbem obsidens premebat. (9005) audiit hoc in castris imperator, atque volatum aquilae aemulatus viae compendio pergit Melenicum cum suis copiis ordinumque

αἰφνιδίῳ τε καὶ στρατιᾶς τῷ στίφει
ἐτρέψατο σφᾶς εἰς φυγὴν κατὰ κράτος,
κτείνων διώκων, αἰχμαλώτους λαμβάνων,
ὡς ἐκ τοσούτων ἐκφυγεῖν βραχεῖς μόρον
καὶ πρὸς Μυσίας διασωθῆναι μέρη.
ὁ δ' αὖ Δραγωτᾶς συμπατηθεὶς ἀθλίως
ἵππων ποσὶν τέθνηκεν ἐκλιπὼν φάος.
Οὕτω βασιλεὺς διαθεὶς πάνθ', ὡς δέον,
καὶ τὰς ἀπίστων γαμετὰς καὶ τεκνία
πόρρωτάτω θεὶς ἄστεος Μελενίκου,
ἐκεῖθεν ἧκεν εἰς Θεσσαλονικέων·
ἀφ' οὗ περάσας Ἀξιὸν βαθυδίνην
ἄστυ Βοδηνῶν ὑδατόρρυτον φθάνει,
ἔνθα νοσήσας κοιλιακόν τι πάθος
μικρόν τι χώρῳ προσμένει τούτου χάριν.
εἶτα ῥαΐσας ἄστυ Πριλάπου βλέπει.
οὗ διαγαγὼν οὐκ ὀλίγας ἡμέρας
ἐπιστρατεύει Βελεσῷ τινὶ πόλει,
καθαιρετικὰς μηχανὰς ἐπηγμένος·
ἥνπερ παρεστήσατο τῇ συμφωνίᾳ
τοῦ μή τι παθεῖν ὅρκον εἰσδεξαμένων
τῶν ἔνδον ὄντων καὶ προδόντων τὴν πόλιν.
ἅπαντα τοίνυν εὖ διαθεὶς φρουρίου
διὰ Ναυτζαπόλεως ἀνύδρου τόπου
σὺν ἀπορίᾳ καὶ ποτῶν καὶ βρωμάτων
εἰς Σέρρας ἧκε τληπαθῶς πλὴν τὴν πόλιν.

ducibus; perterritoque hostium exercitu (9010) subito adventu militumque numero, fugam ingentem atque cladem edidit, persequens, caedens, captivos intercipiens, ut pauci ex tot interitum vitaverint, qui fuga in Moesiae partes evaserunt. (9015) Dragotas autem proculcatus misere equorum pedibus vitae rupit filum.

His Caesar actis ex animi sententia, et defectorum feminis ac liberis alio translatis, procul Melenico, (9020) Thessalonicam illinc est reversus. unde transmisso Axio profundo Bodenos venit aquis abundantes: ubi laborans ventris doloribus, paulum propterea substitit in urbe. (9025) mox recreatus Prilapum invisit, ubi non paucis perstitit diebus. deinde transiit ad Belesum oppidum, contra quod machinis bellicis directis, in deditionem mox cives accepit, (9030) qui obtenta ne quid paterentur fide semet ac oppidum permiserunt Caesari. quamobrem arci imposito praesidio, per Nautzapoleos aridam regionem, aqua laborans atque commeatu, (9035) aegre pervenit tamen ad urbem Serras. ubi ex

ἔνθα γραφὴν δέδεκτο πρὸς τῶν ἒξ ἔω
ὅτι τὰ Τούρκων πρὸς Ταχαρίων ἔθνους
κυμαίνεται νῦν καὶ ταράσσεται πάλιν.
ταῦτα διαγνοὺς συντεταμένῳ δρόμῳ
πέφθακεν Ἕβρον τὸν ποταμὸν ἐν τάχει·
οὗ μήνυμα γνοὺς ἀτρεκὲς μὴ τυγχάνειν,
τρίβου παρεκκλίνας τι καταλαμβάνει
Διδυμότειχον ὠνομασμένην πόλιν,
εἶτα κυδίστην Ἀδριανοῦ τὴν πόλιν.
καὶ πάλιν ἐστράτευσε κατὰ Τζεπαίνης·
καὶ μηδ' ὁτιοῦν δεδρακὼς ὑποστρέφει
κατὰ Διδυμότειχον ἀσφαλῆ πόλιν·
ἔνθα λελοιπὼς στρατιὰν οὐ μετρίαν
καὶ ταγματάρχας καὶ φύλακας φρουρίου,
Μανουὴλ τὸν Λάσκαριν καὶ Μαργαρίτην,
ἀγροῖκον ἄνδρα, πιτύροις τεθραμμένον,
ἐκ Νεοκάστρων σειρὰν ἕλκοντα γένους,
καὶ νουθετήσας σφᾶς δέοντα πρὸς μάχας,
ἐκεῖθεν ἄρας Ἑλλήσποντον διέβη
καὶ σκηνὰς αὐτοῦ πηγνύει πρὸς Λαμψάκῳ,
καὶ τοὺς ὑφ' αὐτὸν ἀξίαις ὑπερτάταις
τιμᾷ κυδαίνει δωρεάς τε προσνέμει.
Γεώργιον μὲν Μουζάλωνα τοὐπίκλην
πρωτοβεστιάριον ἀναδεικνύει,
πρωτοσεβαστόν, στρατοπεδάρχην μέγαν·
Ἀνδρόνικον δὲ σύγγονον τούτου πάλιν

9039 συντεταγμένῳ V

oriente literis perlatis Turcas a gente Tachariorum denuo periclitari intelligit et conturbari. quod ubi Caesar novit, cursu concito (9040) processit sine mora ad Hebrum flumen; ubi rumorem falsum esse intelligens, de itinere suscepto nonnihil devians Didymotichum contulit se in urbem, deinde ad inclytam Hadrianopolin, (9045) et ad Tzepaenam oppugnandam rediit. sed cum nihil proficeret, reversus est ad munitum oppidum Didymotichum; ubi relicto non modico exercitu cum ducibus et oppidi custodibus, (9050) Lascari Manuele, et Margarita nomine rusticano et pulte alito Neocastrisque originem trahente, insuper belli ordine praescripto, illinc discedens Hellespontum transiit, (9055) stationesque Lampsaci constituit; ubi suos duces celsis dignitatibus auxit, ornavit, praemiaque distribuit. Georgium quidem vulgo Muzalonem protovestiarii et simul protosebasti (9060) nec non stratopedarchae or-

μέγαν κατωνόμασεν ἐν δομεστίκοις,
τὸν Ἄγγελον δὲ πρωτοστράτωρα πάλιν.
Ταῦτα δεδρακὼς βασιλεὺς ὑποστρέφει
πρὸς βασιλείους τοὺς ἐν Νυμφαίῳ δόμους·
οὗ διαγαγὼν χειμερινὰς ἡμέρας,
ἦρος φανέντος στρατιὰν συναλίσας
μυριάριθμον, πεζικὴν αὖ ἱππότιν,
Μυσοῖς Ἰταλοῖς συγκροτουμένην Σκύθαις,
μάλιστα πάντων Ῥωμαϊκῇ πληθύϊ,
ὡς πρὸς δύσιν ἔτεινεν ὅρμημα κράτωρ,
καὶ Λάμψακον πέφθακεν Ἑλλησποντίαν,
ἔνθα περ ἔγνω συμφορὰν στρατευμάτων
καὶ τῶν στρατηγῶν τῶν ἐν Διδυμοτείχῳ.
ἐπεὶ γὰρ ἀπῆν βασιλεὺς μακρὰν τόπου,
ὁ Βουλγαράναξ ἐκ Σκυθῶν συναλίσας
χιλιάδας τέτταρας εἴτε καὶ πλέον,
κατὰ Θρᾴκης πέπομφε χωρῶν ἀστέων·
οἳ πρὸς ποταμὸν Ῥηγῖνα κεχυμένοι
ἅπαντ' ἐποίουν Σκυθικὴν ἐρημίαν.
ἔνθα στρατηγοὶ προσταγῆς βασιλέως
οὐκ οἶδα τί παθόντες ἐκλελησμένοι,
ἐπαφιᾶσι τὴν στρατιὰν τοῖς Σκύθαις.
συρρήξεως οὖν συμβάσης ἑκατέροις,
νικῶσαν ἠνέγκαντο βαρβάρων στῖφος,
καὶ κτείνεται στράτευμα Ῥωμαίων ξίφει,
ἁλίσκεται δὲ Μαργαρίτης τοῖς Σκύθαις

navit titulis; huius autem fratrem Andronicum magni donavit officio domestici; Angelum denique fecit protostratorem.

His actis imperator revertebatur (9065) ad suum regale Nymphaei palatium, ubi per hiemis tempora versatus vere appetente exercitum collegit innumerum pedestrem atque equestrem, concretum Moesis Italis atque Scythis, (9070) praecipue tamen viris nostri generis; dirigensque iter in occidentem Hellespontiacam Lampsacum devenit, ubi cladem exercitus intellexit ducumque relictorum Didymotichi. (9075) nam Caesare in longinquis absente locis, rex Bulgarorum conscripta Scytharum milia ferme quattuor aut etiam plura per Thraciae immisit terras atque urbes; qui circa flumen, cui nomen Regina, (9080) vagi palantes omnia corrumpebant. tunc nostri duces, Caesaris mandato nescio quo pacto oblivioni tradito, cum suis copiis aggrediuntur Scythas; et iam utrinque armis concurrentibus (9085) barbara phalanx rettulit victoriam, caesusque noster fuit gladio exercitus: ipse quin etiam Margarites capitur

πολλοῖς συνάμα καὶ πιπράσκεται σφίσιν.
ὃ γνοὺς ὁ κρατῶν κατατάχήσας δρόμῳ
Βουλγαροφύγῳ προσπελάζει φρουρίῳ,
καί τινας εὑρὼν βαρβάρων ἐν Βιζύῃ
ἔργον σπάθης τίθησιν αὐτοὺς καὶ ξίφους.
πλὴν καταλαβὼν τὸν ποταμὸν Ῥηγῖνα,
σκηνὰς ἐκεῖ πήγνυσι καὶ παραμένει.
ἔνθα περ Οὖρον Ῥῶσον ὠνομασμένον
τὸν Παιόνων πέπομφε ῥῆγα Μυσάναξ
πρὸς τὸν κρατάρχην Θεόδωρον Αὐσόνων,
ὡς ἂν ἐρωτήσειε τὰ πρὸς συμβάσεις.
ἀφιγμένος γοῦν Ῥῶσος ὡς βασιλέα,
ὢν πενθερός γε Βουλγάρων ἀρχηγέτου,
καλῶς ἐδέχθη καὶ λίαν φιλοφρόνως,
καὶ συμβιβάσεις ἐκτελεῖ σὺν ὁρκίοις·
αἳ δ' ἦσαν ὡς Τζέπαινα Ῥωμαίων κράτει
πρὸς Βουλγάρων ἄρχοντος ἀφεθῇ πάλιν.
Τούτων βασιλεῖ κατὰ νοῦν πεπραγμένων,
ἄρας ἐκεῖθεν Θεσσαλονίκην βλέπει,
ἔχων μεθ' αὐτοῦ καὶ Μιχαὴλ δεσπότου
σύνευνον ἅμα φιλτάτῳ Νικηφόρῳ,
ὁδοιποροῦντας εἰς περάτωσιν γάμων.
ἤνυστο τοίνυν τὰ τῶν γάμων ὡς δέον,
παῖδα κρατάρχου Μαρίαν Νικηφόρος
κατὰ νόμους σχὼν εἰς γάμου κοινωνίαν·

9096 falli videtur Ephraemius: Acropolita enim dicit hunc Urum Ungariae regis generum, non regem. M.

cum aliis multis, atque a Scythis venditur. Caesar re cognita, subditis calcaribus (9090) ad arcem Bulgarophygum accurrit statim, Bizyaeque nactus aliquot barbaros occidione omnes gladio occidit. verum progressus ad Reginam fluvium tentorium ibi fixit, atque substitit. (9095) atque illuc Urum cognomento Rosum, Paeoniae regem, misit rex Bulgaricus ad Romanum Caesarem Theodorum, ut de integranda pace verba faceret. imperatorem igitur conveniens Rosus, (9100) qui socer erat regnatoris Bulgari, amanter est exceptus et honorifice, iurataeque pacis sunt condiciones, nempe ut Romano Tzepaenam imperio a Bulgarorum denuo concederet.

(9105) Qua re peracta ex animi sententia Thessalonicam illinc Caesar venit, despotae quoque Michaelis habens in comitatu uxorem cum filio suo ob peragendas nuptias, Nicephoro. (9110) ergo nuptiarum celebratur ritus: Caesaris filiam Mariam Nicephorus legitimo coniugio sibi

πλὴν πρόσθεν ἀπέλυσεν Αὐσόνων κράτει
Σέρβια Δυρράχιόν οὗτος δεσπότης,
περὶ γυναικὸς δειλιῶν καὶ φιλτάτου.
Ἐν τοῖσδε διάγοντος ἄνακτος τότε,
γραφήν τις ἐκπέπομφέν οἱ Βιθυνόθεν
διεξιοῦσαν ὡς ἀποδράσας ἔχει
πρὸς Περσίδος γῆν ἡγεμὼν Βιθυνίας,
Παλαιολόγος Μιχαὴλ κομνηνόπαις.
τοῦτ' ἀνακυκᾷ καρδίαν βασιλέως.
ὅμως ἀπιὼν ἐν φυγῇ πρὸς Περσίδα
γράμμ' ἐγχαράττει προστάταις Βιθυνίας,
ἐν ὑπογραφαῖς ἀσφαλισθὲν ἰδίαις,
διαγορεῦον ὡς ἐκεῖνος μὲν τάχα
φεύγει δεδιὼς τὴν σβέσιν τῶν ὀμμάτων,
"αὐτοὶ δ' ἔχεσθε νουνεχῶς τῶν πραγμάτων,
καὶ πάντα δρᾶτε πρὸς φυλακὴν ἀστέων
χώρας τε λοιπῆς" φησί "καὶ στρατευμάτων."
τουτὶ κομισθὲν τὸν κρατάρχην ἥδυνει.
Πλὴν διαθεὶς εὖ τὰ καθ' ἑσπέραν ἄναξ
μετὰ στρατιᾶς ἐκτρέχει πρὸς τὴν ἕω,
λιπὼν στρατηγοὺς κατὰ Θεσσαλονίκην
Μιχαὴλ Λασκάριον, ἄνδρα γεννάδαν,
ἐν δὲ Πριλάπῳ Σκουτέριον Ξυλέαν,
ἐπωνυμίαν ἀτρεκῆ κεκτημένον,
ἐν δ' αὖ Βελεσσῷ τοῖς περικύκλῳ τόποις
φύλακα Θεόδωρον τὸν Καλαμπάκην,
Ἰλλυριῶν δὲ Χαβάρων ἐπιστάτην.

copulat. antea tamen cesserat imperio nostro Dyrrachium Serviorumque castrum (9115) despota, uxori filioque timens.

Dum in hoc Caesar versatur negotio, accipit literas missas ex Bithynia, significantes profugisse ad Turcas Bithyniae rectorem Palaeologum (9120) Michaëlem illum Comnenis natum; quae res turbavit imperatoris animum. cum ille tamen ad Turcas profugeret, schedam Bithyniae scripsit magistratibus, quam propria manu subscribens firmavit, (9125) significans se quidem extorrem ire, ne pateretur oculorum damnum; ceterum ipsi rem prudenter gererent, et custodirent sedulo civitates provinciamque et milites recte regerent. (9130) quae res nuntiata imperatori placuit.

Iamque ordinatis in occidente rebus, ad orientem cum milite excurrit, relicto duce Thessalonicae Lascari Michaele, viro strenuo, (9135) Prilapi autem Scuterio Xylea, congruum sibi cognomen gerente. Belesso imposuit locisque finitimis custodem Theodorum Ca-

πρὸς τοῖσδε Γεώργιον Ἀκροπολίτην
ἄρχοντα πάντων καὶ πρόεδρον δεικνύει,
πρόσθεν τιμήσας τῇ πραίτωρος ἀξίᾳ.
οὗτος ἀφῖκτο πρὸς πόλιν Βερροιαίων,
κἀκεῖσε πρέσβεις προσμένοντας τοῦ πάπα,
εὖ τὰ κατ' αὐτοὺς διαθεὶς ὥσπερ δέον,
ὑποστρέφειν δέδρακε πρὸς τὴν πατρίδα.
εἶτα παρελθὼν φρούριον τῶν Σερβίων,
καὶ Καστορίαν παραμείψας τὴν πόλιν,
δι' Ἀχρίδος πέφθακεν Ἀλβάνου τόπον,
κἀκεῖθεν ἧκεν εἰς Ἐπίδαμνον πόλιν.
κἀκεῖ διαθεὶς τὰ κατὰ νοῦν ὡς δέον,
διὰ Χουναβίας τε καὶ Μάτης τόπων
Κιτζάβεως Δεύρης τε τῶν πολιχνίων,
ὡς εἶχε κατέλαβεν ἄστυ Πριλάπου.
ἔνθα διατρίβοντι κατ' ἄστυ τόδε
δυσάγγελος φήμη τις ἧκεν ἀθρόον
ὅτι περ ἁλοὺς Χαβάρων Κωνσταντῖνος
ἐν καστελλίῳ Κανίνων πρὸς Μαρίας
γυναικαδέλφης Μιχαὴλ τοῦ δεσπότου,
ἐρωτοδέσμαις ἀπατηθεὶς καὶ γάμῳ,
εἱρκτὴν κατακέκριτο κλοιὰ καὶ πέδας·
καὶ τηνικαῦτα Μιχαὴλ ὁ δεσπότης
τὰς πρὸς κρατοῦντα συμβάσεις διαλύσας
χώρας ἐπῄει Ῥωμαϊκὰς σὺν ὅπλοις,
πᾶσάν τε κατέδραμε Πελαγονίαν
καὶ τὸν πέριξ ἅπαντα χῶρον Πριλάπου.

lampacem; Illyrium denique Chabaroni tradidit. (9140) his super, summo dignitatis apice, constituit Georgium Acropolitam, praetoris titulo pridem exornatum. Georgius hic contulit se Berroeam, ubi exspectabant eum legati papae; (9145) quibuscum ex sententia negotium gessit, eosque posthinc dimisit in patriam. deinde accessit ad Serviorum castrum, praeteritoque oppido Castoria per Achrin iter faciens Albanum venit, (9150) atque illinc demum ad urbem Epidaurum; in qua dispositis prout visum est rebus, viam emensus per Chunabiam Matea Citzabin atque Debren, parvas urbes, ut potuit pervenit ad urbem Prilapum. (9155) atque ibi versanti Acropolitae tristis repente rumor est intellectus, Chabaronem scilicet Constantinum in Caninorum conclusum castello, a sorore uxoris Michaëlis despotae (9160) Maria deceptum nuptiis et amore, vinctum teneri ferreis compedibus. interim vero Michaelem despotam, pacis cum Caesare violato iure, dicionem nostram armis concursare, (9165) iamque invasisse cunctam Pelagoniam univer-

τὸ φρούριον λέλειπτο Πριλάπου μόνον,
ὅπερ προδόντων συνέλαβε καὶ τόδε.
Ἀκροπολίτης δ' εὑρεθεὶς ἔνδον τότε,
ἐρύματός τι καταλαβὼν πυργίον
ἐκεῖ διῆγε, καὶ λαβὼν πρὸς δεσπότου
ὅρκια κακῶν ἀπαθῆ πεφηνέναι
καὶ παραπεμφθῆναι δὲ πρὸς βασιλέα,
αὑτὸν παραδέδωκε σὺν τῷ πυργίῳ.
ὁ Μιχαὴλ δ' ἐφορκος ὢν ὁ δεσπότης
δεσμοῖς περιέβαλεν αὐτὸν ἀφύκτοις.
ὁ δ' αὖ Κομνηνὸς Μιχαήλ, οὗ πολλάκις
μνήμην ἐποιήσαμεν ἀνόπιν λόγου,
ὅρκια λαβὼν πιστὰ πρὸς βασιλέως,
πρὸς τόνδ' ἐπανέζευξεν ἐκ τῆς Περσίδος·
ᾧ δοὺς στρατιὰν ἐκ Μακεδόνων ἄναξ
εἰς ἑσπέραν πέπομφε κατὰ δεσπότου.
καὶ καταλαβὼν Θεσσαλονίκην πόλιν
καί που συνελθὼν Μιχαὴλ Λασκαρίῳ
σὺν τῷδ' ἐπῆλθε τὰ μέρη τῆς Βερροίας,
καὶ λείαν ἀπήλασεν ἔνθεν μυρίαν.
τῶν πραγμάτων οὕτω δὲ διακειμένων,
καὶ Τριβαλάρχης, ἡ κάκιστος καρδία,
ἔκσπονδος ἀνὴρ ἀποφρὰς μιαιφόνος,
ὑπὲρ χιλίους στρατιὰν συναλίσας,
τὰ Ῥωμαϊκὰ κατέδραμε χωρία.
ὁ δεσπότης δὲ Μιχαὴλ τὰ πρὸς δύσιν
δῃῶν ἐρημῶν οὐκ ἔληγε καθόλου

sumque Prilapi territorium, unico excepto Prilapi praesidio, quod tamen ipsum proditione cepit. Acropolites autem in arce degens, (9170) quadam conscensa castelli turricula, perstabat illic, donec iuratam fidem obtulit illi despota, fore incolumem atque ad suum Caesarem dimissum iri. tunc se permisit hosti cum turricula. (9175) Michael tamen despota periurus solidis illum vinculis adstrinxit. ecce autem Michael Comnenus ille, quem saepe memoravit historia nostra, non sine sacramento in fidem Caesaris (9180) rursus receptus a Turcis regreditur, et cum Macedonum militum exercitu in occidentem mittitur contra despotam. is igitur se contulit Thessalonicam moxque coniunctus Michaeli Lascari (9185) simul in agrum incurrit Berroeae, atque inde praedam abstrahit innumeram. sic perturbato rei publicae statu, pessimus etiam Triballorum princeps, periurus vir, crudelis, temerarius, (9190) mille conscriptis et amplius militibus Romanas terras vagans infestabat. neque cessabat in occidente Michael despota damnis omnige-

καὶ τῇ κατ' αὐτὸν προστιθεὶς ἐξουσίᾳ.
ὅθεν στρατιὰν ἱκανὴν ἀποκρίνας,
ἧς ἡγεμὼν παῖς Θεόδωρός τις νόθος,
πρὸς τὰ Βοδηνῶν ἐξαποστέλλει μέρη·
ἣ Ῥωμαϊκῷ συντυχοῦσά που στίφει
ἥττησεν ἐσκέδασεν αὐτὸ ῥᾳδίως.
ὃ γνοὺς Μιχαὴλ Παλαιολόγος τόδε,
ἀνὴρ μαχητὴς γεννάδας ῥωμαλέος,
ὡς εἶχεν ἐξώρμησε κατ' ἀντιπάλων,
καί τινα τῷ δόρατι πλήξας ἱππότην
(ἦν δ' ἄρα Θεόδωρος παῖς ἀποστάτου)
εἰς γῆν καταβέβληκεν ἐξ ἐφεστρίδος.
ὁ δ' αὖ Κομνηνῷ προσδραμὼν ἠντιβόλει
ζωῆς τε χάριν καὶ ψυχῆς πεφιλμένης,
καὶ συμπαθοῦς ἔτυχε συγγνώμης τότε·
πλὴν ἠγνοεῖτο τίς ἄρα καὶ τυγχάνει·
τῷ τοι παραδίδωσιν φυλάσσειν Τούρκῳ,
ὁ δ' αὖ φονεύει καὶ παραπέμπει μόρῳ.
τουτὶ μὲν οὕτω Μιχαὴλ ἐδραμένος
σὺν τοῖς δ' ὑφ' αὐτὸν ἀρεϊκοῖς ἀνδράσι,
Παφλαγονίαν πατρίδα κεκτημένοις,
πολλοὺς μὲν ἔργον εἰργάσατο τοῦ ξίφους,
ζωοὺς δὲ συνέσχηκεν εἴκοσιν πάλιν
ἄνδρας τιμίους ἐγκρίτους ἀποστάτῃ.
Ταῦτα μὲν οὕτω συμβέβηκεν ὡς ἔφην·
ὁ Μιχαὴλ δὲ Βουλγάρων ἀρχηγέτης,

9213 δ' abundat

nis faciendis et suae dicioni terris subigendis. (9195) nam comparato idoneo exercitu, quem notho filio Theodoro tradidit, iussit invadere Bodenorum agrum; atque ibi nostras quas offendit copias vicit dispersit facili negotio. (9200) Michael re cognita Palaeologus, bellator vir, magnanimus, fortis, abrupta mora hostibus occurrit; et quendam hasta equitem percussum (erat is filius perfidi Theodorus) (9205) humi proiecit, ephippio depulsum. ille Comneni provolutus genibus vitam rogabat sibi conservaret, reque ipsa veniam mitem impetravit, quanquam eius ignota condicio erat; (9210) Turcaeque homini custodiendus traditur, qui miserum captivum gladio perimit. atque hanc victoriam Michael patravit mavortiorum quos ducebat militum opera, usus, patria Paphlagonum. (9215) et multos quidem interemit hostes, praeterea viginti vivos cepit viros insignes de rebellis aula.

Atque hunc praedicta res exitum habuit. Michael autem Bulgaro-

ὃς δὴ γυναικάδελφος ἦν βασιλέως
ἐχθρὸς δ' ἄσπονδος Αὐσόνων κραταρχίᾳ,
πρὸς Καλλιμάνου καιρίαν βεβλημένος,
πρωτεξαδέλφου προσγενοῦς πεφυκότος,
ἐξαπίνης τέθνηκεν ἐκλιπὼν φάος·
οὗ τῇ γυναικὶ συναφθεὶς Καλλιμάνος,
ἔδοξεν ἀρχὴν προσλαβεῖν καὶ Βουλγάρων·
ἀλλὰ Ῥῶσος Οὖρος μὲν ὡς θυγατέρα
μετὰ στρατιᾶς συμπεσὼν προσλαμβάνει,
φονεύεται δὲ Καλλιμάνος Βουλγάροις.
ἔρημον οὐκοῦν γνησίου διαδόχου
ὑπῆρχε λοιπὸν τὸ κράτος τοῖς Βουλγάροις·
ἀλλ' οἱ παρ' αὐτοῖς ἔγκριτοι βουληφόροι
ἀρχηγετεῖν τάσσουσιν ἀρχῆς Βουλγάρων
Τείχου τὸν υἱὸν τὸν καλὸν Κωνσταντῖνον.
ὡς ἂν δὲ καὶ δόξειεν ἐκ κληρουχίας
εἰς Βουλγαρικὸν ἐγκαθεστάναι θρόνον,
ἐρίτιμοι πέμπουσι πρέσβεις Βουλγάρων
πρὸς τὸν κρατοῦντα Θεόδωρον Αὐσόνων,
ἵνα συναφθῇ τῷ Τείχου Κωνσταντίνῳ
Εἰρήνη πρώτη τοῦδε τῶν θυγατέρων,
Ἀσὰν κρατάρχου Βουλγάρων οὖσ' ἐγγόνη·
ἃ καὶ περατοῖ σὺν προθυμίᾳ κράτωρ.
ἐπεὶ δ' ὁ Τείχου ἦν ἔχων ὁμευνέτιν,
ταύτην διαζεύξαντες ἀνδρὸς ἀνόμως
εἰς φυλακὴν πέμπουσι τῷ στεφηφόρῳ.

Μετὰ δὲ ταῦτα χαλεπωτάτῃ νόσῳ

rum dominus, (9220) cuius soror Caesari nupta erat, nostri foedifragus hostis imperii, a consobrino suo Callimano mortifero repente percussus vulnere vitam cum morte statim commutavit; (9225) cuius uxore ducta Callimanus visus est regnum obtinere Bulgaricum. sed regis socer accurrens cum exercitu Rosus Urus filiam suam recipit; occiditurque a Romanis Callimanus. (9230) iamque carebat successore legitimo Bulgaricae rei publicae vacans thronus; sed optimates gentis ac senatores ad Bulgarorum thronum advocarunt egregium Tichi filium Constantinum. (9235) atque ut legitimo successoris iure regnum adire videretur Bulgaricum, ad Romanorum Caesarem Theodorum: mittit senatus legationem, petens ut iungeretur dicto Constantino (9240) Irene filia Caesaris natu maior, quae Asanis regis Bulgari neptis erat. et Caesar noster rem libenter annuit. tum quia iam Constantino uxor erat, hanc a suo viro abstractam illicite (9245) imperatori custodiendam mittunt.

Morbo post haec correptus gravissimo Caesar Theodorus tenebatur

περιπεσὼν ἔκειτο κρατάρχης κλίνῃ·
ἡ δ' ἦν ἀνιάτρευτος Ἀσκληπιάδαις
καὶ σφῶν τέχναις ἄκαμπτος οὐδ' εἴκουσά πως.
τοίνυν ἀπογνοὺς καὶ διαγνοὺς ὡς δέον,
ῥίψας τὰ λαμπρὰ τοῦ κράτους καὶ τοῦ στέφους.
τὰ τῶν μοναχῶν ἐνδιδύσκεται ῥάκη,
ἐξαγορεύσας πάντα οἱ πεπραγμένα
ἔμπροσθεν ἀνθρώπων τε καὶ θεοῦ πλέον.
πόρνης γὰρ οὗτος σώφρονος θρυλουμένης
τὴν πίστιν ἐν νῷ προσλαβὼν καὶ τὸν πόθον,
τῷ ποιμενάρχῃ προσδραμὼν Μιτυλήνης,
ᾧ σφαλμάτων ἦν ἀνακαλύπτων βάρη,
εἰς τοὔδαφος πέπτωκεν αὐτοῦ πρὸς πόδας,
καὶ τούσδε θερμοῖς δάκρυσιν ἀποπλύνει,
ὡς πρὶν γυνὴ βέβηλος Χριστοῦ δεσπότου,
ὡς καὶ γενέσθαι πηλὸν ἐκ τῶν δακρύων,
ἐξαγορείας ταῦτα συνείρων λόγοις
"σὲ Χριστὲ κατέλιπον, ἵλεως ἔσο."
οὕτω δεδρακὼς συνεχῶς χρηστὸς κράτωρ
πρὸς τὰς μονὰς βέβηκε τὰς οὐρανίους,
λιπὼν τὸ κράτος παιδὶ τῷ Ἰωάννῃ
ἑπταέτει που τυγχάνοντι καὶ πλέον,
μήπω καθαρῶς τέτταρας ὅλους χρόνους
τὴν Ῥωμαϊκὴν ἰθύνας κραταρχίαν,

9256 hinc intelligimus quid spectet Nicephorus sub praedictae orationis initio, ubi graviter invehitur in amorem illegitimum. quamquam Ioannem quoque Theodori parentem prae oculis habere potuit, cuius in amore fragilitatem noster innuit Ephraemius v. 7890. Allatius autem in adnotationibus ad Acropolitam c. 52 Nicephori eiusdem recitat epistolam de pellice Ioannis Marcesina, quam ipse Nicephorus sacra aede excluserat.

lecto; et nil medendo proficiebant medici, artem Hippocratis superante morbo. (9250) quare spe vitae prudenter abiecta, ornamentisque regiis depositis, monachi Caesar induit tuniculam, omnia sua confitens peccata coram hominibus sed praesertim deo (9255) namque hunc transversum egerant illecebrae, amorque scorti nobilis haud protriti. accedens ergo ad Mitylenes episcopum, cui confiteri solitus peccata fuerat, ad huius pedes accidit prostratus humi, (9260) eosque calidis perluebat lacrimis, ceu quondam Christi femina peccatrix; quare et madebat fletu pavimentum. atque haec verba geminabat confitens "te, Christe, dereliqui; propitius esto." (9265) sic continenter repetens bonus Caesar ad stationes transiit caelestes, filio relinquens regnum Ioanni septenni ferme aetate aut paulo amplius, ipse quattuor nondum plenos annos (9270) Ro-

ἀνὴρ ἀγαθός, εὐσεβὴς αὐτοκράτωρ,
ἡδύς, ἱλαρός, εὐμενὴς ὑπηκόοις,
ἴδρις σοφίας παντοδαπῆς καὶ λόγων,
πιστὸς κυρίου νουνεχὴς ὑπηρέτης,
τάλαντον αὔξων πλατύνων κραταρχίας,
προκινδυνεύων εὐψύχως κληρουχίας,
ἄναξ προσηνὴς καὶ στρατηγὸς γεννάδας,
μηδὲν νεοχμώσας τι τῆς ἐκκλησίας,
ἐπαινετός τε τοῦ βίου καὶ τοῦ κράτους,
καὶ μακαριστὸς τῆς καλῆς μετοικίας
καὶ τῆς μετανοίας γε τῆς σωτηρίου.
τούτου θανόντος εἰς ταφὴν νέκυν φέρει
μονὴ πατρῴα Σωσάνδρων κεκλημένη,
οὗ καὶ πατὴρ τέθαπτο θανὼν ἐντίμως.

Ἰωάννης ὁ τοῦ Θεοδώρου καὶ Μιχαὴλ Παλαιολόγος.

Οὗτος βίῳ λέλοιπε παιδία τρία,
ὃν πρόσθεν εἶπον χαριτώνυμον νέον
κληροῦχον ἀρχῆς καὶ διάδοχον κράτους,
καὶ θήλεα δ' ἄζυγα πρὸς τούτῳ δύο,
Εὐδοκίαν τε καὶ Θεοδώραν ἅμα.
πρώτη δ' Εἰρήνη τῷ Τείχῳ συνεζύγη,
ἡ δευτέρα δὲ Μαρία Νικηφόρῳ
παιδὶ Μιχαήλ, ὡς ἔφαμεν, δεσπότου.
νεώτατος δ' ἦν παῖς Ἰωάννης πάνυ·
ὅθεν δεδιὼς τεκνίου φίτης ἄναξ
ἐν διαθήκαις τῷδε λείπει τὸ κράτος,
πρόσθεν προβάντων ὁρκίων φρικαλέων

manum sceptro rexerat imperium, vir sane bonus, regnator religiosus, hilaris, blandus, subditis benivolus, omni doctrina et literis ornatus, fidelis domini atque prudens famulus, (9275) qui regni talentum ampliavit auxit et patrimonium strenue protexit, princeps benignus, fortis imperator, quique in ecclesia nihil innovavit, laudabilis tum vita tum imperio; (9280) egregio demum ex hac terra transitu atque salubri paenitentia felix. delatum est cadaver ad coenobium a patre exstructum salutarium martyrum, ubi et fundator iacet honorifice.

Ioannes Theodori filius et Michael Palaeologus.

(9285) Moriens Theodorus tres reliquit domi filios, quem dixi parvulum Ioannem, heredem dignitatis et imperii, duasque innuptas insuper virgunculas, Eudociam videlicet ac Theodoram. (9290) nam maior natu Irene Ticho nupserat, Mariam minorem duxerat Nicephorus, filius, ut dixi, Michaelis despotae. tenera plane aetate Ioannes erat; quamobrem cavens rex pater filiolo (9295) huic supremis tabulis imperium liquerat,

ὑπηκόοις ἅπασι καὶ τοῖς ἐν τέλει
ἦ μὴν φυλάξειν τεκνίῳ πίστιν σχέσιν.
εἶτα παραδίδωσι τοῖς ἐπιτρόποις,
ὧν πρῶτος ὑπῆν Γεώργιος Μουζάλων,
πρωτοβεστιάριος ὢν τ᾿ν ἀξίαν.
ἀλλὰ τριταῖος οὐδέπω πρὸς τῷ τάφῳ
ἔκειτο νεκρὸς ἄνακτος τεθειμένος,
καὶ πάντ᾿ ἀναμὶξ μεστά τε τρικυμίας.
εἰς γὰρ Σωσάνδρων τὴν μονὴν ἀφιγμένων
τῶν ἐν τέλει τε καὶ στρατευμάτων στίφους,
ὡς ἂν ὁσίαν θῶσι τῷ τεθνηκότι,
τοῖς κασιγνήτοις συμπαρῆν καὶ Μουζάλων,
καὶ τῆς φρικώδους θυσίας τελουμένης
Μουζάλων παρίστατο σὺν ὁμογνίοις.
ἀλλ᾿ οἱ γερουσίας τε καὶ τῶν ἐν τέλει
συσπειραθέντες πάντες εἰς ὁμαιχμίαν,
ὡς ἄγριοι θῆρές τε καὶ βροτοκτόνοι,
ἐπὶ μονὴν ἥλαντο τὴν σεβασμίαν,
ῥινηλατοῦντες ἐκλαφύξαι σὺν βίᾳ
πρωτοβεστιάριον σὺν ὁμαιμόνοιν.
σὺν κασιγνήτοις Μουζάλων ᾐσθημένος
ἔνδον τραπέζης παναγοῦς ὑπεισέδυ·
ἀλλ᾿ οἱ μιαροὶ καὶ φονικοὶ τοὺς τρόπους
ποσὶ βεβήλοις εἰσδραμόντες εὐθέως
εἰς ἱερὰν τράπεζαν ἱλαστηρίου,
ξιφηφόροι τε καὶ θυμοῦ πεπνευκότες,

9307 τῷ om V 9316 ὁμαιμόνοις V

adactis prius in sanctum iusiurandum subditis universis ac magistratibus ut conservarent stabilem filiolo fidem; quem commendavit postea tutoribus, (9300) quorum Georgius Muzalo primus erat, protovestiarii tunc honore fungens. sed enim necdum triduum peractum erat ex quo imperator tumulo iacebat, iamque aestuabant omnia tanquam mare. (9305) namque ad coenobium salutarium martyrum progressis magistratibus atque exercitu ut principi defuncto iusta solverent, Muzalo quoque cum germanis venit. dum ergo sacra celebratur missa, (9310) Muzalone cum fratribus adstante, en senatores aliique magistratus, conspiratione unanimi conflata, ceu furibundae ferae atque homicidae in sanctum cursim irruunt coenobium (9315) ob lacerandum violentis unguibus cum suis germanis protovestiarium; qui re intellecta sub asylum sacrum mensae sanctissimae raptim confugerunt. verum scelesti illi et sanguinarii (9320) pollutis pedibus penetrale ingressi usque ad arae pacificae mensam sacram, districtis gladiis, turgidi furore, hem tetrum sce-

φεῦ ἀσεβείας βαρβαρικῆς μανίας,
μεληδὸν ἐκτέμνουσι τοὺς ἀναιτίους,
καίτοι διαθήκης τε καὶ τῶν ὁρκίων
τρανῶς τε σαφῶς ἀνεγνωσμένων τρίτον
ἐπὶ γερουσίας τε καὶ στρατευμάτων,
καὶ τοῖσδε παντὸς ἐμμένειν εἰρηκότος.
μετὰ δὲ τήνδε τὴν κακὴν φονουργίαν
οἵ γ' ἐν τέλει τε καὶ λοχαγοὶ ταγμάτων,
κλῆρος πατριάρχης τε σὺν ἀρχιθύταις,
συνεισδραμόντες εἰς μίαν συμφωνίαν,
σκέψιν ἐτίθουν πραγμάτων κοινῶν χάριν,
τίς ἂν κυβερνήσειε προσδεδεγμένος
τῆς Ῥωμαϊκῆς ὁλκάδα κραταρχίας.
ἐπυνθάνοντο τοιγαροῦν κατὰ γένη
καὶ κατὰ τάξιν πάντες οἱ τῶν ἐν τέλει·
καὶ πλείοσιν ἦν ἡ ῥοπὴ καὶ καρδία
ἐπὶ Κομνηνὸν Μιχαὴλ τεταμένη·
ὅθεν, τί μακροὺς δεῖ περιάγειν κύκλους;
χειρίζεται δὴ τὴν διοίκησιν ὅλων
καὶ Ῥωμαϊκῶν πραγμάτων τὴν φροντίδα
οὗτος Μιχαὴλ Παλαιολόγων γένους,
δραστήριός τις καὶ πεφυκὼς πρὸς τόδε,
εἶδος προδεικνὺς ἄξιον τυραννίδος,
βλοσσυρὸν ἦθος καὶ λεόντειον φέρων,
φρικτὸς μὲν ἐχθροῖς, ἥμερος δ' ὑπηκόοις,
ἄναξ ἀριστεὺς καὶ στρατηγὸς γεννάδας,
πρῶτα μὲν ἀξίωμα λαβὼν δεσπότου,

lus! hem rabiem barbaricam! frustatim gladiis innocentes caedunt, (9325) etsi supremae tabulae ter fuerant cum sacramenti formula praelecta coram senatu et coram exercitibus, qui se in obsequio fore cuncti dixerant. post hanc scelestatam perpetratam caedem (9330) civiles magistratus et duces militum, clerus cum patriarcha aliisque episcopis, ad regni veluti coëuntes comitia, de rei publicae summa deliberabant, quisnam videlicet in demortui loco (9335) Romani imperii navem clavo regeret; et rogabantur nobilium sententiae per singulas familias perque ordines. ac suffragiorum sane maior numerus Comnenum designabat Michaëlem. (9340) cur ergo longis differam rem sermonibus? rei publicae universae moderamen Romanique imperii cura traditur huic Michaëli gente Palaeologo; qui vir erat efficax et rei idoneus, (9345) corporis formam regno dignam gerens, severo more et vultu truculento, hostibus formidandus, comis subditis, optimus princeps, et fortis imperator. is primo accepit dignitatem despotae: (9350) paulo post autem in urbe

μετὰ δὲ μικρὸν ταινιωθεὶς τῷ στέφει
παρ' ἀρχιθύτου κατὰ τὴν Νικαέων.
οὗτος Λατίνους ἐξελαύνει πατρίδος
τῆς Κωνσταντίνου, βασιλίδος ἀστέων,
ἐλευθερώσας τήνδε Λατίνων βίας.
τιμᾷ δ' ἀδελφὸν Κομνηνὸν Ἰωάννην
τῇ σεβαστοκράτορος εὐθὺς ἀξίᾳ,
ἔκδημον ὄντα τοῖς καθ' ἑσπέραν τόποις·
Ἀλέξιον δὲ Στρατηγόπουλον πάλιν
προυβάλετ' εἰς μέγιστον ἐν δομεστίκοις·
Κωνσταντῖνον ἄλλον δὲ σύγγονον πάλιν
τῇ καισαρικῇ ταινιώσας ταινίᾳ
πρόμαχον ἀπέστειλε τῶν Παφλαγόνων.
καὶ πρὸς Μιχαὴλ ἐκπέπομφε δεσπότην
τὸν Φιλῆν Θεόδωρον, αἰτῶν φιλίαν
σύνδεσμον εἰρήνης καὶ τῆς συμφωνίας,
καί τινα λῦσαι φρουρίων Ῥωμαΐδι,
πρὸς δ' αὖ καθειργμένους γε τῶν ἐξ Αὐσόνων
Χαβάρωνά τε καὶ τὸν Ἀκροπολίτην.
ἀλλ' ἦν ἀπειθὴς Μιχαὴλ πρὸς τοὺς λόγους
πρεσβευτικοὺς ἄνακτος, ἄτεγκτος πάνυ,
καὶ μηδ' ὁτιοῦν ἐκτελῶν αἰτουμένων.
ὅθεν βαρυνθεὶς βασιλεὺς τούτων χόλῳ
τῷ σεβαστοκράτορι συγγόνῳ γράφει,
τοῖς κατὰ δυσμὴν ἐμμένοντί που τόποις,
μετὰ στρατιᾶς καὶ στρατηγῶν ἐκκρίτων

9359 *προὐβάλλετ'* V

Nicaena a patriarcha stemmate est redimitus. hic est qui nostra patria Latinos expulit, reginamque urbium Cpolim Latino iugo liberam adseruit. (9355) is Comnenum Ioannem, fratrem suum, creavit sine mora sebastocratorem, quamquam absentem in Hesperiis partibus; Strategopulum insuper Alexium ad domestici magni officium legit; (9360) alium denique fratrem Constantinum Caesarea dignitate conspicuum fecit, atque ad tuendam misit Paphlagoniam. ad Michaelem vero legavit despotam Philem Theodorum ob petendam pacem (9365) constringendumque vinculum amicitiae reposcendasque imperio arces aliquot, simulque ut duos captivos tristi eximeret Acropolitam carcere et Chabaronem. despota tamen durus et refractarius (9370) imperatoris legationem audiit, nec postulanti quicquam prorsus annuit. quamobrem imperator ira percitus scripsit ad fratrem sebastocratorem, qui in occidente, ut dixi, versabatur (9375) cum selectis ducibus et cum exercitu, ut Michaëli bellum in-

μάχην συνάψαι Μιχαὴλ τῷ δεσπότῃ.
καὶ τοῦτο δρῶντος συνεὶς ὁ δεσπότης,
στρατῷ συνυπάρχοντος ἐν Καστορίᾳ,
φυγὰς ἀπέπτη κατ᾽ ἀποκρήμνων τόπων·
σεβαστοκράτωρ δ᾽ ἐκποδὼν ὑπαρξάσης
οὕτω στρατιᾶς Μιχαὴλ ἀντιμάχου
κατ᾽ ἀστέων ὥρμησε τῶν τοῦ δεσπότου,
ἔχων μεθ᾽ αὑτοῦ ποιμενάρχην Βουλγάρων,
τὸν θεῖον Καβάσιλαν τὸν Κωνσταντῖνον·
οὗ νουθεσίαις καὶ καλαῖς συμβουλίαις
πόλιν παρεστήσατο κλεινὴν Ἀχρίδος,
ἔπειτα Δεάβολιν ἄλλο φρουρίων
ταῖς μηχανουργίαις τε καὶ μάχης νόμῳ.
ἐξαπορηθεὶς Μιχαὴλ γοῦν τοῖς ὅλοις,
ἐνοῦσαν αὐτῷ στρατιὰν συναλίσας
καὶ συμμαχικὸν προσλαβὼν ἐκ Λατίνων
τῶν τοῦδε γαμβρῶν πρίγκιπός τ᾽ Ἀχαΐας
καὶ Σικελῶν ἄρχοντος, ἄλλου νυμφίου,
εἰς ἀντιπαράταξιν ἧκεν Αὐσόνων.
Σταν͂ὸν παραμείψας δὲ Σωσκὸν χωρία,
καὶ Πελαγονίας δὲ τὰς πεδιάδας,
ἀγχοῦ Πριλάπου φρουρίου κατεστάθη·
κἀκεῖ συνιδὼν ὡς στενά οἱ τυγχάνει
τὰ τῆς τύχης ἅπαντα καὶ πλήρη ζάλης,
νύκτωρ ἀπέδρα σὺν τέκνῳ Νικηφόρῳ,
σκηνούμενον στράτευμα λιπὼν αὐτόθι.

9377 συνιεὶς?

ferret despotae. quod iam commotum despota cognoscens, qui Castoriam cum armis insidebat, fugam arripuit per praerupta loca. (9380) sebastocrator autem, sic diffugiente Michaelis exercitu adversario, impetum fecit contra urbes despotae, Bulgarum patriarcham secum ducens, Cabasilam divum Constantinum, (9385) cuius egregiis monitis et consiliis inclytam acquisivit urbem Achrin. Deabolin deinde arcem alteram machinis et belli viribus expugnavit. tunc Michael de summa re sollicitus, (9390) quotquot habebat copiis congregatis, Latinis quoque adsumptis auxiliaribus ab Achaiae principe Siciliaeque a rege, quorum uterque erat gener despotae, ad committendam exiit nobiscum pugnam. (9395) praeteriens ergo Stani Soscique arces et Pelagoniae humilem planitiem, Prilapi propter constitit praesidium; ubi se augustis cernens versantem rebus fortunaeque aleam periculosam, (9400) noctu profugit cum filio Nicephoro, exercitum in castris illic deserens. sed tamen

ἕωθεν ἀμέλει δὲ διεγνωσμένου
τὰ τοῦδε τοῦ δράματος ἐκ τῶν πραγμάτων,
προστίθεται μὲν ἐκ φάλαγγος δεσπότου
ἡ Ῥωμαϊκοῦ τοῦ γένους κατηγμένη
σὺν ταγματάρχαις ἀνδράσι τ' ἐριτίμοις
τῷ σεβαστοκράτορι χαριτωνύμῳ·
ἐν οἷς γε συντέτακτο καὶ παῖς τις νόθος
ὁ Ἰωάννης τοῦ φυγάδος δεσπότου·
συμμαχικὸν ξύμπαν δὲ Λατίνων γένους
σὺν Ἀχαΐας συσχεθέντες πριγκίπῳ
πρὸς τὸν κρατάρχην ἐστάλησαν ἐν πέδαις.
χώρα δὲ πᾶσα σὺν πολιχνίοις ὅλοις
τῷ Ῥωμαϊκῷ καθυπεκλίθη κράτει.
Ἀλέξιος γοῦν ἐν δομεστίκοις μέγας
Στρατηγόπουλος καὶ Ῥαοὺλ Ἰωάννης
καὶ μέχρις αὐτῆς κατέδραμον τῆς Ἄρτης,
λεηλατοῦντες ἐκτρίβοντες ἐσχάτως
χώραν Μιχαὴλ δεσπότου σὺν φρουρίοις.
σεβαστοκράτωρ Ἰωάννης δ' αὖ πάλιν
πρὸς Πάτραν ἐστράτευσε τὴν νεωτέραν,
ἔχων μεθ' αὐτοῦ καὶ τὸν υἱὸν δεσπότου,
οὗ φθὰς ἐμνημόνευσεν ἀνόπιν λόγος.
ὅστις σὺν ἄλλοις ἀποδράσας μετρίοις
τρέχει πρὸς αὐτοῦ πατέρα τὸν δεσπότην,
νήσους περιπλέοντα τὰς ἀμφιρρύτους,
τὴν τῶν Κεφαλήνων τε καὶ τὴν Λευκάδα,
ἔκδημος ὢν ἄθλιος ἀρχῆς πατρίδος.

9402 *διεγνωσμένα?*

mane postero res nocturna, ex his quae sunt secuta, nobis notuit. pars enim illa copiarum despotae (9405) quae nostrae gentis milite conflata erat, cum viris se nobilibus atque ducibus sebastocratori tradidit Ioanni; atque in his erat fugientis despotae adulterinus quidam Ioannes filius. (9410) tum auxiliaris cunctus Latinus miles, vinclis adstrictus, cum Achaiae principe dimissus est ad Caesarem captivus. provincia autem omnis cum urbeculis in nostram cessit subdita dicionem. (9415) postea domesticus magnus Alexius, Raul Ioannes et Strategopulus usque ad oppidum Artae decurrerunt, diripientes, vastitati dantes terram arcesque Michaëlis despotae. (9420) sebastocrator deinde Ioannes ad novas Patras produxit exercitum habens, in comitatu filium despotae spurium illum, de quo retro diximus; qui fuga elapsus cum paucis comitibus (9425) raptim reversus est ad patrem despotam, qui oberrabat cymbis circa insulas Cephalenum infelix at-

ἐπεὶ δ' ἐπανέδραμε πρὸς τὸν πατέρα,
σὺν τῷδ' ἀθροίσας στρατιὰν οὐ μετρίαν,
τὴν Ῥωμαϊκὴν ἐξελαύνει μακρόθεν
ὅρων παλαιᾶς Ἠπείρου μάχης νόμῳ.
Ἀλλὰ χαριτώνυμος σεβαστοκράτωρ
καὶ τοῦδ' ἑκυρὸς Κωνσταντῖνος Τορνίκης
ἐν τῇ Λαμψάκῳ βασιλεῖ προσηλθέτην·
καὶ τὸν μὲν αὐτάδελφον αὐτοῦ τὴν χάριν
τῷ δεσποτικῷ ταινιοῖ λαμπρῷ στέφει,
εἰς ἀξίαν δὲ σεβαστοκρατορίας
ἀναβιβάζει Τορνίκην Κωνσταντῖνον,
Ἀλέξιον δὲ Στρατηγόπουλον πάλιν
εἰς Καισάρων ἤγαγε λαμπρὰν ἀξίαν,
τὸν Καίσαρα δὲ σύγγονον Κωνσταντῖνον
εἰς σεβαστοκράτορα καὶ τόνδ' ἀνάγει·
πλὴν χρυσοῦφεῖς ἀετοὺς φορεῖν νέμει
ἐν τοῖς πεδίλοις, παράσημον ἀξίας.
Ἦρος δ' ἐπιλάμψαντος ἄρας Λαμψάκου
ἄναξ Μιχαὴλ σὺν στρατεύμασιν ὅλοις
ἐπιστρατεύει τῇ Κωνσταντίνου πόλει,
εἴ πως δυνηθῇ Λατινικῆς κακίας
ἐλευθερῶσαι τήνδε ταῖς στρατηγίαις.
καὶ ταῦτ' ἐποίει τοῖς λόγοις πεπεισμένος,
οὐχ ἧττον ἤπερ τῷ στρατευμάτων σθένει,
ἀνδρὸς Λατίνου κλῆσιν Ἀσελδεκάε
πόλιν προδώσειν βασιλεῖ προφαμένου.
ἐπεὶ δ' ἐπεστράτευσεν ἐν Βυζαντίδι

que Leucadem, exsul et patrio spoliatus regno. sed enim post reversum ad se filium, (9430) recuperatis adhuc non parvis copiis, exercitum nostratem procul expulit antiqua Epiro, armis debellatum.

Sebastocrator interim Ioannes cum Constantino socero Tornice (9435) imperatorem Lampsaci convenerunt. is autem fratrem propter ea quae gesserat sublimi dignitate ornavit despotae; Tornicemque simul Constantinum promovit ad officium sebastocratoris; (9440) item Alexium Strategopulum splendido titulo decoravit Caesaris; Constantino denique fratri Caesari sebastocratoris detulit honorem; aureas insuper aquilas concessit (9445) indicium dignitatis gestare in calceis.

Mox vere exorto, Lampsaco discedens cum copiis cunctis imperator Michaël Cpolim versus direxit iter, experturus an arte bellica (9450) hanc posset iugo Latino subducere. idque tentabat confidens promissis (haud sane secius quam viribus bellicis) Latini viri, cui nomen Aseldecao, urbem spondentis nobis proditurum. (9455) sed ubi accessit ad Byzantii

καὶ φανερῶς ἔγνωκε τὰ τῆς ἀπάτης,
αὖθις ἐπανέζευξεν εἰς ἔξω τόπους.
Ἔνθα προσελθὼν Τορνίκης ἐκ Νικαίας
δι' Ἀρσένιον λιπαρῶς ἠντιβόλει
ὡς ἐγκρατὴς γένοιτο πάλιν τοῦ θρόνου·
ἐπεὶ γὰρ ἐστέρητο ποιμένος θρόνος
ἄρτι θανόντος Ἐφέσου Νικηφόρου,
ὃς δὴ μετήχθη πρὸς θρόνον Βυζαντίδος,
τοῦ δ' Ἀρσενίου τοῦτον ἀπειπαμένου,
ἐδεῖτο πάλιν τόνδε λαβεῖν τὸν θρόνον.
δύσνουν δ' ἑαυτῷ ποιμενάρχην μὴ θέλων
ἄρχειν βασιλεὺς παρακλήσεις ἠκύρου.
οὗτος γὰρ Ἀρσένιος ὢν ἀρχιθύτης
στέφει Μιχαὴλ τῷ κραταρχίας στέφει,
ἄνακτα δείξας αὐτοκράτορ' Αὐσόνων·
ἔπειτα φανεὶς δυσμενὴς οὐκ οἶδ' ὅπως
σὺν Ἀνδρονίκῳ Σάρδεων ἀρχιθύτῃ,
πρὸς δ' αὖ Μανουὴλ τῷ Θεσσαλονικέων,
μονῇ παραδέδωκεν αὑτὸν διάγειν,
ἑκὼν λελοιπὼς τὴν λεὼ προεδρίαν.
ὅθεν βασιλεὺς ποιμεναρχῶν τὸ στῖφος
Νικηφόρον πρόεδρον ὄντ' Ἐφεσίων
τῆς Κωνσταντίνου δεικνύουσι προστάτην.
ἐπεὶ δ' ἐλειτούργησε τῷ χρεὼν τότε,
ἑκὼν ἄκων, ὥς φασι, λιταῖς Τορνίκη
Ἀρσενίῳ δίδωσιν ἄναξ τὸν θρόνον.

moenia seque deceptum sensit imperator, in orientem flexit cursum denuo.

Ibi Nicaena in urbe obvium habuit Tornicem, supplicantum ut Arsenius (9460) patriarchalem sedem recuperaret. nam destituta ecclesia pastore fuerat mortuo nuper Ephesio Nicephoro, illinc translato ad sedem Byzantinam; quam cum Arsenius sponte deseruisset, (9465) nunc se volebat rursus in eam restitui. verum infensum partriarcham respuens obtrudi sibi Michaël abnuebat. hic sane Arsenius pontifex cum esset, regiam coronam Michaëli imposuerat (9470) Romanumque fecerat imperatorem. mox Michaëli nescio cur iratus, cum Andronico Sardium episcopo et Manuele Thessalonicensi ad monasterii quietem se contulerat, (9475) sponte dimissa Byzantina sede. quare imperator ex synodi sententia metropolitam Ephesi Nicephorum ad Byzantinas infulas transtulerat. nunc postulante rursus utilitate, (9480) volens nolens, ut dicitur, Tornici orante, sedem Arsenio reddit imperator.

Ταῦτα μὲν οὕτω συμβέβηκεν ὡς ἔφην·
στράτευμα δ' ἄναξ ἱκανὸν συναλίσας,
καὶ τοῦτο δοὺς Καίσαρι Στρατηγοπούλῳ,
καθ' ἑσπερίων ἐκπέπομφε δυσνόων·
πλὴν ἐν παρέργῳ καὶ Βυζαντίδα φθάσαι
καὶ τῇδ' ὁμοκλὴν προσδρᾶσαι παρηγγύα.
ὑπῆρξεν οὕτω, καὶ φθάσας Καῖσαρ πόλιν
ἔρημον εὗρεν ὁπλιτῶν οἰκητόρων,
προβραχέως σφῶν ἐν στόλῳ πεπλευκότων
ἐπὶ σκύλευσιν νησίδος Δαφνουσίας.
ὡς τοίνυν ἧκε νυκτὸς εἰς ταύτην πόλιν
ἔχων ὀπαδοὺς φυγάδας ταύτης Καῖσαρ,
ἔγνω παρ' αὐτῶν ὡς ὀπή τις τυγχάνει
κατά γε τεῖχος συμβεβηκυῖα πάλαι.
ἐφίσταται γοῦν ᾗ τάχος πρὸς τὸν τόπον,
καὶ δι' ὀπῆς τις ὁπλίτης προσερπύσας
ἐνῆκε θάρσος οὐ βραχὺ συνοπλίταις·
εἶτ' ἄλλος εἰσείρπυσεν ὁπλίτης πάλιν,
καὶ πάλιν ἄλλος, καὶ τριάς που πεντάδων.
εἶτα καταρράξαντες οὗτοι τὰς πύλας
ῥᾴστην παρέσχον εἴσοδον πάσαις ἴλαις·
οἱ δ' ἐντὸς ἐν δράματι κατεπτηχότες
εἰς γῆς μυχοὺς ἔδυνον, εἰς στοῶν βάθη,
εἰς ἀποκρύφους καὶ σκοτεινὰς γωνίας,
εἰς ἱερούς τ' αὖ καὶ σεβασμίους δόμους.
Βαλδουῖνος δ' ὥρμησε Λατινάναξ

9507 ὥρμησεν δ?

Hic fuit dicti exitus negotii. idoneum postea collectum exercitum Strategopulo Caesari demandans, (9485) misit ad Hesperios debellandos hostes. obiter tamen et Byzantium visere iussit, et illi minas ostentare. res ita est acta. Caesar illuc veniens armatis vacuam deprehendit urbem, (9490) quia paulo ante classis profecta erat ad spoliandam insulam Daphnusiam. ut ergo noctu accessit ad moenia Caesar, comites habens quosdam ex urbe perfugas, ab his fuit certior factus esse antiquitus (9495) urbani quoddam muri foramen patens. protinus ergo adstitit illi loco; ubi introgressus per foramen miles reliquis sociis valde audaciam auxit, ita ut alius mox penetrarit miles, (9500) deinde tertius, atque ad extremum quindecim; qui continuo refractis introrsus portis patentem cunctis copiis fecerunt aditum. at cives improviso perculsi casu in subterraneis adytis cellisque abditis, (9505) in angulis obscuris sacrisque templis vel monasteriis semet abstrudebant. Latinus autem

ἐπὶ μεγάλους καὶ βασιλείους δόμους,
ἀφ' ὧν φυγὰς ἔπλευσε πρὸς τὴν πατρίδα.
στράτευμα δ' ἐσκύλευε Ῥωμαίων πόλιν,
ταύτης ἐπιὸν καὶ στενωποὺς καὶ τρίβους.
ὁ δ' ἐκπεπλευκὼς εἰς Δαφνουσίαν στόλος,
κατ' ἀνάπλουν γνοὺς συμβεβηκότα πόλει,
τάχιον ἔπλει προσβοηθήσων πόλει·
ἀλλ' ἡ στρατιὰ Λατινικαῖς οἰκίαις
ἐνιᾶσι πῦρ καὶ φλέγουσι τὰς ὅλας,
ὅπερ θεαθὲν Ἰταλοῖς καὶ μακρόθεν
ὁρμὴν ἀπεῖρξε καὶ σκεδαννύει στόλον.
ὑπὸ κραταρχίαν δὲ λοιπὸν Αὐσόνων
αὖθις ὑπήχθη βασιλὶς τῶν ἀστέων
οὔσης τετάρτης ἰνδικτιῶνος τότε,
καὶ πέντ' ἄγοντος πεντάκις Ἰουλίου,
ἔτους δ' ἐπιτρέχοντος ἀρχῆς ἀπ' ἄκρης
χιλιάδων ἓξ ἑπτακοσίοις ἅμα,
πρὸς δ' αὖ ἑνὸς δέοντος ἑπτάκις δέκα.
ἐχθροῖς δ' Ἰταλοῖς ἥδε τυραννουμένη
ὀκτὼ πρὸς πεντήκοντα τοῖς ὅλοις χρόνοις,
οὕτω θεοῦ νεύσαντος ἡ Κωνσταντίνου
πόλις, πολυθρύλητος ἀνθρώποις ὅλοις,
οἰκουμένης θαῦμά τε καὶ μέγα κλέος,
ἠλευθερώθη Λατίνων τυραννίδος
καὶ Ῥωμαϊκῷ καθυπεκλίθη κράτει.

9514 ἐκπλεῖ V

Caesar Balduinus cursim se regium contulit ad palatium, ex quo celeri nave in patriam fugit. (9510) interim noster miles spoliabat urbem, vias concursans vicos et angiportus. iam quae ad Daphnusiam classis iverat, cognovit urbis casum apud Anaplum, raptimque ad eius tutelam advolabat. (9515) verum iam noster miles Latinas domos igne subiecto cunctas concremabat; quae res e mari procul spectata Italis, horum cohibuit impetum, dispersit classem. sic ad Romanum rediit imperium (9520) Cpolis urbium regina, indictione quarta, Iulii mensis quinta supra vigesimam labente die, anno ex quo mundus deo creante coepit sexies millesimo et septingentesimo (9525) praetereaque nono et sexagesimo. sub Italorum hostium dominio quinquaginta et octo annos fuerat. nimirum deo collibuit ut Constantini omnium linguis celebrata civitas, (9530) vere mundi miraculum et magnum decus, liberaretur Latinorum tyrannide nostrique imperii rursus dicioni accederet.

Τῷ δὲ κρατάρχῃ Μιχαὴλ σκηνουμένῳ
περὶ Μετεώριον ἤκουστ᾽ ἀθρόως
εὐάγγελος φήμη τις, ἡδονῆς πλέα,
πρὸς κασιγνήτης φιλτάτης Εὐλογίας,
ὡς τὴν περιλάλητον ἅπασι πόλιν
περιπολοῦσι τὰ στίφη τῶν Αὐσόνων.
εἶτ᾽ ἄγγελός τις ὢν θεατὴς πραγμάτων
ἐλθὼν σαφῶς ἤγγειλε τὰ πεπραγμένα·
μετὰ δὲ μικρὸν καὶ Λατινάρχου στέφος
πέδιλ᾽ ἐρυθρὰ καὶ βασίλειον ξίφος
κομίζεται δὴ βασιλεῖ τῶν Αὐσόνων.
ὃς δὴ ταχύνας καταλαμβάνει πόλιν,
καί που κατεσκήνωσεν αὐτῆς πλησίον.
εἶτ᾽ ἀναβάντος τοῦ προέδρου Κυζίκου
εἴς τινα πύργων τῆς πύλης τῆς χρυσέας,
αὐτῷ συνούσης εἰκόνος σεβασμίας
τῆς μητρανάνδρου καὶ πανυμνήτου κόρης,
ὡς μὴ παρόντος ποιμένος Βυζαντίδος
θεῷ τ᾽ ἀναπέμποντος εὐχὰς δεσπότῃ,
πίπτει βασιλεὺς ἀκαλυφὴς εἰς χθόνα,
πάντες τε συμπίπτουσιν αὐτῷ κατόπιν.
μετὰ δὲ συμπλήρωσιν εὐχαριστίας
εἰσῆλθε πύλην χρυσέαν στεφηφόρος,
πεζῇ βαδίζων ἐς μονὴν τοῦ Στουδίου,
ἔχων σεβαστὴν εἰκόνα θεοτόκου
ἔμπροσθεν ἡγμένην τε καὶ τιμωμένην.
κἀκεῖ λελοιπὼς εἰκόνα σεβασμίαν,

Michael imperator, tunc diversans ad Meteorium, audiit repente (9535) nuntium rumorem voluptate plenum, significante dulci sorore Eulogia, urbem orbis famosissimam iam occupasse agmina Romana. deinde nuntius qui spectator fuerat, (9540) affuit pure gestam rem significans. mox et insignia Caesaris Latini, coronam, rubros calceos regiumque ensem, allata noster imperator accipit; qui properandum censuit ad urbem, (9545) nec procul illa stationem cepit. mox, quia Byzantii patriarcha aberat, Cyzici antistes contulit se in turrim, quae super aurea porta sublimis eminet, delata secum veneranda imagine (9550) ter gloriosae virginis deiparae. ibi sacras domino peregit preces. interim nudo capite procubuit humi princeps, simulque omnis procubuit populus. peractis autem domino rite gratiis, (9555) portam ingreditur imperator auream, pedester pergens ad coenobium Studii, sectans augustam deiparae imaginem prae se gestatam hymnisque celebratam.

ἔφιππος ἧκεν εἰς θεοῦ νεὼν μέγαν·
καὶ προσκυνήσας, εὐχαριστήσας ἅμα
τῷ πανσθενουργῷ θαυματουργῷ δεσπότῃ,
μετὰ προπομπῆς βασιλικῆς καὶ κρότων
εἰσῆλθε χαίρων εἰς ἀνάκτορον μέγα.

exin relicta ad Studium imagine, (9560) eques ad aedem dei processit maximam, ubi adorato altari et gratiis actis omnipotenti prodigioso numini, cum regia pompa, plausibus concrepantibus, imperatorium laetus palatium adiit.

Καὶ ποιμεναρχῶν τὸν κατάλογον σκόπει Ῥώμης νέας, βέλτιστε, τῆς Κωνσταντίνου.

Ὁ πρωτόκλητος Ἀνδρέας ἀποστόλων,
τῆς εὐσεβείας ἐγκατασπείρων σπόρον
τοῖς Ποντικοῖς κλίμασι καὶ Βιθυνίας,
ὁδῷ προϊὼν καὶ Βυζαντίδα φθάνει·
ἣν φαιδρύνας δόγμασιν ἐνθέου λόγου,
Χριστῷ τ' ἀγείρας εὐσεβῶν ἐκκλησίας,
εὐκτήριον τεύξας τε τοῖς πιστοῖς δόμον
ἐν Χρυσοπόλει τῇ κεκλημένῃ πόλει,
ἐπίσκοπον τίθησιν ἐν ταύτῃ Στάχυν,

9573 de Byzantinorum episcoporum ante Constantini magni aetatem falsa serie, a Stachy usque ad Probum, satis praeter alios disseruit Lequinius in Orientis Christiani tomo primo. hoc certe rectissime dicitur, suppositum illum Dorotheo martyri libellum, in quo praedicta series proponitur, haud ante Photiana tempora fuisse confictum, quandoquidem et ille Byzantinorum episcoporum catalogus, qui a me in collectionis Vaticanae volumine primo recitatus est, seriem illam ignorat, quia videlicet is catalogus auctorem Photiano schismate seniorem habet: desinit enim in Methodio I, qui sanctum illum Ignatium praecessit, contra quem Photius tyrannus debacchatus est. Ephraemium praesentis catalogi auctorem schismatico fuisse animo, satis cognoscimus ex Alexii III Theodorique I vitis. is igitur, ut alii paris dogmatis partiumque Graeci, seriem praedictam, invita licet veritate, non est aspernatus; quae vel patriae gloriae, ut fit, nimio amore, vel ob falso exaggerandam Byzantini episcopatus antiquitatem, contra Romanae ecclesiae praerogativas, conficta fuit. est igitur primus Byzantii indubius episcopus ille Metrophanes sub Constantino magno, vel potius sub Severo imperatore Philadelphus, secundum Simeonem Metaphrastem: neque enim credibile videtur Byzantium haud ignobilem urbem caruisse episcopo usque ad novae urbis fundatorem vel potius veteris am-

Patriarcharum accipe nunc catalogum novellae Romae Cpoleos.

(9565) Apostolorum Andreas protocletus cum religionis verae semen spargeret per Ponti regiones ac Bithyniae, ultra progressus pervenit Byzantium; quam cum divino verbo illustrasset urbem (9570) et conflavisset Christo credentium coetum, aedem orandi causa piis fidelibus aedificavit proxima in Chrysopoli, constituitque episcopum ibi Stachyn,

ἕνα μαθητῶν ἑβδομήκοντα λόγου·
ὃς ποιμάνας θρέμματα καλῶς δεσπότου
γῆθεν μετέστη πρὸς μονὰς οὐρανίους.
μεθ᾽ ὃν νομεῖς ὤφθησαν εὐσεβοφρόνων
ὁ κλῆσιν Ὀνήσιμος ἅμα καὶ τρόπον,
Πολύκαρπος Πλούταρχος καὶ Σεδεκίων,
Διογένης Ἐλευθέριος καὶ Φῆλιξ,
ἄλλος τε Πολύκαρπος ἱερὸς πάλιν.
οὗτοί γε πάντες ἀσεβῶν ὑποψίᾳ
πέραν ὑπῆρχον ἰθύνοντες ἀγέλην.
μεθ᾽ οὓς Ἀθηνόδωρος ἔνθεος θύτης
ἐκκλησίαν ἴθυνε τῆς Βυζαντίδος·
ὃς οἶκον εὐκτήριον ἄλλον καινίσας
κατά γε χῶρον Ἐλαία κεκλημένον,
ἐκεῖ συνάξεις ἐκτελῶν ἦν ἐνθέως·
ὃν Κωνσταντῖνος εὐσεβοκράτωρ μέγας
ὕστατον ἀνύψωσε καλλύνας μάλα.
εἶτα Ζωΐλος λαμβάνει προεδρίαν
καὶ Λαυρέντιος, Ἀλύπιος, Περτίναξ
ὑπατικός τις εὐγενὴς τῶν ἐν τέλει,
ὃς ναὸν ἀνίστησιν εὐαγῆ ξένον
ἔν τινι Συκαῖ προσκεκλημένῳ τόπῳ.

pliatorem, magnum Constantinum. Philadelpho dat successorem Metaphrastes Eugenium, huic Rufinum, denique Rufino Metrophanem Constantini aevo viventem. non agnoscit autem tum falsi Dorothei tum etiam eius asseclae Ephraemii catalogus hos tres episcopos, Philadelphum Eugenium et Rufinum; quos tamen solos Maurini monachi in sua chronologia prudenter scripserunt; itemque ab his tribus Lequinius seriem suam exorditur. M. 9591 Dorotheo est Εὐζωΐος. M.

de septuaginta discipulis unum; (9575) qui administrato recte grege domini e terra ad caeli transiit stationes. post quem pastores dati sunt fidelibus, Onesimus, fructuosus re et nomine, Polycarpus Plutarchus Sedecion (9580) Diogenes Eleutherius atque Felix, sanctus deinde Polycarpus alius. atque hi cuncti metuentes ethnicos trans fretum pastorali vacarunt curae. post hos Athenodorus sacerdos divus (9585) Byzantinae urbis ecclesiam rexit, qui nova quoque condita ad orandum aede in regione quae dicitur olea, ibi synaxes celebrabat pie; quam aedem postea magnus Constantinus (9590) instauratam plurimum exornavit. exin pontificatum gesserunt Zoilus, Laurentius et Alypius atque Pertinax vir consularis et senator nobilis, qui aedificavit templum mirum splendidum, (9595) quodam in loco cui nomen est Sycae. sequun-

ἔπειτ' Ὀλυμπιανὸς καὶ θεῖος Μάρκος,
πρὸς τοῖσδε Κυριλλιανὸς καὶ Καστῖνος,
ὃς πρῶτον ἀνήγειρεν ἐν Βυζαντίῳ
Εὐφημίᾳ μάρτυρι σηκὸν ἐκ βάθρων
ἐν τῷ Πετρίῳ τῷ φερωνύμῳ τόπῳ,
τότ' ἐκδραμούσῃ τὸν δρόμον μαρτυρίου.
μεθ' ὃν τις Τῖτος προστατεῖ Χριστοῦ λάχους,
ἔπειτα κασίγνητος ἄνακτος Πρόβου,
Δομετιανὸς εὐγενὴς ψυχὴν δέμας,
καὶ τοῦδε παῖδες, σὺν Πρόβῳ Μητροφάνης,
ἐφ' οὗ μέγιστος εὐσεβὴς Κωνσταντῖνος
εἰς ἄστυ Βυζάντιον ἐλθὼν τῷ τότε,
τουτὶ μετεσκεύασεν εἰς εὖρος μέγα,
Ῥώμην ὁρίσας τοῦτο καλεῖσθαι νέαν.
Μητροφάνους δὲ τὸν βίον λελοιπότος
ὁ θεῖος Ἀλέξανδρος ἔσχε τὸν θρόνον,
κοσμούμενος λόγῳ τε καὶ βίῳ πλέον·
ἐφ' οὗ γε συνήθροιστο πατέρων στῖφος
κατ' Ἀρείου τὸ πρῶτον ἐν Νικαέων·
ὅστις βαλὼν Ἄρειον εὐχῆς τῷ βέλει
τοῦτον θανατοῖ καὶ παραπέμπει μόρῳ.
Ἔπειτα Παῦλος, ὀρθοδοξίας στῦλος,
πρεσβύτερος τρόφιμος ὢν ἐκκλησίας
Ἀλεξάνδρου μύστης τε σεπτοῦ ποιμένος,
ποίμνην ποδηγεῖ πρὸς νομὰς ψυχοτρόφους·
ὃν ἔσχεν ἐξόριστον Κουκουσὸς πάλαι

9604 Dorotheo est Δομέτιος. M. 9612 τε om V

tur Olympianus et divus Marcus, deinde Cyrillianus et Castinus, a quo Byzantii primo delubrum fuit ad locum iusto nomine dictum Petrium, (9600) martyri Euphemiae a fundamentis conditum, quae nuper stadium vicerat martyrii. Christi deinde gregi praefuit Titus. hinc Domitianus Probi imperatoris frater, haud minus animo quam stirpe nobilis, (9605) huiusque filii Probus et Metrophanes; sub quo postremo pius Constantinus ad Byzantinam urbem semet transferens huius pomoerium protulit amplissime, eamque Romam iussit vocari novam.

(9610) Postquam deseruit vitam Metrophanes, divus Alexander occupavit sedem, facundia et sanctis moribus magis praeditus, sub quo coacta fuit patrum synodus Nicaeae prima ob damnandum Arium, (9615) quem ipse sanctarum precum telo percussum leto confectum tradidit.

Deinde Paulus, orthodoxiae columen, qui alumnus fuerat presbyter ecclesiae Alexandrique episcopi discipulus, (9620) ad salutaria gregem minavit pascua. idem Cucusum pulsus exsul fuit propter rectorum

ὑπερμαχοῦντα δογμάτων ὀρθοφρόνων,
οὗ καὶ τέλος βίαιον εὗρε τοῦ βίου,
παθὼν παρ' ἐχθρῶν πνιγμονήν τε καὶ βρόχον.
Μεθ' ὅν τις Εὐσέβιος Νικομηδείας
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου,
θερμὸς πρόμαχος Ἀρειανῶν μανίας,
ὃς Βηρυτοῦ πρόεδρος ὑπάρξας πάλαι
κἀκεῖθεν ἀχθεὶς εἰς πόλιν Νικομήδους
πρὸς Κωνσταντίου καθιδρύεται τρίτον
τῆς Κωνσταντίνου τῷ πανυψήλῳ θρόνῳ.
Πνευματομάχος Μακεδόνιος γέρων,
λυμαντικὸς λύκος τις, οὐ νομεὺς ὅλως,
παρεισφθαρεὶς ἔλαθε ποίμνῃ δεσπότου·
ὃν ἀπελάσας Κωνστάντιος τοῦ θρόνου
δι' οὕς γε προυξένησεν ἀδίκους φόνους,
καὶ μᾶλλον οἷσπερ ἱερὸν πατρὸς νέκυν
ἀνακομίσας ὦπτο ναοῦ κηρύκων
εἰς Ἀκακίου μάρτυρος θεῖον δόμον,
ἄδοξον Εὐδόξιον, Ἀρείου φίλον,
ἀντικαθιστᾷ λύκον ἀντὶ ποιμένος·
ὃς τυγχάνων πρόεδρος Γερμανικείας,
εἶτα κατασχὼν Ἀντιοχείας θρόνον,
τέλος τυραννεῖ καὶ θρόνον Βυζαντίδος.
Πρὸς τοῖσδε Δημόφιλος μύστης Ἀρείου,
ἐπίσκοπός τις Βερρόης τῆς ἐν Θρᾴκῃ,
μετατεθεὶς ᾔσχυνε τὴν προεδρίαν.

dogmatum defensionem, ubi et violentum habuit vitae exitum, ab adversariis suffocatus laqueo.

(9625) Post hunc Eusebius Nicomediensis pontificatum tenuit Byzantii, vesaniae Arianae fervidus defensor; qui Beryti episcopus olim fuerat, illinc translatus postea Nicomediam, (9630) denique iussu Caesaris Constantii in Byzantina ponitur sublimi sede.

Postea senior Macedonius, lupus vorax, non pastor, ille pneumatomachus, in gregem dominum clanculum irrupit, (9635) donec eum sede pepulit Constantius propter patratas caedes, et praesertim propter translatum Constantini patris sacrum cadaver e templo apostolorum ad martyris Acacii sacram aedem; (9640) substituitque infamem huic Eudoxium Arii studiosum, lupum pro pastore. qui cum fuisset praesul Germaniciae Antiochenamque postea tenuisset sedem, tandem et Byzantinam inique invasit.

(9645) Secutus est Demophilus, Arii discipulus, qui ex episcopatu Berroeae Threiciae translatus hunc primatum decoravit.

Οὗπερ τὸ βιοῦν ἐκμετρήσαντος μόρῳ
Εὐάγριός τις, ὀρθοδοξίας φίλος,
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου
πρὸς Εὐσταθίου μακαριστοῦ ποιμένος,
ὅστις πρὸς Οὐάλεντος ἐξώσθη θρόνου,
μηδὲ βραχύ τι τοῦ λάχους γεγευμένος.
Εἶτα προέστη κοσμίως ἐκκλησίας
ὁ γρήγορος νοῦς, ἡ θεηγόρος λύρα,
θεῷ κινηθεὶς πρὸς κυβέρνησιν θρόνου,
ὅστις ἀνέτλη μυρίους τοὺς κινδύνους
ὑπερμαχῶν κάλλιστα τῆς ἐκκλησίας·
ἐφ᾽ οὗ συνέστη κατὰ Μακεδονίου
ἄθροισμα σεπτὸν συνόδου τῆς δευτέρας
ἐν βασιλίδι τῇ Κωνσταντίνου πόλει.
Αὐθαιρέτως τούτου δὲ λιπόντος θρόνον
ἡ σύνοδος χρίουσι ποιμένα πόλει
Νεκτάριον, λάμποντα βίῳ καὶ λόγῳ,
συγκλητικῶν τε καὶ περιδόξων ἕνα,
χριστώνυμον μέν, ἀμύητον δ᾽ εἰσέτι·
ὃν ἅμα βαπτίζουσι χρίουσι θύτην.
Οὗπερ μεταλλάξαντος εὐαγῶς βίον,
κλέος μοναστῶν ἅμα καὶ πρεσβυτέρων,
στόμα τὸ χρυσοῦν, ἡ θεόσδοτος χάρις,
ἡ τῶν λόγων θάλασσα, φύσις ἡ ξένη,
λαμπτὴρ καθάπερ ἀρετῶν λάμπων φάει
ἐξ Ἀντιόχου κατηύγασεν ἐνθέως

Cuius cum vitam fatum abrupisset, Euagrius, orthodoxae tenax fidei, (9650) a beatae memoriae Eustathio episcopo in Byzantina sede constituitur; qui statim a Valente exsul pellitur, ne parum quidem degustato honore.

Deinde praefuit magnifice ecclesiae (9655) Gregorius, lyra et animo theologus, a deo promotus ad sedis gubernaculum; qui se innumeris obtulit periculis, dum forti manu protegit ecclesiam. sub hoc coaluit contra Macedonium (9660) secunda patrum veneranda synodus in Constantini regia metropoli.

Gregorio sponte sedem relinquente, synodus urbi praeficit pastorem Nectarium, vita et literis fulgentem, (9665) senatorem nobilem et optimatem, asseclam Christi, sed nondum initiatum; quare baptizant simul et mystam ungunt.

Atque hoc sancte vitam concludente, monachorum illud decus et presbyterii, (9670) aureum os, caelitus gratia data, mare eloquentiae, ingenium prodigiosum, virtutum luce splendens tanquam lampas, Antio-

τῆς Κωνσταντίνου τὸν περίκλυτον θρόνον,
ἢ μᾶλλον εἰπεῖν, τὴν τετράκλιμον κτίσιν
διδασκαλίαις φαιδρύνει καθ' ἡμέραν,
οἰκουμένης ἥλιος ὢν ψυχοτρόφος.
οὗ τοῦ θρόνου φεῦ ἀπελασθέντος φθόνῳ
εἰς δ' ἀλλοδαπὴν ἐκδιωχθέντος χθόνα,
τὴν ἐν Κομάνοις ἐσχάτην ἐρημίαν,
οὗ μακαριστὸν ἔσχε καὶ τέρμα βίου,
γηραιὸς Ἀρσάκιος, ἔμψυχος νέκυς,
πρὸς βασιλίδος ἐγκατεστάθη θρόνῳ
Εὐδοξίας, φεῦ οἷος ὢν μετὰ τίνα,
μεθ' ἥλιον ζόφωσις εἴτ' ἀκοσμία.
Τούτου καταστρέψαντος ἐν θρόνῳ βίον,
πρεσβύτερός τις εὐλαβὴς ἐκκλησίας,
κλῆσιν Ἀττικός, ἐμπρέπων βίῳ λόγῳ,
κοσμεῖ καθέδραν ἱερὰν Βυζαντίδος.
Μεθ' ὅν τις Σισίννιος, ἀνὴρ πρεσβύτης,
τῆς κατ' Ἐλαίαν ὢν θύτης ἐκκλησίας,
πρᾶος γεραρὸς καὶ νομεὺς ψυχοτρόφος.
Τούτου θανόντος Νεστόριός τις, θύτης
τῆς Ἀντιόχου δυσσεβὴς καὶ κακόφρων,
στόμα βδελυρὸν καὶ βέβηλος καρδία,
ἢ λυμεὼν λύκος τις, ἐμπηδᾷ θρόνῳ·
ὅστις γυμνωθεὶς ἱερωσύνης θρόνου
δι' ἅπερ ἠρεύξατο δόγματα νόθα
πρὸς συνόδου τρίτης τῆς ἐν Ἐφέσῳ,

9699 τῆς τρίτης τῆς?

chia divinitus effulsit ad Byzantinam collustrandam sedem; (9675) vel potius universo illuxit mundo, quem magisterio suo quotidie illuminat, vere universi orbis sol vivificus. atque hoc sede ab invidis expulso atque ad extraneas proterrito regiones, (9680) ad Comanicam Ponti solitudinem, ubi et beatum habuit vitae terminum, decrepitus Arsacius et vix spirans Eudoxiae iussu augustae in pastorali (qualis post quantum!) sede constituitur, (9685) post solem tenebrae et confusio.

Hoc vitam simul sedemque relinquente, Atticus florens moribus et literis, qui pius erat presbyter ecclesiae, sacram ornavit cathedram Byzantii.

(9690) Post hunc grandaevus aetate Sisinnius, ecclesiae sacerdos ad oleam positae, utilis mitis venerandus pastor.

Quo mortuo Nestorius, sacerdos olim Antiochenae ecclesiae, impii dogmatis, (9695) protervum os et animus profanus exitiosusque lupus, sedem insilit. atque is tamen exutus dignitate, quia spuriorum dogma-

ἧς προστάτης Κύριλλος Ἀλεξανδρείας,
εἰς ἐξορίαν ἀπελήλαται δίκῃ.
Εἶτ' ἐγκατέστη τῷ Βυζαντίδος θρόνῳ
γένει Ῥωμαῖος καὶ θύτης ἐκκλησίας
Μαξιμιανός, ὀρθοδοξίας βάσις.
Γῆθεν μεταστάντος δὲ τοῦδε πρὸς πόλον
μύστης φιλητὸς τοῦ πατρὸς Χρυσοστόμου
καθίσταται πρόεδρος, ἱερὸς Πρόκλος,
ὅστις γε χρισθεὶς ποιμενάρχης Κυζίκου
πρὸς Σισιννίου μακαριστοῦ ποιμένος,
καὶ Κυζικηνοῖς μὴ δεχθεὶς οὐκ οἶδ' ὅπως,
ἄγων σχολὴν δὲ τὸν διὰ μέσου χρόνον,
τότ' εἰς καθέδραν ἠρέθη Βυζαντίδος.
ποίμνην δὲ καλῶς ποιμάναντος δεσπότου,
διδασκάλου σῶμά τε συνηργηκότος
ἀνακομισθῆναί γε πρὸς πόλιν κράτους,
εἶτα λιπόντος γηγενῶν παροικίαν,
ὀρθῶν πρόμαχος Φλαβιανὸς δογμάτων,
πρεσβύτερος τρόφιμος ὢν ἐκκλησίας,
προεδρίαν εἴληφε μάλ' ἐπαξίως.
Οὗπερ θανόντος λακτίσει Διοσκόρου
ἐν Ἐφεσίων λῃστρικῷ συνεδρίῳ
ὡς ὑπερασπίζοντος ὀρθῶν δογμάτων,
θύτης Ἀνατόλιος Ἀλεξανδρείας
ποιμὴν ἀναδέδεικτο τῆς Κωνσταντίνου,
νομεὺς ἀγαθός, πύργος ὀρθοδοξίας·
ἐφ' οὗ τετάρτης συνόδου θεῖον στῖφος

tum auctor erat, ab Ephesino tertio concilio, cui praeerat Cyrillus Alexandrinus, iusto in exsilium pellitur iudicio.

Deinde sedit Byzantina in cathedra homo Romanus, ecclesiae sacerdos, Maximianus, orthodoxiae columen.

Postquam hic terram cum caelo commutavit, patris Chrysostomi dilectus discipulus, sacer creatur patriarcha Proclus; qui ordinatus olim pastor Cyzici a beato Sisinnio patriarcha, a Cyzicenis nescio cur exclusus, interim vacuus ab officio fuerat, nunc ad Byzantii promotus est cathedram. dominicum hic gregem recte pavit, mortalesque exuvias magistri sui curavit pervehendas ad metropolim. Proclo ex convictu hominum sublato, Flavianus veri dogmatis defensor, ecclesiae nostrae presbyter alumnus, pontificatum adiit digne admodum.

Post quem exstinctum ex calce Dioscori in Ephesina synodo latrocinali, ubi rectorum dogmatum protector erat, sacerdos Anatolius Alexandrinus creatur pastor Cpoleos, opilio bonus, rectae fidei

καλῶς ἀλισθὲν ἐν πόλει Χαλκηδόνι
ἀλλότριον τίθησι τῆς ἐκκλησίας
Διόσκορον δύστηνον Ἀλεξανδρείας
ἅμ' Εὐτυχεῖ τε καὶ σφίσιν ὁμοτρόποις.
Ἔπειτα Γεννάδιος, ἀνὴρ γεννάδας,
τῆς εὐσεβείας καὶ καλοῦ παντὸς τύπος,
ἐκκλησίας τρόφιμος ἅμα καὶ θύτης,
τοὺς οἴακας ἴθυνε τῆς ἐκκλησίας.
Μεθ' ὅν τις Ἀκάκιος ὀρφανοτρόφος
ἐκκλησίας θύτης τε, κάκιστος σέβας,
κακῶς ἐπεισέφρησεν τῇ προεδρίᾳ·
ὅστις τετάρτην σύνοδον σεβασμίαν
τό γ' εἰς ἑαυτὸν ἀκυροῖ ψήφοις τάλας.
Τούτου θανόντος τὸν διπλοῦν ὄντως μόρον
ἀνὴρ Φλαβίτας, μάρτυρος ναοῦ Θέκλης
τοῦ κατὰ Συκᾶς διακειμένου θύτης,
ἀνίερος βλάσφημος αἰοφυσίτης,
Ἀκακίῳ σύμπνευς καὶ σύμφρων σέβας,
ἀναξίως ἔσχηκε τὴν προεδρίαν.
Τούτου τελευτήσαντος ἐν βραχεῖ χρόνῳ
Εὐφήμιος ἄξιος ἱεραρχίας,
πρεσβύτερος μὲν τῆς θεοῦ γ' ἐκκλησίας,
τῆς δ' αὖ Νεαπόλεως ὀρφανοτρόφος,
πιστεύεται κάλλιστα τὴν προστασίαν,
ὅσιος ἀνήρ, ὀρθοδόξων προστάτης,

9744 τε καὶ?

turris; sub quo concilii quarti sacer coetus utiliter Chalcedone congregatus alienum declaravit ab ecclesia Alexandrinum miserum Dioscorum (9730) cum Eutychete et aliis paris furfuris.

Postea Gennadius, vir egregius, fidei typus et omnis honestatis, ecclesiae alumnus simul et sacerdos, clavum suscepit regendum ecclesiae.

(9735) Post quem Acacius, orphanorum praeses, presbyter ecclesiae, sed secta pessimus, patriarchatum improbe surripuit. is etiam quartam venerandam synodum, quantum in ipso erat, abolevit miser.

(9740) Post hunc duplici vere exstinctum morte, Flavitas presbyter, ministerio addictus in templo Theclae martyris apud Sycas, profanus et blasphemus monophysita atque Acaciani dogmatis sectator, (9745) patriarchatum contra ius obtinuit.

Hoc autem breve mortuo post tempus, Euphemius, tanto dignus sacerdotio, presbyter quidem in ecclesia dei Neapolique praeses orphanorum, (9750) ad summam cathedram optime deligitur, vir sanctus et

ὄντιν᾽ ἀναθέματι μὴ πεπεισμένον
καθυποβαλεῖν σύνοδον τρισολβίαν
ἐν Χαλκηδόνι συναλισθεῖσαν πάλαι
ἄναξ Ἀναστάσιος ἐκβαλὼν θρόνου
τίθησιν ἐξόριστον ἀδίκῳ δίκῃ.
ἀντικαθιστᾷ δ᾽ εἰς θρόνον Βυζαντίδος
σκευῶν μέγαν φύλακα τῆς ἐκκλησίας,
θεῖον Μακεδόνιον ἐκ πρεσβυτέρων·
ὃν ἀθετῆσαι μηδαμῶς ᾑρημένον
εἰρημένον σύστημα σεπτῶν πατέρων,
εἰς Εὐχάϊτα φυγαδεύει τὴν πόλιν.
Τιμόθεον δ᾽ ἄτιμον ἐγκαθιδρύει,
θύτην μὲν ὄντα σκευοφύλακα θ᾽ ἅμα
ἐκκλησίας πρίν, αἱρετικὸν δ᾽ αὖ σέβας,
ὀρθόφροσιν ἄχθος τι φανέντα μέγα.
Τούτου καταστρέψαντος ἀθλίως βίον
Ἰωάννης σύγκελλος ἅμα καὶ θύτης,
γένει Καππαδόκης δέ, λαμβάνει θρόνον.
Οὗπερ τελευτήσαντος ἐν προεδρίᾳ
Ἐπιφάνιος, ἐμφανὴς ὢν τὸν βίον
πρεσβύτερος σύγκελλος, ἔσχε τὸν θρόνον.
Τούτου θανόντος Ἄνθιμος Τραπεζοῦντος
ἐπιβάτης δέδεικτο τοῦ σεπτοῦ θρόνου,
νοσῶν Σεβήρου καὶ Διοσκόρου νόσον·
ὃν Ἀγαπητὸς καθελὼν Ῥώμης πάπας
εἰς ποιμενάρχην τῆς βασιλίδος χρίει.

protector orthodoxorum; quem renuentem subdere anathemati beatum illum coetum episcoporum qui Chalcedone olim coactus fuerat, (9755) Caesar e sede depulit Anastasius extorremque fecit edicto iniquo, eiusque loco ad cathedram Byzantii extulit magnum ecclesiae sceuophylacem, divum Macedonium, tunc presbyterum; (9760) quem item renuentem maledicere praedicto patrum nobili concilio ad urbem Euchaiticam Caesar expulit, Timotheumque ignobilem obtrusit, sacerdotem quidem et sceuophylacem (9765) ecclesiae pridem, sed haeresi pollutum; id quod aegerrime tulerunt orthodoxi.

Post huius autem infelicem obitum syncellus simul et presbyter Ioannes, Cappadox gente, sedem occupavit.

(9770) Post quem pastoris in munere defunctum splendidis praeditus Epiphanius moribus, presbyter et syncellus, ad sedem venit.

Hoc quoque mortuo, Trapezuntius Anthimus sedem sanctissimam iussus est conscendere, (9775) quanquam Severo deditus et Dioscoro; quo tamen Agapetus Romae papa exauctorato, fecit patriarcham Menam

Μηνᾶν λόγῳ λάμποντα καὶ βίῳ πλέον,
ἐκκλησίας τρόφιμον ὄντα καὶ θύτην,
Ἀλεξανδρέα, τῶν Σαμψὼν ξενοδόχον.
Οὗπερ μεταλλάξαντος εὐαγῶς βίον
Εὐτύχιός τις, καὶ μοναστὴς καὶ θύτης
μονῆς κατ' Ἀμάσειαν εὐαγεστάτης,
λόγων ἑταῖρος ἀρετῆς τ' αὖ ἐργάτης,
νομεὺς ἀγαθὸς ὦπτο Χριστοῦ θρεμμάτων·
ἐφ' οὗ γε πέμπτης συνόδου θεῖον στῖφος
καλῶς ἁλισθὲν ἐν βασιλίδι πόλει,
στοιχοῦν τετάρτης συνόδου θείοις ὅροις,
αὐτοῖς γε συγγράμμασι τὸν Ὠριγένην
τίθησιν ἐκκήρυκτον ἅμα Διδύμῳ
καὶ Θεόδωρον τὸν τῆς Μοψουεστίας.
ἐξωσμένου θρόνου δὲ τοῦδ' Εὐτυχίου
ἐφ' οἷσπερ ἐξήλεγχε τὸν βασιλέα
δόγμα στυγητὸν κρατύνοντα καὶ νόθον
τῶν σάρκα φθαρτὴν μὴ λεγόντων σχεῖν λόγον,
σχολαστικός τις εὐσεβὴς Ἰωάννης,
τῆς Ἀντιόχου τυγχάνων θυηπόλος,
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου.
χρησαμένου τέλει δὲ τοῦδε τοῦ βίου
καὶ πάλιν Εὐτύχιος εὐτυχεῖ θρόνον.
Μεθ' ὃν καθωράϊσε τὴν ἐκκλησίαν
ἀνὴρ χαριτώνυμος, ὄλβιον κάρα,
νηστευτὴς τοὐπώνυμον ἐξ ἔργων φέρων,

9793 οὔκερ V

Alexandrinum, facundia clarum magisque moribus, alumnum sacerdotem (9780) ecclesiae, xenodochio praefectum Sampsonis.

Quo pie mortalem deserente vitam, Eutychius quidam monachus et sacerdos ex Amaseno sanctissimo coenobio, amicus literarum, virtutis auctor, (9785) Christiani bonus pastor ovilis fuit. sub eo quintae synodi divus coetus regali in urbe rite congregatus, insistens quartae synodi canonibus ipsisque eiusdem formulis, Origenem (9790) eiecit ab ecclesia, simulque Didymum et Theodorum Mopsuestiae episcopum. Eutychio postea cathedra depulso, propterea quod reprehendisset Caesarem, qui falsum dogma et pessimum fovebat (9795) de Christi in terra carne incorruptibili, scholasticus Ioannes, homo pius, Antiochena ex urbe, tunc sacerdos, patriarchatum adiit Byzantinum. sed ubi is quoque vitae metam attigit, (9800) rursus Eutychius in sede constituitur.

Post quem ecclesiae splendidus illuxit Ioannes alter, homo beatissimus, dictus verace titulo ieiunator, qui ecclesiae alumnus fuerat et le-

ἐκκλησίας τρόφιμος ὢν καὶ λευίτης,
σύγκελλος ἀξίαν δέ, πνεύματος δόμος,
ὃς Μαυρίκιον ταινιοῖ λαμπρῷ στέφει.
Τούτου δ' ἀναλύσαντος εἰς θείους δόμους
Κυριακός τις, οἰκονόμος καὶ θύτης
θεοῦ μεγάλης ἁγίας ἐκκλησίας,
τὴν ἱερὰν εἴληφεν ἱεραρχίαν,
θεῖός τις ἀνήρ, ὀρθοδοξίας στῦλος.
Τούτου λιπόντος τὴν κάτω προεδρίαν
Θωμᾶς σακελλάριος ἅμα καὶ θύτης
πιστεύεται δὴ τὴν λεὼ προστασίαν,
ἀποστολικός, εὐσεβέστατος σέβας.
Οὗπερ τὸ φάος ἐκλελοιπότος τόδε
ἀντικατέστη λευίτης ἐκκλησίας
πτωχοτρόφος τε λιμένος τῶν τοῦ Φρίξου,
Σέργιος, ἀνὴρ οἰοφυσίτης σέβας.
Τούτου θανόντος ἀντικατέστη Πύρρος,
ἀνὴρ ὅμοιος Σεργίῳ κατὰ σέβας,
θύτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας,
ἄρχων σεμνείων καὶ μονῆς ἐπιστάτης
ἐν Χρυσοπόλει διακειμένης πέραν,
ἀνειμένης δὲ τῇ θεοῦ μητρὶ λόγου,
τῆς Φιλιππικῷ συσταθείσης πρὸ χρόνων.
Τούτου διωχθέντος δὲ τῆς ἐκκλησίας
οἰκονόμος καὶ θύτης τῆς ἐκκλησίας

vita, (9805) syncellusque officio in aede Spiritus. hic Mauricium redimivit stemmate.

Cum autem superas adiisset sedes, Cyriacus, oeconomus et sacerdos magnae atque sanctae dei ecclesiae, (9810) sacrum successit in pontificatum, divinus vir et orthodoxiae columen.

Quo deserente terrenum hunc principatum, ad Thomam sacellarium et sacerdotem defertur populi sacer principatus, (9815) apostolicum hominem religiosissimum.

Huic solarem deserenti lucem successor datus est levita ecclesiae, ptochotrophii praefectus ad portum Phrixi, Sergius, pollutus dogmate monophysitico.

(9820) Cui morienti Pyrrhus substituitur, haud minus Sergio haeresi corruptus. erat is magnae presbyter ecclesiae, praefectus monachorum, coenobii abbas quod est trans fretum in urbe Chrysopoli, (9825) divini verbi matri dedicatum antiquitusque conditum a Philippico.

Postquam expulsus Pyrrhus ecclesia fuit, Paulus ecclesiae oecono-

κἀπὶ φυλακῶν, δυσσεβὴς Παῦλος σέβας,
παρεισεφθάρη ποιμνίῳ τις ὡς λύκος·
οὗπερ θανόντος δυσσεβῶς ἐν τῷ θρόνῳ
καὶ πάλιν ἀπέλαβε τὸν θρόνον Πύρρος.
Εἶτα Πέτρος κάκιστος ἔσχε τὸν θρόνον,
ἐκκλησίας ὢν λευίτης πτωχοτρόφος
καὶ ῥαιφερενδάριος καὶ γηρωκόμος
τοῦ κατὰ Νεάπολιν πτωχείου τότε,
σύμφρων Σεργίου καὶ Πύρρου καὶ Παύλου.
Τούτου θανόντος τὸν διπλοῦν ὄντως μόρον
Θωμᾶς τις ἄλλος, ὀρθοδοξίας φίλος,
ἐκκλησίας τρόφιμος ὢν καὶ λευίτης,
Χριστοῦ καλῶς ἴθυνε τὴν ἐκκλησίαν.
Οὗπερ μεταλλάξαντος εὐσεβῶς βίον
Ἰωάννης εἴληφε τὴν προεδρίαν,
θύτης τε πρωτέκδικος ὢν ἐκκλησίας
καὶ σκευοφύλαξ σύγκελλος οἰκονόμος
γηρωκόμος τε Ῥωσῶν Δεξιοκράτους,
ποιμνῇ ποδηγῶν πρὸς νομὰς ψυχοτρόφους.
Τούτου θανόντος Κωνσταντῖνος λευίτης
καὶ σκευοφύλαξ τῆς θεοῦ γ' ἐκκλησίας,
περιοδευτὴς Θρᾴκης Μακεδονίας,
ἀρχιθύτης δέδεικτο τῆς ἐκκλησίας,
σπουδαῖος ἀνήρ, εὐσεβοφρόνων κλέος.
Τούτου καταλύσαντος ἐν θρόνῳ βίον

9837 αὖ Σεργίου?

mus et sacerdos, praeses custodum, dogmate perversus, (9830) semet ovili obtrusit tanquam lupus. post quem defunctum impie in ministerio sedem recuperavit denuo Pyrrhus.

Deinde Petrus pessimus ad sedem venit, levita ecclesiae, praeses ptochotrophii, (9835) referendarius, curatorque senum in eo quod est Neapoli ptochodochio, Sergii Pyrrhique et Pauli sectans haeresim.

Hoc passo, ut vere dicam, mortem duplicem, alius Thomas, orthodoxiae amans, (9840) qui ecclesiae alumnus erat et levita, praeclare gubernavit Christi ecclesiam.

Atque hoc pie concludente vitam, pontificatum adiit Ioannes, sacerdos et proteodicus ecclesiae, (9845) sceuophylax, syncellus et oeconomus, et gerocomii Rosorum Dexiocratis praefectus, pastor utilis ovili.

Quo moriente, levita Constantinus, vasorum custos in ecclesia dei, (9850) periodeuta Thraciae et Macedoniae, ad ecclesiae summatum est provectus, probatus vir et decus orthodoxorum.

Hoc in suprema cathedra demortuo, sacer Theodorus Christi dei

Θεόδωρός τις, ἱερὸς Χριστοῦ θύτης
ἐκκλησίας τ' αὖ ἱερῶν σκευῶν φύλαξ,
ἄρχων μονῶν τε, σύγκελλος τὴν ἀξίαν,
προΐσταται κάλλιστα τῆς ἐκκλησίας,
ὀρθῶν προμαχῶν εὐσεβῶν τε δογμάτων.
Τούτου ῥιφέντος ἀδίκως ποίμνης θρόνου
Γεώργιός τις, εὐλαβὴς Χριστοῦ θύτης,
ἐκκλησίας μέγιστος ὢν σκευοφύλαξ
καὶ ποιμενάρχου σύγκελλος τὴν ἀξίαν,
ἐκκλησίας εἴληφε τὴν προεδρίαν,
νομεὺς ἀγαθὸς καὶ θεοῦ νόμων φύλαξ·
ἐφ' οὗ κελεύσει κράτορος Κωνσταντίνου,
ὀρθόφρονός γε, τοὐπίκλην Πωγωνάτου,
ἕκτης σεβαστῆς συνόδου θεῖον στῖφος
ἐν βασιλίδι συναλισθὲν τῇ πόλει
ἐπί γε Χριστοῦ τοῦ θεανθρώπου λόγου
καλῶς ἐδογμάτισεν εὐσεβοφρόνως
διττὰς θελήσεις καὶ φύσεις ἡνωμένας,
καὶ πάντα κατῄσχυνεν οἰοφυσίτην.
Οὗ γῆθεν ἀπάραντος εἰς σκηνὰς ἄνω
Θεόδωρος αὖ ἀπολαμβάνει θρόνον.
Τούτου μεταστάντος δὲ πρὸς θεὸν μόρῳ
ἐκ βασιλείων ἀσηκρῆτίς τις Παῦλος
ποιμαντικῆς ἔτυχε καὶ προεδρίας,
ποιμαντικῆς ἄξιος ἂν καὶ τοῦ θρόνου.

9867 ἐκ τῆς V 9878 ὢν?

sacerdos, (9855) sanctorum in ecclesia vasorum custos syncellus dignitate, praefectus monachis, summa cum laude praefuit ecclesiae atque orthodoxa dogmata defendit.

Sed tamen hoc iniuste depulso sede, (9860) Georgius religiosus Christi presbyter, qui summus erat sceuophylax ecclesiae et syncellus etiam patriarchae, pontificatus munere fungi coepit, opilio bonus, custos divinae legis; (9865) sub quo, mandante Caesare Constantino, orthodoxo principe, Pogonato, divinus venerandae coetus synodi regali in urbe rite congregatus de Christi verbi essentia theanthropica (9870) rectam sententiam protulit et catholicam, duas voluntates statuens et duas naturas coniunctas, omnes damnans monophysitas.

Georgio mox translato ad sedes superas, iterum Theodorus recepit pedum.

(9875) Quo transeunte ad dominum per obitum, Paulus, qui in regia erat a secretis, patriarchali honore insignitus fuit, dignus revera pastorali munere.

Καὶ τοῦδε τὸ ζῆν ἐκμετρήσαντος μόρῳ
Καλλίνικός τις, γεννάδας θυηπόλος
καὶ σκευοφύλαξ Βλαχερνῶν ἐκκλησίας,
ἀνὴρ λόγῳ βίῳ τε καλῶς ἐμπρέπων,
λαβὼν ἐκυβέρνησε τὴν ἐκκλησίαν·
ὅντινα ῥινότμητος ἄναξ ἀδίκως
πηρὸν δεδρακὼς ἐξελαύνει τοῦ θρόνου.
Κῦρον δ' ἀπ' Ἀμάστριδος ἀγαγών, θύτην
ἔγκλειστον ὄντα, ποιμενάρχην δεικνύει·
ὃν Φιλιππικὸς βασιλεὺς ὁ Βαρδάνης,
ὑπερμαχοῦντα δογμάτων τῶν ἐνθέων,
θρόνου τε ποίμνης ἀπελάσας ἀδίκως
ἀντικαθιστᾷ λευίτην Ἰωάννην,
ὄντα χαρτουλάριον οἰκονομείου,
ἄνδρα στυγητόν, Εὐτυχοῦς Διοσκόρου
ὁμόφρονα μύστην τε, τῆς ποίμνης λύκον,
ὃς ἐξεβλήθη τοῦ θρόνου μάλ' ἐνδίκως.
Θύτης δὲ Χριστοῦ καὶ νομεὺς ψυχοτρόφος,
θεῖος Γερμανός, ἀρεταῖς λάμπων λόγοις,
ἐπὶ λυχνίαν ἐντεθεὶς ὥς τις λύχνος
τῆς Κωνσταντίνου τῷ περιόπτῳ θρόνῳ,
λόγων διδαχαῖς κατελάμπρυνε κτίσιν·
ὅστις προβληθεὶς ποιμενάρχης Κυζίκου,

9900 Germani huius prolixum tractatum de vitae termino antea ineditum habes in collectionis Vaticanae volumine 1 p. 285—315; quod scriptum sibi Photius in Amphilochianis usurpaverat, uti docui coll. praed. t. 2 p. 682, ubi eiusdem complementum ex alio codice protuli. M.

Post hunc communi fato exemptum vivis (9880) Callinicus, egregius dei sacerdos, in Blachernarum templo vasorum custos, vir literis et moribus spectatus admodum, ecclesiae curam gubernandae excepit; quem Rhinotmetus Caesar iniquo iussu (9885) oculis excaecatum sede pepulit.

Substituitque Cyrum ex Amastride presbyterum, e monachis quos aiunt inclusos. sed hunc divina dogmata tuentem Philippicus Bardanes potitus sceptro (9890) sententia iniusta pepulit ovili, levitamque ad sedem Ioannem extulit, qui oeconomatus erat chartularius, abominandum hominem, Eutycheti Dioscoroque deditum, in grege lupum; (9895) qui tandem sede pulsus est iustissime.

Sacerdos autem Christi et pastor bonus, divus Germanus, literis ac virtutibus splendens, lucerna veluti in candelabro, e Byzantina eminus conspicua sede (9900) sermonis magisterio effulsit orbi. Cyziceno-

καὶ τοῖς ἐκεῖσε μὴ δεχθεὶς οὐκ οἶδ' ὅπως,
ὑπῆν σχολάζων τὸν διὰ μέσου χρόνον,
μετατεθεὶς δὲ πρὸς Βυζαντίδος θρόνον,
ποίμνην καθωδήγησεν εὐσεβοφρόνως.
Τοῦδ' ἀπελασθέντος δὲ κακῶς τοῦ θρόνου
πρὸς κράτορος Λέοντος ἐξ Ἰσαυρίας,
πρώτου σεβαστῶν εἰκόνων καταλύτου,
ἐφ' ᾧπερ ἐξήλεγχε τοῦτον ἐνθέως,
νέκυς Ἀναστάσιος, εἰκόνων λύτης,
πρεσβύτερος σύγκελλος ὢν ἐκκλησίας,
ποίμνην τυραννεῖ, παραλαβὼν τὸν θρόνον,
μισθωτὸς οἰκτρός, ἄντικρυς λύκος φθόρος,
ὃς πρῶτος ἠθέτησε τιμὴν εἰκόνων.
Τούτου διπλοῦν θάνατον ὑφεστηκότος,
Κωνσταντῖνος ἄθλιος, Συλαίου λύκος,
Ἀναστασίῳ πάντ' ἐοικὼς εἰς σέβας,
σχολὴν ἄγων ἥρπασε τὸν θεῖον θρόνον·
ὅντινα Κοπρώνυμος (αἰνῶ σ' ὦ δίκη)
θρόνου κατασπάσας γε καὶ μάλ' ἐνδίκως,
οὐ πίστεως αὖ οὐδὲ δογμάτων χάριν,
ἔθηκεν ἐξόριστον εἰς ἀλλοτρίαν
καὶ καταγαγὼν αὖθις αὐτὸν εἰς πόλιν,
ἐπιβιβάσας καὶ θριαμβεύσας ὄνῳ,
ἱπποδρομίας ἠγμένης ἐν σταδίῳ
τέτμηκεν αὐτοῦ τὴν παναθλίαν κάραν.

9910 argutia Ephraemii est de contraria significatione νέκυς et ἀναστάσιος quasi vivificans vel resurgens. M.

rum pastor electus fuerat, sed nescio cur ab illis non receptus, interim mansit expers ministerio: postea translatus ad Byzantinam sedem (9905) gregem Christianum rectis minavit semitis.

Sed enim hunc sceleste detraxit sede Leo Caesar Isauricus, qui bellum primus indixit sanctis imaginibus, obiurgante divinitus Germano. (9910) successit falso nomine Anastasius, presbyter et syncellus in ecclesia, sed iconomachus et tyrannus gregis, mercenarius miser, lupus exitiosus, qui honorem primus abrogavit imaginum.

(9915) Hoc temporali morte aeternaque extincto, infelix Constantinus, Sylaei lupus, par Anastasio dogmatis impietate, munere suo vacuus invasit sedem; quem Copronymus tamen, vah iusta poena! (9920) sede detraxit sane merentissimum (nequaquam fidei causa neque dogmatum) et procul urbe pepulit exterrem; deinde rursus Byzantium revocatum, impositumque asello circumduxit, (9925) cumque ederentur ludi in stadio equestres, miserum illic iussit truncari capite; quem ante

ὃν ἤρετο, πρὶν ἐκλιπεῖν ξίφει βίον,
εἰ σύνοδον στέργειε τὴν κατ' εἰκόνων,
καὶ τήνδε καλῶς φαμένου δογματίσαι,
οὐχ ἧττον ἐκτέτμηκεν αὐτοῦ τὴν κάραν.
Μεθ' ὃν Νικήτας ἐκτομίας οἰκότριψ,
μᾶλλον δὲ καὶ τρίδουλος ἀμαθὴς πάνυ,
πρεσβύτερος μὲν κηρύκων θείου δόμου,
ναοῦ σκευοφύλαξ δὲ Χαλκοπρατείων,
ἄρχων σεμνείων ἔκδικός τ' ἐκκλησίας,
Χριστοῦ σεβαστῶν εἰκόνων καθαιρέτης,
ποίμνῃ παρεισέφρησε καθά τις λύμη.
Τούτου καταστρέψαντος ἐν θρόνῳ βίον,
ἐκ λαϊκῶν Παῦλός τις ἀνὴρ Κυπρόθεν,
οὐ χρηματίζων προσκυνητὴς εἰκόνων,
προεδρίαν εἴληφεν ἱεραρχίας.
οὗτος νοσήσας καὶ λιπὼν προεδρίαν,
μονῇ προσελθὼν κείρεται μελαμφόρος,
στένων δακρύων οἷς κατέσχε τὸν θρόνον
ἐκκλησίας αἴσχιστα τυραννουμένης,
καὶ σεπτὰς ἠθέτησε τιμᾶν εἰκόνας.
ὃν οἱ βασιλεύοντες ἀπεσταλκότες
ἤροντο τούτοις ὑποθέσθαι πρακτέα·
ἦ δ' ὅς "συνελθεῖν σύνοδον δεῖ πατέρων
οἰκουμενικὴν εἰς ἴασιν τῆς νόσου
ἐκκλησιῶν θ' ἕνωσιν ἀπεσχισμένων·
ἄλλως τυχεῖν γὰρ οὐκ ἔνι σωτηρίας."

extremum ictum interrogarunt utrum probaret synodum iconomacham: et quanquam dixit recte sensisse synodum, (9930) nihilo tamen minus truncarunt capite.

Successit huic Nicetas eunuchus servus, immo mancipium vile et inscitissimum, apostolorum presbyter in aede sceuophylaxque templi Chalcopratiorum, (9935) advocatus ecclesiae et coenobiarcha, sanctarum Christi imaginum destructor, qui irrepsit in ovile tanquam lues.

Post hunc Nicetam in officio mortuum, Paulus Cypro oriundus et vir laicus, (9940) neque sacrarum venerator imaginum ad hierarchicum venit principatum. hic morbo arreptus cathedram deseruit, atratumque et tonsum se fecit monachum, maerens lugensque quod fuisset praesul, (9945) cum vexaretur miserrime ecclesia, et quod imagines coli vetuisset. hunc internuntio misso regnatores quidnam gerendum esset interrogarunt. respondit is cogendam esse synodum (9950) quae malis obviam iret oecumenicam, unitatemque ecclesiae procurandam, neque salutis aliam spem esse reliquam. illi remisso nuntio rogabant deinde

οἱ δ' ἀντεπῆγον τῷδ' ἐπιστάντες πάλιν
"καὶ πῶς προεδρίαν σὺ μέλλων λαμβάνειν
ἀπηγόρευσας προσκύνησιν εἰκόνων;"
ὁ δ' αὖ κρατούντων ᾐτιᾶτο μανίαν,
ὅθεν στένων νῦν προσπεφευγὼς κυρίῳ
καθικετεύω λιπαρῶς κριτὴν ὅλων
ὡς ποιμενάρχην μὴ κριθῆναί με κρίσει.
μετὰ δὲ μικρὸν ἀπολείπει τὸν βίον.
Μεθ' ὃν κατηγλάϊσεν ἱερὸν θρόνον
Ταράσιος, πρόμαχος ὀρθοδοξίας,
κοσμούμενος βίῳ τε λαμπρῷ καὶ λόγῳ,
πρωτασηκρῆτις, εὐγενὴς ψυχὴν δέμας·
ἐφ' οὗ συνέστη κατὰ Νίκαιαν πόλιν
τῆς ἑβδόμης ἄθροισμα σεπτῶν πατέρων,
οἳ καὶ κυροῦσιν εἰκόνας σεβασμίας
ὡς πρὶν τιμᾶν τε καὶ σέβειν ἐπαξίως,
νέκυν δ' Ἀναστάσιον καὶ Κωνσταντῖνον
σὺν τῷ Νικήτᾳ, μισθίους, οὐ ποιμένας,
ἀναθέματι παρέδωκαν εἰκότως.
Πρὸς νηνέμους δὲ λιμένας Ταρασίου
βίον καθορμίσαντος ἐκ τρικυμίας
διάδοχος θρόνου τε τοῦδε καὶ τρόπου
Νικηφόρος δέδεικτο πρωτασηκρῆτις,
ἀνήρ τις ὄντως εὐγενὴς εὐπατρίδης,
προκινδυνεύων δογμάτων τῶν ἐνθέων,
Χριστοῦ τε ποίμνης ὑπεραθλῶν ὡς θέμις·

9958 καθικετεύων V

"cur autem tu, cum cathedram adires, (9955) colendis imaginibus interdixisti?" ille incusavit principum vesaniam. et nunc ad deum confugiens cum lacrimis universalem iudicem exorabat ne de se ceu patriarcha iudicaret; (9960) pauloque post devenit ad vitae terminum.

Deinde sacram illustravit sedem Tarasius, rectae fidei defensor, literis aeque et moribus insignis, protasecretis, nobilis stirpe et animo; (9965) sub quo convenit ad Nicaenam urbem venerandorum patrum concilium septimum, qui decreverunt sacris imaginibus reddendum esse ut antea honorem debitum; Nicetamque Anastasium et Constantinum, (9970) mercenarios revera, non pastores, anathemate iusto perculerunt.

Iam cum Tarasius ad securum portum ex tempestate vitae appulisset navem, sedis ac morum pariter successor (9975) Nicephorus electus est, protasecretis, vir sane stirpe nobili et patricius, divinorum dogmatum tutelam gerens, atque ut par erat Christi gregem protegens.

ὅντινα ποίμνης ἀπελάσας καὶ θρόνου
ἐξ Ἀρμενίας θηριώνυμος Λέων,
οἷς συμφρονοῦντα μηδαμῶς ἔχων σέβας
μηδ' αὖ συνυβρίζοντα Χριστοῦ τὸν τύπον,
τίθησιν ἐξόριστον εἰς νήσων μίαν.
Θεόδοτον δὲ Κασιτηρᾶν τοὐπίκλην
ἢ Μελισσηνόν, ἐγκαθιδρύει θρόνῳ,
ἄνδρα βέβηλον, εἰκόνων καθαιρέτην
καὶ λύκον αὐτόχρημα Χριστοῦ θρεμμάτων,
θρέμμα πονηρὸν ἄστεος Νακωλείας.
Τούτου θανόντος δυσσεβῶς ἐν τῷ θρόνῳ,
Ἀντώνιός τις Κασσυματᾶς τοὐπίκλην,
νομεὺς Συλαίου δυσσεβής, ἔσχε θρόνον,
θεανδρικὸν τύπωμα μισῶν δεσπότου.
Εἶτ' Ἰαννῆς ἄθλιος, ὁ σκαιὸς γόης,
τοῦ μισοχρίστου κράτορος Θεοφίλου
διδάσκαλος κάκιστος, εἰκόνων λύτης·
ὃν οἱ κρατοῦντες Μιχαὴλ Θεοδώρα
θρόνου κατασπάσαντες ὡς λαοπλάνον
ἀρχιθυτῶν ψήφῳ τε καὶ συμφωνίᾳ,
ἄνδρα μοναστὴν καὶ θεοῦ θεῖον θύτην
Μεθόδιον, σύμμαχον ὀρθοδοξίας,
στίγματα βαστάζοντα σαρκὶ δεσπότου,
εἰς θῶκον ἀνάγουσι τῆς βασιλίδος,
ἐπὶ λυχνίαν ἀναθέντες τὸν λύχνον.

9981 ὡς? vel εἶχεν. 10001 quia scilicet fidei rectae causa plagas perpessus fuerat. M.

porro hunc ovili depulit ac sede (9980) Armenius ille merito dictus Leo, quia dissidentem dogmate videbat neque illudentem secum Christi cruci: exsulem ergo misit in quandam insulam.

Pro quo Theodotum, vulgo Casiteram (9985) vel Melissenum dictum, in sede posuit; profanum hominem, imaginum osorem, lupum revera in grege dominico, germen infaustum urbis Nacoliae.

Post hunc in suo demortuum officio, (9990) Antonius quidam Cassimatas dictus, impius Sylaei episcopus, fit patriarcha; qui exsecrabatur domini sacram crucem.

Sequitur miser Iannes, ineptus magus, antichristiani Caesaris Theophili (9995) magister pessimus, imaginum destructor; quem regnatores Michael et Theodora sede detrudunt veluti impostorem, concordique suffragio episcoporum monachum atque dium dei presbyterum (10000) Methodium, rectae fidei defensorem, domini in carne sua ferentem stigmata, ad sacrum thronum evehunt metropoleos, in candelabro scilicet ponentes lampadem.

Τούτου μεταστάντος δὲ πρὸς τὸν δεσπότην,
ποιμὴν θεαυγὴς ὦπτο τῆς βασιλίδος
Ἰγνάτιος, παῖς Μιχαὴλ βασιλέως,
κανὼν ἀκριβὴς ἀρετῶν καὶ δογμάτων,
παιδεύσεως μέλημα καὶ λόγων κράτος·
ὃν ἐκτομίαν θηριώνυμος Λέων
κράτος κατασχὼν ἀπέφηνε σὺν βίᾳ·
εἶτα μονάσας ὡς θεοῦ θεῖος νόμος,
ὕστατον ἔσχε τῆς Κωνσταντίνου θρόνον.
τοῦτον Μιχαὴλ καταγαγὼν τοῦ θρόνου,
μᾶλλον δὲ Καῖσαρ Βάρδας, ἀδίκῳ δίκῃ
ἄνδρα πανοῦργον καὶ σοφώτατον λίαν
ἐκ λαϊκῶν, Φώτιον πρωτασηκρῆτις,
ἀντικαθιστᾷ ποιμενάρχην ἀδίκως.
τοῦ δ' ἀπελασθέντος ἐκ προεδρίας,
Ἰγνάτιος ἔσχηκε τὸν θρόνον πάλιν.
οὗ γῆθεν ἀπάραντος εἰς πόλου πλάτος,
ἀνάγεται Φώτιος αὖθις πρὸς θρόνον.
οὗ καὶ πάλιν αὖ καταχθέντος τοῦ θρόνου,
ἀδίδυμος Στέφανος, ἄνακτος γόνος
τοῦ Βασιλείου, λευίτης τὴν ἀξίαν,
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου.
Μεθ' ὃν τις Ἀντώνιος, ἀσκητὴς μέγας,
αὐχῶν πατρίδα τὴν βασιλίδα πόλιν,

10015 en ut de Photio schismatis primo auctore loquitur Ephraemius, quanquam ipsemet addictus schismati. multo autem deterius idem loquitur de Michaele Cerulario, Graeci schismatis instauratore. M. 10018 *τοῦ δ' αὖ?*

Exin translato ad dominum Methodio, (10005) splendidus pastor metropoleos exstitit Rhancabi Michaelis Ignatius filius, regula exacta dogmatum ac virtutum, doctrinae cinnus, literarum columen, quem fecerat eunuchum Armenius Leo (10010) iniusta vi, cum raperet imperium, quique deinde monachus pie vixerat, postremo Byzantinam conscendit sedem; e qua deinde Michaël hunc deturbavit, vel potius Bardas Caesar, iniusto iussu, (10015) callido viro et plane versutissimo, laico Photio, tunc protasecretis, patriarchatum interim usurpante. sed enim Photio pariter de sede pulso, stationem suam Ignatius recuperavit; (10020) quo transeunte ad superas regiones in sacram sedem revocatur Photius. tandem eiecto denuo de sede Photio, Stephanus eviratus, levita officio, imperatoris Basilii filius, (10025) pontificatum Byzantinum rexit.

Post quem Antonius quidam, asceta magnus, natus in urbe regia Cpoli,

ὅσιος ἀνήρ, ἀρεταῖς ἐστεμμένος,
οἴκτου νεώς, ἄντικρυς ἀγαθωσύνη.
Τούτου λιπόντος τὴν γεηρὰν οὐσίαν
μεταβεβηκότος δὲ πρὸς θείους νόας,
ἀρχιθύτης δέδεικτο τῆς Βυζαντίδος
ἀνὴρ μοναχὸς εὐλαβής, σοφὸς μέγας,
κλῆσιν μὲν Νικόλαος, ἄξιος θρόνου,
μυστικὸς ἀξίαν δὲ πρόσθεν τυγχάνων,
ἐκφὺς Ἰταλῶν, εὐφυὴς περὶ λόγους.
ὃν ἐξελάσας τοῦ θρόνου σοφὸς Λέων
τετραγαμίας ἄγος οὐ δεδεγμένον,
Εὐθύμιον σύγκελλον ἐγκαθιδρύει.
τούτου διωχθέντος δὲ τῆς προεδρίας,
πάλιν ὁ Νικόλαος ἔσχε τὸν θρόνον.
Τούτου θανόντος Στέφανος Ἀμασείας,
σπουδαῖος εὐνοῦχός τις, ἱερὸς θύτης,
Ῥώμης νέας εἴληφε τὴν προεδρίαν.
Τούτου τὸ βιοῦν καταλύσαντος μόρῳ,
ἀρχιερεὺς δέδεικτο τῆς Κωνσταντίνου
Τρύφων μοναστὴς εὐλαβής τε καὶ γέρων.
Τοῦδ' ἀπελαθέντος δὲ τοῦ θρόνου δόλῳ,
εὐνοῦχος υἱὸς Ῥωμανοῦ βασιλέως,
κλῆσιν Θεοφύλακτος, αὐχεῖ τὸν θρόνον,
οὐκ εὐαγῶς ζῶν οὐδὲ κατὰ ποιμένας,

10028 ἀρετῆς V   10030 τὴν om V

vir sanctus et virtutibus affluentissimus, misericordiae templum et bonitatis.

(10030) Hoc dimittente mortales exuvias atque ad beatos angelos conscendente, patriarcha Byzantii electus est monachus, homo pius sapiens magnus, nomine Nicolaus, sede dignus, (10035) qui fungebatur antea officio mystici, Itala gente ortus, ornatus literis. hunc spoliavit honore Leo sapiens quartas vetantem celebrari nuptias, syncellumque Euthymium pro eo constituit. (10040) verum hoc ipso dignitate exuto, iterum Nicolaus recepit sedem.

Sed hoc defuncto Stephanus Amasenus, eunuchus frugi, sacerdos ordinatus, pontificatum novae Romae obtinuit.

(10045) Stephano communis fati extincto viribus, fit patriarcha Cpoleos monachus Tryphon, religiosus senex.

Quem postquam sede depulerunt dolo, Romani imperatoris eunuchum filium (10050) nomine Theophylactum pedo donant; qui neque

κυνηγεσίοις προστετηκὼς δ' ἐκτόπως
ταῖς ἱππομανίαις τε καὶ τούτων δρόμοις.
Τούτου καταστρέψαντος ἐν θρόνῳ βίον
ἀντικατέστη ποιμενάρχης κυρίου
Πολύευκτος, ἄξιος ἱεραρχίας,
εὐκταῖον ὄντως χρῆμα καὶ πᾶσι φίλον,
κλέος μοναστῶν, ἀρετῶν πασῶν τύπος,
διαπρέπων λόγῳ τε καὶ τρόπῳ πλέον.
Τοῦδ' ἐκλελοιπότος δὲ τὸν φθαρτὸν βίον
μοναχὸς Βασίλειος ἔσχε τὸν θρόνον,
ἐκ τῆς πατρίδος Σκαμανδρηνὸς τὴν θέσιν.
Καθαιρεθέντος τοῦδε τῆς προεδρίας
Ἀντώνιός τις εὐλαβὴς ὁ Στουδίτης
ἀρχιθύτης πέφηνε τῆς Βυζαντίδος.
Τοῦ δ' Ἀντωνίου θῶκον ἀπειπαμένου
ὁ Νικόλαος Χρυσοβέργης τοὐπίκλην
εἰς τόνδ' ἀνήχθη τὸν περίπυστον θρόνον.
Τούτου μεταστάντος δὲ πρὸς τὸν δεσπότην
κατέσχε Σισίνιος μάγιστρος θρόνον,
παιδείας ἴδρις ἰατρικῆς καὶ νόμων,
βαθμοὺς ὁ συνθεὶς συγγενικοὺς ἐννόμους.
Τούτου θανόντος καὶ λελοιπότος φάος,
μονῆς προεστὼς Μανουὴλ κεκλημένης
Σέργιος ἀνὴρ παραλαμβάνει θρόνον.

10059 τε om V

sancte vixit nec pastoraliter, sed venationi semper absurde deditus equis nutriendis et cursim exercendis.

Hoc vitae et dignitatis faciente finem, (10056) promotus est ut esset dei pontifex dignus sacrorum apice Polyeuctus, egregius sane vir cunctisque amabilis, gloria monachorum, virtutum typus, doctrinae luce clarus sed magis moribus.

(10060) Hoc etiam relinquente caducam vitam, insedit cathedram Basilius monachus, dictus a patria vulgo Scamandrenus.

Huic abrogato posthinc pontificatu, pius Antonius de Studii coenobio (10065) fit patriarcha Byzantinae urbis.

Exin honorem abdicante Antonio, Nicolaus cognomine Chrysoberges evectus est ad sedem famosissimam.

Quo transeunte ad domini conspectum, (10070) magister cathedram insedit Sisinnius, literis doctus, medicina et legibus, qui affinitatum scripsit iustos gradus.

Postquam vitalem lucem hic deseruit, sacram excepit dignitatem Sergius, (10075) coenobii alumnus Manuelis dicti.

Τούτου θανόντος ἐγκαθίσταται θρόνῳ
πρῶτός τις Εὐστάθιος ἐν πρεσβυτέροις
τῶν ἐν βασιλείοις γε κατειλεγμένων.
Καὶ τοῦδε τὸ ζῆν ἐκμετρήσαντος μόρῳ
ἐκκλησιάρχης τῆς μονῆς τοῦ Στουδίου
μοναχὸς Ἀλέξιος εἴληφε θρόνον,
ἀνὴρ μεγαλόδωρος, ὄλβιος θύτης.
Οὗπερ μεταλλάξαντος εὐαγῶς βίον
κλῆσιν Μιχαήλ, Κηρουλάριος θέσιν,
εὐπατριδῶν εἷς καὶ μονοτρόπων ἅμα,
καθίσταται πρόεδρος ἀρχιποιμένων,
θερμουργὸς ἀνήρ, ὑπερόπτης τῶν νόμων,
ὃν καταγαγὼν Ἰσαάκιος θρόνου
εἰς ἐξορίαν παρέπεμψε σὺν δόλῳ.
Ἔνθα θανόντος ἐγκαθίδρυται θρόνῳ
καὶ ποιμενάρχης ἀναδείκνυται μέγας
Κωνσταντῖνός τις ἐκτομίας Λειχούδης,
πρωτοβεστιάριος ὢν τὴν ἀξίαν,
σπουδαῖος ὄντως, εὐλαβής, θεῷ φίλος,
ἐν δημοσίαις πραγμάτων λειτουργίαις
φανεὶς ἄμεμφὴς ἀνεπίληπτος πάνυ,
πολλῷ δὲ μᾶλλον ἐν καλῶν ἐργασίαις.
Οὗ τὸν παρόντα καταλύσαντος βίον
ὁ Ξιφιλῖνος χαρίεις Ἰωάννης
ἐκκλησίας ἰθύνει τὴν προεδρίαν,
βίῳ λόγῳ γένει τε λαμπρῶς ἐμπρέπων·

Post cuius obitum praesul constituitur Eustathius, princeps presbyterorum qui in aede palatina rem sacram curant.

Hoc quoque vitae terminum attingente, potitus est honore Alexius monachus, ecclesiarcha in Studii coenobio, vir liberalis, splendidus sacerdos.

Quo sancte concludente vitam obitu, Michael cognomento Cerularius, nobilis vir, professione monachus, episcoporum praesul constituitur, turbulentus homo, contemptor legum; quem Isaacius Caesar detractum sede non sine dolo misit in exsilium.

Cuius post obitum cathedra potitur et patriarcha magnus constituitur Lichudes eviratus Constantinus, qui dignitate erat protovestiarius, probatus homo, pius et deo dilectus; in negotiorum publicorum cura sine querela inventus inculpabilis, nedum in rei sanctioris ministerio.

Atque hoc etiam dimittente vitam, vir gratiosus, Xiphilinus Ioannes, ecclesiae coepit regere principatum, stirpe vita literis apprime

ὃς πρόσθεν ὢν εἷς εὐγενῶν τῶν ἐν τέλει,
κόσμον λελοιπὼς τὰ μοναχῶν ὑπέδυ
καὶ ποιμενάρχης ἐκρίθη Βυζαντίδος.
Τούτου τὸν ἀνθρώπινον ἐκβάντος βίον
Κοσμᾶς μοναχὸς Ἱεροσολυμίτης,
ἀνὴρ ἀγαθός, ἀρετῶν θεῖος δόμος,
χειρίζεται δὴ τὴν λεὼ προστασίαν·
ὃς δυσχεραίνων πραγμάτων τῇ συγχύσει
ἑκὼν ἀπηγόρευσεν ἱερωσύνην,
καλῶς ὑπεκστὰς καὶ θρόνου καὶ ποιμνίου.
Εἶτ' ἐγκατέστη τῷ πανυψήλῳ θρόνῳ
μοναχὸς Εὐστράτιος, Γαριδᾶς θέσιν,
πρὸς πᾶν ὁτιοῦν μὴ πεφυκὼς κρειττόνων,
παιδεύσεως ἄμοιρος ἅμα καὶ λόγων,
ἡσυχίᾳ τε γωνίᾳ μᾶλλον πρέπων
ἢ προστασίᾳ καὶ λεὼ προεδρίᾳ.
Τοῦδ' ἀπελαθέντος γε τῆς προεδρίας
ὅσιος ἀνήρ, εὐλαβής, πρᾶος φύσει,
θεῷ προβληθεὶς Νικόλαος ἀξίως,
μοναχὸς ἐλλόγιμος, ἄξιος θρόνου,
ἐκκλησίαν ἴθυνεν ὡς θεῷ φίλον.
Τούτου μεταστάντος δὲ πρὸς θείους νόας
ἀνὴρ χαριτώνυμος, ἐμπρέπων λόγοις,
ἱερομνήμων λευίτης ἐκκλησίας,
τῷ τηνικαῦτα ποιμένι Χαλκηδόνος
ἀγχοῦ καθ' αἷμα καὶ γένος συνημμένος,

clarus, nobilis quondam inter senatores; deinde omisso mundo se fecit monachum, Byzantii tandem evasit patriarcha.

(10105) Iam vero hoc humanis exempto rebus monachus Cosmas Hierosolymites, vir bonus et virtutum thesaurus mirus, populi accepit sacrum principatum. sed enim is turbatas res fastidiens, (10110) sponte abdicavit sacrum ministerium, sede et ovili secedens laudabiliter.

Exin statuitur in sublimi cathedra Eustratius monachus cognomento Garidas, ad nullam rem praeclaram natura idoneus, (10115) egens doctrinae omnis et literarum, angulis et silentio longe aptior quam dignitati et populi primatui.

Ergo post hunc eiectum ministerio vir sanctus, religiosus, miti ingenio, (10120) deo volente electus Nicolaus, monachus eruditus, sede dignus, ecclesiae rem direxit ut deo placet.

Nicolao transgresso ad coetus superos, Ioannes laude literarum florens, (10125) hieromnemon et levita ecclesiae, Chalcedonensi praesuli

τὸ δ' Ἀγαπητὸς ὡς ἐπώνυμον φέρων,
ἀνάγεται δὴ πρὸς θρόνον Βυζαντίδος.
Οὗ τὸν παρόντα καταλείψαντος βίον
Στυππῆς Λέων εἴληφε τὴν προεδρίαν,
οἰκονόμος ὢν λευίτης ἐκκλησίας.
Καὶ τοῦδε τὸ ζῆν ἐν θρόνῳ λελοιπότος
πρόεδρος ὤφθη ποιμενάρχης αὖ μέγας
σεμνὸς Μιχαήλ, ἀρεταῖς λάμπων λόγοις,
μονῆς προεστὼς εὐαγοῦς τῆς Ὀξείας·
ὅστις ἑκὼν λέλοιπεν ἱεραρχίαν,
πρὸς νησίδα δὲ καὶ μονὴν τῆς Ὀξείας
ἐπαναδραμών, ὑποθεὶς τὸν αὐχένα
ναοῦ πύλῃ δόχμιον, ὢ πράου τρόπου,
πατεῖν παρεῖχεν εἰσιοῦσι τὸν δόμον,
ἐφ' οἷς ἀποστὰς τῆς μονῆς τῆς ἰδίας
ἀξυμφόρως εἴληφε τὴν προεδρίαν.
Οὕτω μεταστάντος δὲ Μιχαὴλ θρόνου
Κοσμᾶς Ἀττικός, κόσμος ἱεραρχίας,
τῶν ἀρετῶν ὄχημα, καλῶν ἑστία,
προφητικός τις καὶ τὸ μέλλον προβλέπων,
ἀρχιθύτης δέδεικτο τῆς Κωνσταντίνου,
ποιμὴν ἀγαθὸς καὶ νομεὺς ψυχοτρόφος,
ὅνπερ καθεῖλε Μανουὴλ ἄναξ θρόνου,
ψευδεῖς προφάσεις αἰτίας τε συμπλάσας·
ὅθεν προαχθεὶς ποιμενάρχης ὁ βλέπων
ἦ μὴν μενεῖν ἄκαρπον ἄρρενος τόκου
μήτραν προηγόρευσε τῆς βασιλίδος·

coniunctus sanguinis iure ac necessitudine, dilectus dici ceu cognomento solitus, ad Byzantinam cathedram evehitur.

(10130) Quo derelinquente caducam vitam, pontificatum adiit Styppes Leo, ecclesiae iam oeconomus et levita.

Hoc etiam vitam in sede dimittente, magnus processit pontifex et primas (10135) literis Michael clarus et virtutibus, sancti coenobii praeses Oxitani; qui tamen sponte honorem abdicavit, atque ad Oxiae monasterium insulae reversus collum praebuit protentum (10140) in templi foribus, pro mansuetudinem! ingredientium omnium calcandum pedibus; propterea quod coenobio relicto suo inutilem honorem recepisset.

Sic Michael deserente sedem, (10145) Atticus Cosmas, sacerdotii decus, cinnus virtutum, honestatis apex, spiritu quoque praeditus prophetico, processit praesul Cpoleos, nutritor animarum, pastor bonus. (10150) quem tamen exauctoravit Manuel Caesar falsi conficto criminis obtentu: quare in iudicium patriarcha adductus ait prophetans uterum

καὶ ταῦτα συμβέβηκεν ὑστέρῳ χρόνῳ.
δουκὶ μεγάλῳ καὶ κρατοῦντος νυμφίῳ
Κοντοστεφάνῳ, πρὸς τόδ' ἠπειληκότι
δρᾶσαι δ' ἀεικὲς τόνδ' ἐπιβεβληκότι,
ἔχειν προεῖπε τὸν διὰ λίθου μόρον·
εἴληφε δ' ἄμφω τὰ προλεχθέντα τέλος.
Μεθ' ὃν Μουζάλων Νικόλαος Κυπρόθεν
μετατεθεὶς ἴθυνε τὴν ἐκκλησίαν,
ἀνὴρ τρόφιμος λευίτης ἐκκλησίας,
διδάσκαλός τ' αὖ τῶν Παύλου θείων λόγων.
εἶτ' ἀρχιθύτης ἀνεδείχθη Κυπρίων,
καὶ δυσχεράνας πραγμάτων τῇ συγχύσει
θρόνον παρῃτήσατο καὶ προεδρίαν·
βακάντιβος δ' ὢν ἐν βασιλίδι πόλει
καὶ Κοσμιδίου τῆς μονῆς ἐπιστάτης,
εἴληφε θῶκον τῆς Βυζαντίδος τότε.
Αὐθαιρέτως τούτου δὲ λιπόντος θρόνον
Θεόδοτός τις, καὶ μοναχὸς καὶ θύτης,
μονῆς προεστὼς ἀναστάσεως λόγου
τῆς ἐν πόλει νῦν κειμένης βασιλίδι,
πρόεδρος ὤφθη τῆς Κωνσταντίνου θρόνου.
Οὗπερ θανόντος Κωνσταντῖνος, λευίτης
καὶ σακελλίου τῆς θεοῦ γ' ἐκκλησίας,
ὁ Χλιαρηνός, παραλαμβάνει θρόνον.
Καὶ τοῦδε βίον ἐκμετρήσαντος μόρῳ

10164 recole quae dixi ad v. 4750. M.

reginae mascula prole sterilem futurum. (10155) posterum tempus dictum confirmavit. iam magno duci, imperatoris genero, ob id minanti graviter Contostephano, et dirum aliquid facere volenti, praedixit ipsum periturum lapide. (10160) utrumque dictum exitu non caruit.

Post Cosmam autem Muzalo Nicolaus Cypro translatus ecclesiam gubernavit, ipsius ecclesiae alumnus et levita, sacrarum Pauli interpres literarum, (10165) Cypri deinde factus archipraesul; quam tamen sedem abdicavit postea, prorsus humanarum colluviem rerum. cum vero otiosus esset Cpoli coenobiique praeses ad Cosmidium, (10170) tunc quidem Byzantinam excepit sedem.

Hac tamen ipsa sponte dein recessit. Theodotusque monachus et sacerdos, praeses coenobii Christi resurgentis, quod nunc concluditur moeniis metropoleos, (10175) donatus est Byzantinis [illegible].

Cuius demortui Chliarenus sedem excepit Constantinus, in dei ecclesia praepositus sacello et levita.

Atque hoc etiam moriente Lucas (10180) religiosus Chrysoberges

Λουκᾶς μοναχὸς εὐσεβὴς Χρυσοβέργης,
ἀσκητικὸν κάλλιστον ἀνύων βίον,
ἐπαξίως ἔσχηκε τὴν προεδρίαν.
Μεθ' ὃν Μιχαὴλ λευΐτης σακελλίου,
φιλοσόφων ὕπατος, τοῦ Ἀγχιάλου,
κοσμεῖ θρόνον κάλλιστα τῆς Κωνσταντίνου.
Τούτου μεταστάντος δὲ πρὸς πόλου πλάτος
Εὐγενειώτης ἐν μονοτρόποις θύτης,
μονῆς προεστὼς χρηματίσας Μαγγάνων,
κλῆσιν Χαρίτων, παραλαμβάνει θρόνον.
Τούτου λιπόντος τὴν κάτω παροικίαν
Θεοδόσιος ἐκ μονῆς Βοραδίου,
ἀνὴρ ἀγαθὸς καὶ μονοτρόπων κλέος,
Χριστοῦ καλῶς ἴθυνε τὴν ἐκκλησίαν.
Τούτου λιπόντος ἱεραρχίας θρόνον
ἑκουσίως τε τὸν θρόνον λελοιπότος,
Βασίλειός τις Καματηρὸς τοὐπίκλην,
λόγιος ἀνήρ, χαρτοφύλαξ λευΐτης,
ἀντικατέστη τῷ σεβασμίῳ θρόνῳ·
ὃν Ἄγγελος σχὼν Ἰσαάκιος κράτος
κατήγαγε θρόνου τε καὶ προεδρίας,
συνθεὶς προφάσεις παντάπαν ἀνευλόγους.
σακελλάριον λευΐτην δ' ἐκκλησίας,
κλῆσιν Νικήταν, Μουντάνην δὲ τοὐπίκλην,
παλαίτερόν γε Τιθωνοῦ καὶ Θουκρίτου,
ἀρχιθύτην δείκνυσι τῆς Κωνσταντίνου.

monachus, egregie functus hactenus vita ascetica, pro suis meritis ad infulas devenit.

Post Lucam Michaël levita sacellarius, philosophorum hypatus Anchiali, (10185) tiaram Byzantinam egregie ornavit.

Atque hoc translato ad caerula superna, Eugeniota monachus sacerdos, coenobio Manganorum tunc praepositus, nomine Chariton sedem occupavit.

(10190) Hoc deserente terrenum incolatum, Theodosius, qui in Boradii coenobio vixerat, vir sane bonus et decus monachorum, ecclesiam Christi rexit laudabiliter.

Is tamen sacrum honorem abdicavit. (10195) cui sedem vacuam sponte relinquenti venerandarum heres infularum successit Basilius Camaterus, vir eruditus, chartophylax, levita; quem Isaacius imperator Angelus (10200) pontificatus exuit honore, falsis omnino circumventum criminibus. pro quo levitam ecclesiae sacellarium, nomine Nicetam cognomine Muntanem, Tithono Thucritoque annosiorem, (10205) creavit

μετὰ μικρὸν δὲ τοῦ θρόνου κατασπάσας
ὡς ἀφελῆ τε καὶ χρόνῳ παρειμένον,
ἄνδρα μοναχόν, ἀρετῆς ὄντ' ἐργάτην,
τὸν πρᾷον Λεόντιον ἐγκαθιδρύει,
λόφων ἀπ' αὐτῶν ἀγαγὼν Αὐξεντίου·
ὃν τῷδε δεῖξαι τὴν ἀπείρανδρον κόρην
ἔφασκε νυκτὸς συλλόγων ἠθροισμένων,
εἶδός τε κλῆσιν ἀρετὴν τοῦδ' εὐστόχως
καλῶς διαγράψασαν ὡς ἐν εἰκόνι.
ἀλλά γε καὶ τόνδ' ἀπελαύνει τοῦ θρόνου,
πάντα παριδὼν τὰ προηγορευμένα,
μετάθεσιν δὲ δραματουργεῖ ποιμένος·
ἀρχιθύτην γὰρ τῆς Σιὼν τῆς ἁγίας,
κλῆσιν Θεοδόσιον, φύντα Λατίνων,
ἐθάδα τῷδε καὶ προήγορον κράτους,
εἰς θῶκον ἀνήγαγε τῆς Κωνσταντίνου.
ἀλλ' οὐδὲν ἀπώνατο τῆς κακουργίας·
ἀμφοῖν γὰρ ἐκπέπτωκεν ἱεραρχίαιν
καὶ τῶνδ' ἀτίμως ὁ προβληθεὶς ἀκρίτως.
Ἔπειτα Γεώργιος ὁ Ξιφιλῖνος,
σκευοφύλαξ ὢν τῆς θεοῦ γ' ἐκκλησίας,
ποιμαντικὴν εἴληφε καὶ προεδρίαν.

10219 Θεοδόσιον] sic etiam v. 6017. atqui hunc passim appellant alii Dositheum, quos inter Methodius infra a nobis edendus. sed enim Dositheus nihil aliud est nisi metathesis τοῦ Theodosius. sic in coll. Vat. t. 2 p. 441, quem Polybius appellaverat Theotimum, Diodorus cum anagrammate dicit Timotheum. M. 10220 Allatius de cons. p. 702 legebat ἐνθάδε, quae mihi melior lectio videtur. codex tamen noster tum hic tum v. 6018 habet ἐθάδα. M. 10225 recitat tres hos de Xiphilino versiculos Allatius de Georgiis p. 664 ed. Fabric. M.

praesulem Cpoleos; quem ceteroqui paulo post deposuit tanquam effetae aetatis ac delirum; substituitque professione monachum asceticumque hominem Leontium, mitem, (10210) e collibus Auxentii in urbem pertrahens. atque hunc sibi a virgine deipara dicebat Isaacius adstanti turbae noctu monstratum, et affabre descriptam corporis speciem cum virtute ac nomine. (10215) nihilo tamen minus hunc sede depulit postea, dictorum negligens suorum. namque transferre voluit episcopum. sanctae nempe Sionis patriarcham, stirpe Latinum, Theodosium nomine, (10220) cognitum sibi atque imperii vatem, ad Byzantinas infulas provexit. sed homini nihil profuit facti novitas: ambobus enim sacerdotiis excidit cum ignominia, nequiter electus.

(10225) Secutus est Georgius Xiphilinus, e sceuophylace in ecclesia dei ad pastoralem cathedram subvectus.

Τούτου θανόντος ἐγκαθίσταται θρόνῳ
ὁ Καματηρὸς εὐεπὴς Ἰωάννης,
ἴδρις σοφίας παντοδαπῆς καὶ λόγων,
ἐπήβολός τε δογμάτων τῶν ἐνθέων,
ἐκκλησίας ὢν λευίτης χαρτοφύλαξ·
ἐφ' οὗ παρεστήσαντο Λατῖνοι πόλιν.
ὃς ἐξελαθεὶς δυστυχῶς πρὸς Λατίνων
θρόνου πατρίδος, τῆς σεμνῆς Βυζαντίδος,
οἰκεῖ Διδυμότειχον εἰς ἄστυ φθάσας,
ἔνθα θανὼν ἔλιπεν ἡλίου φάος.
Μετὰ δὲ τοῦτον ποιμένες Βυζαντίδος
οὗτοι προεβλήθησαν ἐν Νικαέων,
πρῶτος Μιχαήλ, Αὐτωρειανὸς θέσιν,
σακελλάριος λευίτης ἐκκλησίας,
ἴδρις σοφίας κοσμικῆς θείας ἅμα.
Οὗπερ μεταλλάξαντος ἐν θρόνῳ βίον,
Θεόδωρος εἴληφε τὴν προεδρίαν,
ἐκκλησίας ὢν λευίτης χαρτοφύλαξ,
τοὐπώνυμον σχὼν Εἰρηνικὸς πατρόθεν,
φιλοσόφων ὕπατον ἀξίαν λόγους.
Καὶ τοῦδε θανόντος δὲ τὴν προεδρίαν
Μάξιμος αὐχεῖ καὶ μοναχὸς καὶ θύτης,
μονῆς προεστὼς εὐαγοῦς ἀκοιμήτων.

10228 ex hoc versiculo usque ad v. 10300 habes patriarchas Cpolitanos, qui in exsilio electi fuerunt, apud Allatium de consensione lib. 2 c. 14 p. 725, item partim in adn. ad Acropolitam c. 6. M. 10235 Allatius in utroque citato loco pro *σεμνῆς* legit *ἐμῆς*. num ergo hinc orta est Allatio opinio quod Ephraemii patria Byzantium fuerit; quandoquidem eum appellat Byzantinum? M.

Hoc vita functo stationem occupavit oris facundi Ioannes Camaterus, (10230) omnigena cumulatus sapientia ac literis, et divinorum dogmatum callentissimus, antea levita ecclesiae et chartophylax. sub eo metropolim Latini expugnaverunt. quamobrem infeliciter ab his expulsus (10235) sede atque alma patria Cpoli, Didymotichum transtulit stationem, ibique clausit oculos vitali luci.

Post hunc pastores urbis Byzantinae hi creabantur in oppido Nicaea. (10240) primus est Michaël, dictus Autorianus, ecclesiae sacellarius et levita, mundanis literis divinisque abundans.

Post quem in sede exstinctum Theodorus sacri primatus adiit honorem, (10245) antea levita ecclesiae et chartophylax, Irenici cognomen a patre trahens, in studiis philosophicis gradu hypatus.

Quo moriente sacrae rei primatum Maximus tulit, monachus, sacerdos, (10250) Acoemetarum praepositus coenobio.

Μεθ᾽ ὃν Μανουὴλ φιλόσοφος τὸν λόγον,
φύλαξ ἀκριβὴς καὶ νόμων καὶ κανόνων.
Τούτου λιπόντος τὴν κάτω παροικίαν,
πολὺς Γερμανὸς τὸν βίον καὶ τὸν λόγον
ἀρχιθύτης δέδεικται τῆς Κωνσταντίνου,
ἀνὴρ μοναστὴς καὶ θεοῦ θυηπόλος,
αὐχῶν Ἀνάπλουν πατρίδα Προποντίδος,
ἐκκλησίας τρόφιμος ὢν τῆς ἐν πόλει·
εἶτα μονάσας, καὶ φανεὶς θεοῦ λάτρις
Γεωργίῳ μάρτυρι καὶ πεφιλμένος,
ἔλαχε ποίμνην ἰθύνειν Βυζαντίδος.
Τούτου μεταστάντος δὲ πρὸς τὸν δεσπότην
καὶ συναφθέντος πατριαρχῶν ἁγίοις,
Μεθόδιός τις, καὶ μοναχὸς καὶ θύτης,
μονῆς προεστὼς τῆς Ὑακίνθου τότε,
ἐπὶ βράχιστον ἀπολαύει τοῦ θρόνου.
Οὕπερ θανόντος καὶ λιπόντος τὸν βίον
ὁ πρωτοθύτης Μανουὴλ ἔσχε θρόνον
τῶν ἐν βασιλείοις γε κατειλεγμένων,
γέρων προσηνής, μειλίχιος τὸν τρόπον.
Χρησαμένου τέλει δὲ τοῦδε τοῦ βίου
Ἀρσένιός τις εὐλαβὴς μονοτρόπων,
τῶν ἀρετῶν κάλλιστος ἔμψυχος θρόνος,
εἰς ποιμενάρχην ᾑρέθη Βυζαντίδος,
σειρὰν γένους ἕλκων μὲν ἐκ Βυζαντίου,
κόμην δὲ καρεὶς ἐν μοναῖς τῆς Νικαίας,

Post hunc philosophus oratione Manuel, legum defensor canonumque sedulus.

Quo deserente terrenum incolatum, clarus doctrina et moribus Germanus (10255) creatur praesul Cpoleos, vir monachatum profitens, dei sacerdos, oppido oriundus Anaplo in Propontide, in urbe a pueritia ecclesiae alumnus, deinde factus monachus et dei minister, (10260) carus praecipue martyri Georgio; prostremo Byzantinus evasit pastor.

Sed hoc per obitum transeunte ad dominum et patriarchis sanctis connumerato, Methodius item monachus et dei sacerdos, (10265) tunc Hyacinthi praesidens coenobio, tempore sedem tenuit brevissimo.

Quo moribunda deserente membra, pedum corripuit Manuel archipresbyter cleri qui sacram aedem palatii curat, (10270) senex benignus, mansuetis moribus.

Atque hoc etiam concludente vitam, Arsenius inter monachos pietate fulgens, virtutum eximia atque animata sedes, electus est Byzantii patriarcha. (10275) is natus quidem erat in urbe regia, sed in Nicaenis

καὶ τῇδε δειχθεὶς καὶ μονῆς ἐπιστάτης·
εἶθ' ἡσυχάζων καὶ θεῷ προσανέχων
ἐν Ἀπολλωνιάδος ἀσκητηρίοις
ἀφῖκτο κληθεὶς εἰς πόλιν Νικαέων
πρὸς τοῦ κρατοῦντος Αὐσόνων Θεοδώρου,
καὶ πάντα βαθμὸν ἀνύσας ἐκκλησίας
εἰς ὕψος ἤρθη ποιμεναρχίας μέγα.
Αὐθαιρέτως τούτου δὲ λιπόντος θρόνον,
μονῇ δὲ αὐτὸν εὐαγῶς δεδωκότος,
Νικηφόρος πρόεδρος ὢν Ἐφεσίων
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου,
ὃς ἀρχιλευίτης πρὶν ἦν παλατίου,
ἀνὴρ ἀμεμφής, παρθένος διὰ βίου.
Τούτου τελευτήσαντος ἐν προεδρίᾳ
Ἀρσένιος πρώτιστος ἀπολαμβάνει
τῆς βασιλίδος ἱερὰν προεδρίαν.
καθαιρέσει τούτου δὲ καθυπηγμένου
πρὸς ποιμεναρχῶν καὶ δικαστῶν τῶν τότε,
εἶτ' ἀπελαθέντος τε τῆς ἐκκλησίας,
εἰς Προικόνησον δ' ἀπαχθέντος νησίδα,
τῆς Ἀδριανοῦ Γερμανὸς ἀρχιθύτης
μεταθέσει δέδεικτο καὶ Βυζαντίδος.
Τούτου παραιτήσει δὲ λιπόντος θρόνον
ἀνὴρ Ἰωσήφ, ὀρθοδοξίας στῦλος,

10300 immo schismatis tenacissimus, atque iccirco a Michaele Palaeologo imperatore sede eiectus, quia concordiae cum ecclesia Romana, quam praedictus imperator conciliaverat, subscribere noluit. M.

monasteriis postea totonderat capillum et abbas fuerat, nunc solitarius uni deo vacabat in Apolloniadis urbis asceteriis; (10280) quo tempore Nicaeam fuit accitus a Theodoro Caesare Romano; ubi expletis cunctis ecclesiae gradibus ad summum hierarchiae pervenit apicem.

Cum autem sponte dimisisset pedum, (10285) monasticam quietem pie repetens, ad Byzantinum transiit patriarchatum Ephesiorum Nicephorus archiepiscopus, qui olim palatii fuerat archipresbyter, innocens vir, perpetuus parthenius.

(10290) Atque hoc sedem cum vita deserente, Arsenius primus liberatae urbis sacrum recuperavit principatum. sed idem postea depositus sententia episcoporum aliorumque iudicum, (10295) ecclesiaque abscedere coactus, in Proeconnesum insulam deportatur, Germanusque praesul Hadrianopoli translatus est ad urbem Constantini.

Verum Germano abdicante honorem, (10300) Iosephus, rectae reli-

κλέος μοναστῶν ἅμα καὶ πρεσβυτέρων,
μονῆς προεστὼς εὐαγοῦς Γαλησίου,
πρᾶος χαρίεις καὶ θεοῦ τρέμων νόμους,
πτωχοτρόφος φίλοικτος, εὔσπλαγχνος φύσει,
εἰς πατριαρχῶν τὸν περίπυστον θρόνον
ἀνάγεται δὴ κανονικῶς ἀξίως,
κλήρου πέλων εἰς τοῦ βασιλείου πάλαι,
γήμας τε σεμνῶς καὶ τεκὼν θυγατέρα·
εἶτ' ἀποβαλὼν θανάτῳ συνευνέτιν,
καὶ τὰ μοναχῶν ὑποδὺς ὁμοψύχως,
ὤφθη δοχεῖον ἀρετῶν τῶν ἐνθέων,
ἔπειτα ποιμὴν τῆς μονῆς Γαλησίου,
καὶ ποιμενάρχης ἀρχιθύτης τ' αὖ μέγας.
ἐπεὶ δ' Ἰταλῶν δόγμα παρεισεφθάρη
ἐν τῇ καθ' ἡμᾶς οὐ καλῶς ἐκκλησίᾳ
τούτου διιθύνοντος εὐσεβῶς θρόνον,
καὶ τῷδ' ἐπῆκτο τάδ' ἐπαινεῖν τις βία,

10315 Ephraemium animum prorsus gerere schismaticum alibi quoque cognovimus, et nunc his factiosis in Iosephum laudibus rursus demonstratur. non est autem hic locus refutandi Graecorum errores et schisma; id quod iam doctissimi catholici praestiterunt, princeps quidem merito et infinita doctrina Allatius, tum Arcudius, Caryophilus, Caleca, Papadopulus, Baronius, Natalis Alexander, Lequinius in dissert. et panopl., aliique plurimi. de defensoribus quidem Graecis legesis Allatium de synod. Ephes. c. 57 p. 571. ex iis autem qui tunc concordiam cum Latinis dogmatibus (id est cum orthodoxia) tuiti sunt, duos memorare satis est, quorum primus Nicephorus Blemmyda, ab Ephraemio nostro v. 8933 sqq. eximia laude, tanquam sapientiae coryphaeus et patriarchatu dignissimus, exornatus; alter Ioannes Veccus, cuius item sapientia ab Ephraemio v. 10325 laudatur, qui lectis Blemmydae scriptis a schismate ad orthodoxiam transiit, ut ait Pachymeres 5 15, et patriarchatum catholice gessit, concordiamque cum Romana ecclesia scriptis doctissimis defendit et usque ad carcerem obitumque retinuit. legesis Vecci testamentum apud Allatium Gr. orth. t. 1 p. 378. M.

gionis columen, presbyterorum decus et monachorum; sancto coenobio praepositus Galesii, mitis, benignus, divinae legis reverens, nutritor egenorum, natura clemens, (10305) patriarcharum celebrem insedit thronum, digne et canonicis regulis electus. is regio in clero presbyter olim fuerat, sanctisque nuptiis filiam procreaverat: postea vero viduatus coniuge, (10310) monasticam professus libenter vitam caelestium virtutum arca apparuit, exin coenobii Galesini abbas, episcopus postremo et magnus pontifex. cum autem Italorum dogma invasit (10315) ecclesiam nostram haud laudabiliter, pie Iosepho sedem gubernante, ipse ad

ὁ δ' ἀκλινῶς ἥδραστο δογμάτων βάσει.
ἐκβάλλεται δὴ τοῦ θρόνου μάλ' ἀδίκως,
ὡς ὑπεραθλῶν δογμάτων ὀρθῶν ἄγαν,
εἰς δ' ἀλλοδαπὴν ἀπελαύνεται χθόνα,
καθαιρετικὴν ψῆφον ἀρχιποιμένων
σχεδιασάντων κατὰ τοῦδ' ἀναιτίως.
τοῦδ' ἀπελαθέντος δὲ τῆς προστασίας,
Ἰωάννης τις τὴν ἐπίκλησιν Βέκκος
ἀντικατέστη, συμφρονῶν τοῖς Λατίνοις,
ἐκκλησίας ὢν χαρτοφύλαξ λευίτης,
ἀνὴρ σοφός τις, ἐντεθραμμένος λόγοις.
τοῦδ' ἐκδιωχθέντος δὲ τῆς ἐκκλησίας
νεύσει κρατοῦντος εὐσεβοῦς Ἀνδρονίκου
ζήλῳ τε πιστῶν, ὡς προμάχου Λατίνων,
πάλιν Ἰωσὴφ ἀπολαμβάνει θρόνον.
Οὗπερ λιπόντος τὸν βίον καὶ τὸν θρόνον,
σοφός τις ἀνήρ, Γρηγόριος Κυπρόθεν,
λόγων σοφῶν μαίευμα, Μουσῶν ἑστία,
εἰς πατριαρχῶν ἀνεβιβάσθη θρόνον·
ὅστις πατρίδος καὶ πατρικῆς οἰκίας
φυγὰς ὑπάρξας παῖς ἔτι πω τυγχάνων
παιδεύσεως ἔρωτι καὶ μαθημάτων
ἐλθὼν κατοικεῖ πρὸς πόλιν Κωνσταντίνου,

10330 nimirum Andronicus II, quum regnum adiret, ad id coactus fuit factione schismaticorum, ut historia notissima tradit. M. **10332** hinc usque ad v. **10354** edidit versiculos Allatius in op. de cons. p. 776, et in dissertatione de Georgiis, ubi agit de patriarcha Georgio Cyprio, qui dicitur etiam Gregorius. Allatius autem legebat, seu certe edebat, *κου* pro *κῶ* et *ἐνδούς* pro *ἐκδούς*. M.

consensum vi compellebatur, sed perstitit immotus in basi dogmatum. pellitur ergo sede indicio iniquo, (10320) propterea quod pro recto pugnaret dogmate, atque in extraneum deportatur solum, postquam pastores primi contra innocuum depositionis tulerant sententiam. post hunc remotum summo gubernaculo, (10325) Ioannes quidam cognomento Veccus suffectus est, consentiens cum Latinis, chartophylax ecclesiae ac levita, vir sane sapiens et literis innutritus. sed hunc ecclesia pepulit fidelium zelus (10330) et pii regnantis nutus Andronici ut Latinarum partium studiosum; et suam recepit cathedram Iosephus.

Quo deponente cum officio vitam, Gregorius sapiens vir, oriundus Cypro, (10335) alumnus doctrinarum, Musarum ara, ad patriarchae dignitatem venit. hic patriis laribus patrioque solo iam inde a teneris exsulans unguiculis, addiscendarum cupidus disciplinarum (10340) mi-

αὐτὸν δὲ μαθήμασιν ἐκδοὺς καὶ πόνοις
ἀφῖκτο πρὸς μέγα τι παιδείας βάθος·
εἶτα καταστὰς γνώριμος στεφηφόρῳ
καὶ συνταγεὶς κλήρῳ τε τοῦ παλατίου,
ἀρχιθύτης πέφηνε τῆς Κωνσταντίνου,
τὰ τῶν μοναχῶν πρὶν τελεσθεὶς ὡς ἔθος.
Αὐθαιρέτως τούτου δὲ λιπόντος θρόνον,
Ἀθανάσιος ἐκ καλῆς ἡσυχίας,
ἀσκητικός τις ἐν μονοτρόποις θύτης,
γεννάδας ἀνήρ, καρτερικὸς πρὸς πόνους,
ἀντικατέστη τῷ Βυζαντίδος θρόνῳ.
Τούτου παραιτήσει δὲ λιπόντος θρόνον,
ὅσιος ἀνήρ, εὐλαβὴς Ἰωάννης,
γαληνός, εὐέντευκτος, ἀρετῶν θρόνος,
κλέος μοναχῶν ἅμα καὶ πρεσβυτέρων,
πλέον δὲ πλουτῶν πραότητα καρδίας,
ἐπαξίως εἴληφε τὴν προεδρίαν,
ὡρμημένος μὲν ἐκ μερῶν Μεσημβρίας,
γάμοις ὁμιλήσας δὲ σεμνοῖς ἐν βίῳ,
καὶ παιδὸς ὀφθεὶς ἄρρενος φυτοσπόρος,
ἑκών τε λιπὼν γαμετῆς συνοικίαν,
ἀσκητικὸν προύκρινεν ἔνθεον βίον.
ἐνστάσεως οὖν συμπροϊούσης βίῳ,
Ῥώμης ἐδείχθη πατριάρχης τῆς νέας.

10358 Lequinius dicit oriundum Sozopoli. verum utraque urbs Mesembria et Sozopolis pertinet ad Haimimontium, nec valde distant inter se. M.

gravit inquilinus Cpolim; ubi se studiis tradens impensissime magnum sapientiae congessit thesaurum; unde regnanti Caesari fit cognitus, adscribiturque clero palatino, (10345) et Byzantinus tandem creatur praesul, monachi adscitis antea, ut mos est, vestibus.

Hoc autem sponte honorem deponente, sancta Athanasius veniens ex solitudine asceticus et presbyter inter monachos, (10350) magnanimus vir, laborum patientissimus, praesul processit urbis Byzantinae.

Hoc item sacram abdicante sedem, vir pius Ioannes, sanctitate fulgens, affabilis, tranquillus, virtutum cinnus, (10355) presbyterii decus simul et monachatus, apprime tamen dives mansuetudine, digne assecutus est honoris apicem. hic oriundus partibus Mesembriae nuptiis quoque in saeculo contractis (10360) filium procreaverat; sponte dimisso postea coniugio, diam asceticorum vitam praetulit; in quo vitae proposito diu persistens postremo novae Romae fit patriarcha.

Τούτου δ' ἑκόντος ἀπολιπόντος θρόνον
πάλιν Ἀθανάσιος ἔσχε τὸν θρόνον.
καὶ τόνδε λοιπὸν αὖθις ἀπειπαμένου
μεταθέσει δέδεικτο Κυζίκου Νίφων
τῆς βασιλίδος ἀστέων ἀρχιθύτης,
ἀνὴρ μοναχός, ἀγχίνους ἐν πρακτέοις,
παιδεύσεως μὲν ἀδαὴς ἐγκυκλίου,
ἐπήβολος δὲ καὶ φρενῶν πεπλησμένος,
Βέρροιαν αὐχῶν τὴν δυτικὴν πατρίδα,
λαύρας ὑπάρξας προστάτης τῆς καθ' Ἄθω.
εἶτα κατέστη ποιμενάρχης Κυζίκου
καὶ πατριάρχης τῆσδε Κωνσταντίνου.
Τοῦδ' ἐγγραφῇ δὲ θῶκον ἀπειπαμένου
Ἰωάννης τις, ὁ Γλυκὺς δὲ τοὐπίκλην,
συγκλητικός τε καὶ λογοθέτης δρόμου,
εἷς ὢν ἀρίστων καὶ σοφῶν λόγων ἴδρις,
χειρίζεται δὴ τὴν λεὼ προστασίαν.
Καὶ τοῦδ' ὁμοίως θῶκον ἀπειπαμένου
Γεράσιμός τις, καὶ μοναχὸς καὶ θύτης,
πόλιν Φιλαδέλφειαν αὐχῶν πατρίδα,
μονῆς προεστὼς χρηματίσας Σωσάνδρων,
προεδρίαν εἴληφε τῆς Κωνσταντίνου.
Τούτου τὸ βιοῦν ἐν θρόνῳ λελοιπότος
ἀνὴρ μοναχός, εὐλαβὴς Ἠσαΐας,

10381 habet hos versus de Glyca Allatius in diss. de Georgiis p. 638 ed. Fabric. ubi Ephraemium nostrum appellat monachum. M.

(10365) Sed postquam sponte is etiam dimisit pedum, iterum Athanasius ad sedem venit. quod cum is rursus pondus fastidisset, Cyzici Niphon translatus dioecesi reginam urbium rexit patriarcha, (10370) vir monachalis, rebus agendis sagax, communi quidem expers eruditione, sed prudens rerum et affluens ingenio, Berroeae natus occiduis in regionibus, laurae praepositus in Athone monte; (10375) metropolita postea factus Cyzici, tandem tenuit pontifex Cpolim.

Verum et hic libello honorem abdicat. Ioannes autem cognomento Glyca vir senatorius et cursus logotheta, (10380) optimatium de numero et doctissimus, populi sacrum praesidatum adiit.

Quo dignitatem pariter abdicante, Gerasimus, vir monasticus ac presbyter, qui Philadelphi in urbe natus fuerat (10385) et Sosandrorum rexerat monasterium, pontificatum tenuit Byzantii.

Cumque hic in sede mortuus fuisset, monachus Isaias, pietate in-

πρᾶος γεραρὸς καὶ ταπεινόφρων γέρων,
κλέος μοναστῶν τῶν βιούντων κατ᾽ Ἄθω,
Ἤπειρον αὐχῶν πατρίδα παλαιτέραν,
εἰς ὕψος ἀνήνεκτο ποιμεναρχίας.

ΤΕΛΟΣ.

signis benignus, venerandus, modestus senex, (10390) natalem habens terram Epirum veterem, Athone in monte monachorum gloria, patriarchatus attigit summum apicem.

FINIS.

INDEX GRAMMATICUS.

α longum eliditur 2349, 3309.
ἀγγελεύς 8691.
Ἀγγελίνη 8389.
ἀγγελώνυμος 7769: cf. *θεοδωρώνυμος*, *κομνηναγγελώνυμος*.
ἀγγελωνυμούμενος 7634: cf. *κυπρωνυμῶν*.
ἀδίδυμος 10023.
ἀδοτί 1064.
ἀθεμιτουργία 1780.
αἴκισις 5510.
αἱρούμενοι vel *ᾑρημένοι* i. q. *οἱ βουλόμενοι* 122, 225, 1812, 3304, 3551, 3833, 5577.
ἀλίσας 642, 4760. *ἡλικώς* 125. *συναλίσας* 741. *συνηλικυῖα* 1874.
ἀμέθεκτος 5295.
ἀμόναχος 2116.
ἄν i. q. *ἄνω* vel *ἀνόπιν*? 7653.
ἀναδόμησις 379.
ἀναιρέτης 22, 257, 1728, 5066.
ἀναιρέτις 291.
ἀνδρειοφρόνως 1298, 5415.
ἀνεύλογος 10201.
ἀνθρωπολάτρης 743.
ἀντιπαλάμησις 1382.
ἀντιφατικῶς 4740.
ἀπαράμιλλος 819, 1127, 2822, 3355, 3703, 4058.
ἀπείρανδρος 6009, 10211.
ἀπειραρίθμητος 2400.
ἀπειράριθμος 5679, 6194.
ἀπειργάκει 7503, 2305. *κατειργάκει* 6475.
ἀποσταλάττειν 5608.
ἀρειομανίτης 422.
Ἀρμενοκιλικία 3903.
ἀρρενοφθόρος 1140.
ἀρρενωπία 3073.
ἀρχιθύτης 482, 530, 803, 943, 1050, 1072.
ἀρχιλευίτης 10283.
ἀστυπολίτης 4319, 4689, 5823, 6780, 6914.
ἄττα 2122, 2722, 3038, 3720, 7133.
Αὔσονες i. q. *Ῥωμαῖοι* 1 et passim.
αὐσονάρχης 4031, 8593, 8631: cf. *λατινάρχης*, *μυσάρχης*, *τριβαλλάρχης*.
αὐσοναρχία 13.
αὐσονοκράτωρ 622, 768, 6867.
αὐτάναξ 573, 721, 3932.
αὐταρχία 45, 220, 698, 895, 966, 1308.
αὐχεῖν 49, 1073, 1218, 1575, 1659, 1709, 1894, 1927, 1982, 2810, 2922, 3165, 4107, 7114.
βακάντιβος 10168.
Βάλης 562, *Οὐάλης* 552, 566.
βάρεις 3849, 8252.
βασιλευτής 2569: cf. *λατρευτής*.
βουλγαράναξ 9076: cf. *λατινάναξ*, *μυσάναξ*, *περσάναξ*.
βουλιμιᾶν 1756.
βροτουργός 5346.
γελοιώδης 5534.
genitivus] *ὅπλων γενέσθαι* 5793. *ἀνὴρ αἱμάτων* 5145. *ἰσχύος* 4584. *παγὶς θανάτου* 2809. *πῖλος κράτους* 6233. *στέφος κράτους* 805, 3009. *πόλις κράτους* (Cpolis) 751, 4041, 5708, 7308. *πράγματα δυσθυμίας* 7541. *οἱ τῆς γερουσίας καὶ τῶν ἐν τέλει* 4855. *τάδε κατορθωμάτων* 626. *τοιαῖσδε πράξεων* 5247. *τάκει πραγμάτων* 5810. *φρουρίων* 6073. *ἃ κακῶν* 1730, 6119. *ἄλλα ὀφφικίων* 7969. *τἄλλα*

καλῶν 3366. πολλαῖς ἀρετῶν 7401. πάμπολλα φρουρίων 2868. πλεῖστα δεινῶν 5911, 6475. ἀγωγίμων τι 5292. τὶς μονοτρόπων 10272. τινὰ γραΐδίων 6217. λαμπρῶν τις ἀνήρ 2260. ἅπας τῶν ἐν πόλει 4962. πᾶς Λατίνων 4339. κειμένων πᾶς 4628. πᾶν στρατευμάτων 4278. πάντα τῶν συγκειμένων 2701. πάντα ταύτης 3808. εἰς μακρὸν χρόνου 8585. εἰς μέγα φθόνου 6702. ἐπὶ μέγιστον χρόνου 5100. ἁγίοις πατριαρχῶν 10263. ἀπλέτους ποταμῶν 1810. κοινὰ πραγμάτων 3407. πρόσφορα πραγμάτων 639. προσρυέντα φρουρίων 8727.

γνίφων 1243, 3295.

δάνους χάριν 1385.

δημοπρόβλητος 5470.

δήωσις 1561.

διαφέροντα i. q. προσήκοντα 3175, 3761.

δόμημα 1124, 2376, 2999, 3646.

δομήτωρ 1124, 4834, 6261.

δραματουργεῖν 5999, 6015, 10217.

δραματουργία 3034, 3504, 5773.

δρᾶν 27, 39, 100, 359, 785, 810, 1020, 1331, 1391, 1436, 1561, 1754, 1931, 2006, 2083, 2222, 2224, 2422, 2453, 2525, 2533, 2594, 2750, 2807, 2985, 3019, 3135, 3125, 3247, 3304. ἐδραμένος i. q. δεδρακώς? 9212.

δυσάριθμος 2903, 6380.

δυσαριθμουμένας 3162.

δυσγρίπιστος 3295.

δυστίβευτος 4428.

δυστίβητος 4675, 6098.

ἐὰν] ἂν οἶδεν 6298. ἢν ᾔσθετο 5251. ἐπὰν ἑδρᾶτο 5386. ὑπῆρχε 5732. ὅταν κατῆρξε 7119. κἂν ἢν 5312. κἂν γένοιτο 8762.

εἶναι συνάψοντα i. q. συνάψειν 6966. εἰσὶν ὑπειληφότες 6129. ἦν διώκων, ἦν κατακρίνας .... 68, 107, 121, 178, 428—432, 924, 1065, 1067, 1130, 1134, 1560, 1832, 1862, 2136, 2300, 2320, 2360, 2581, 2723, 2753, 2838, 2937, 3269, 3343, 3631, 3744, 4723, 4868, 4903, 4965, 5096—5097, 5603, 5607. ὦ διέπων 79. cf. ὑπῆρχε.

εἰς τὰς θυγατέρας γαμβροί 266, 5835, 6378, 7426, 7677, 7721. νυμφίος εἰς Μαρίαν 8261.

ἐνεισάγειν 7466.

ἐνστάτις 2150.

ἐξ ὀμμάτων θεῖναι i. q. τυφλῶσαι 5121, 5136, 5228.

ἐξαγορεία 9263.

ἐξαγορεύειν 9253.

ἐπεισόδιος πορπή 6324.

ἐρυθρόγραφος 8500, 8538.

ἐρυθροσήμαντος 4770.

ἐρωτοδέσμη 9160.

ἐρωτοληψία 7890. ἐρωτοληψίαι 495. 3104.

εὔεικτος 2937.

εὐμέλιος 4065.

εὕρατο ἐπίθεσιν παρὰ τῶν βαρβάρων 6093. ἀφαίρεσιν θρεμμάτων εὑρηκότες 5766.

εὑρητής 1995.

εὐσεβάναξ i. q. εὐσεβὴς ἄναξ 3708.

εὐσεβοκράτωρ i. q. εὐσεβὴς κράτωρ 9589: cf. καλλιπαρθένος, μητράνανδρος, μητροπαρθένος, προφητάναξ, πρωτάγγελος, πρωτόπαις.

εὐσεβοφρόνως 9870, 9905.

εὐσεβόφρων 1113, 1362, 2577, 9852.

εὐχέτης 2432.

ἐφορκία 3022, 8284.

ἔφορκος 1982, 5044, 9175.

ἔχει ἀποδράσας 9118. δράσας 2594. ἐκδούς 6130. κτίσας 187. λαβὼν 6386. παύσας 1058. τεύξας 96. εἶχεν ἀνύσας 6324. συνθεὶς 2454. φυτεύσας 6026.

ἠλωκώς active 1369.

ἤνεκτο 2734. ἀνήνεκτο 1109, 3013.

ἤρεμον βίον 873.

θάλασσα καλῶν 32, 3702. θάλασσαι χρημάτων 6756, 6895.

θαυματοβρύτης 3056.

θεαυγής 5600, 10005.

ἡ θεοδωρώνυμος 2496.

θεοκρότητος 987.

θεοπρόβλητος 869.

θέσιν i. q. τοὔπικλην 160, 1052, 1721, 2143, 3397, 4913, 7016, 7302, 10068, 10113, 10184.

θίβη 3041, 3043.

ῐ dativi eliditur 1736, 4441, 4869, 7577.

hiatus exempla 759, 3230, 3248. non plura, opinor. quum quae creberrimum facere videntur, particulae αὖ εὖ φεῦ in consonam exire censentur.

ἰσαπόστολος Θέκλα 3264.

καθωραΐζειν 676, 9801.
καὶ omittitur 54, 161, 408, 471, 521, 534, 567, 641, 654, 662, 669, 845, 989, 996, 1014, 1099, 1377, 1499, 1794, 1787, 1850, 1885, 1899, 1960, 2015, 2037, 2331, 2764, 3103, 3242, 3322, 3347, 3618, 3868, 5060, 5202, 5270, 5758, 5800, 5811.
καινίς 1507.
καινουργέτης 1126.
κακεργάτης 418, 1645, 4142, 4515, 6500.
κακεργάτις 3759.
καλλιπαρθένος 6027.
καμηλώδης 4796.
καπνικαλληλέγγυον 1996.
καρτερόψυχος 1357, 4368.
ἡ κάρα 2654, 2778, 2821, 3415, 5199, 5456, 5463, 5465, 5505, 5621, 5725, 5796, 6048. ὄλβιον κάρα 9802.
καρδία] Δομετιανὸς ἡ βδελυρὰ καρδία 43, 201, 250, 312, 1254, 1305, 2148, 2206, 3590, 3625, 4612, 5116, 6338, 6481. cf. φύσις et χάρις.
κατὰ συστάδην 4145. κατ' ἐπιλέγδην 4150.
καταπυρπόλησις 2083.
Κομνηνάγγελος 8330, 8606.
Κομνηναγγελώνυμος 6502, 7788.
Κομνηνάναξ 8782.
Κομνηνιάδης 5640, 6446, 8737.
Κομνηνόπαις 9120.
κόντος 5707.
Κοπρωνυμῶν 1823.
κραταρχεῖν 147, 477, 933, 1023.
κρατάρχης 605, 631, 797, 1367, 3615, 3967, 4467.
κραταρχία 25, 64, 119, 132, 144, 175, 218, 230, 255, 400, 439, 479, 508, 522, 589, 658, 815, 818.
κράτωρ 34, 60, 169, 216, 217, 231, 424, 503, 515, 597, 610, 613, 663, 806, 879, 901.
κυριαρχία 7271.
Κυριθεόδωρος 2860.
κυρωτός 1579.
λάκτισις 764, 9720.
λατινάναξ 9507.
Λατινάρχης 8157, 9541.
λατρευτής 7905.
λεγάτος 7433, 7455.
λίζιος 3916.
λιθομάργαρα i. q. λίθοι καὶ μάργαροι 3740: cf. ὑγρόχερσος, χρυσάργυρον.
λικόκρεως i. q. λικαρόκρεως? 6559.
λόγος] εἰς τυραννεῖον λόγον 6454.
λογχότρωτος 4091.
λυσίθριξ 6344.
λύτις 2389.
μαρτυρικῶς 71.
ματαιολοιχός 3295.
μητράνανδρος 738, 925, 2053, 2740, 2856, 2974, 3466, 3819, 3881.
μητροπαρθένος 820, 929.
μισοφαής 5064, 5517.
μνῆστρον 2321.
Μογλενοπατζινάκαι 3557.
μυριάριθμος 3824, 4125, 4394.
μυριόνικος 3714, 4070.
μυρμηκιὰ ἀγαθῶν 2035. συμφορῶν 5237.
μυροβλύτης 5776.
μυσάναξ 9096.
μυσαρχηγέτης 2463, 6388, 6616.
μυσάρχης 6275.
μυσητός 1031.
Μυσῶν λεία 2095, 2898, 5814, 6480.
μωμοσκόπος 4579.
ἔνειμον 5074.
νομή 7445, 7453, 8232.
nominativus] ἑκὼν πρὶν ἐχρῆν ταῦτα Ῥωμαίοις νέμειν 4582. μηνύει Δημητρίῳ πρὸς αὐτὸν ἐλθεῖν προσκύνησιν ἐκτίσων 8544. χῶρον Ἐλαία κεκλημένον 9587. ἔν τινι Σναΐ προσκεκλημένῳ τόπῳ 9595.
νυκτεργασία 5362.
νυμφίος i. q. γαμβρός 287, 8259, 9393.
ξένη ζωή 365, 1894, 2576, 2822, 2872, 2973, 3006, 3256, 3337, 3355, 3534, 3647, 3923, 3927.
ξένως 2733, 5674.
οἰοφυσίτης 969, 1430, 1449, 9743, 9819, 9872.
ὀμευνετεῖν 7549.
ὁμοψύχως 10310.
ὀπτάνεσθαι 5597.
optativus pro indicativo 460, 547, 1414, 1864, 2427, 2554, 2675, 4860, 5042, 7332, 7375.
ὀρθοφρονεῖν 745.
ὀρθοφρόνως 862.
ὀρθόφρων 525, 641, 840, 978, 1421, 1764, 2637, 2713.
ὅσοι 172, 352, 3378, 4656, 7959.
παλινδρόμησις 4448.
πανσθενουργός 7914, 9562.
παντάπαν 1623, 1858, 3271, 3765, 4793, 4819, 5242, 6599, 8460, 10201.

πανύμνητος 932, 3819, 9594.
πανύψηλος 2044, 9631.
παραυτίκως 3273.
πατέρες λόγων 5322, 5648, 7906.
πεποιθότως 8804.
περίδοξος 1867, 3098, 9665.
περιοδευτής 9850.
περιούσιος λαός 1477.
περσάναξ 3376, 3940, 3984, 4397.
Περσαρμένιοι 3891.
πῖλόν τι 5485.
πλὴν 3101, 7447, 9035.
πνέων θυμοῦ 2358, 5083, 9322.
ποιμενάρχης 376, 395, 651, 747, 822.
ποιμεναρχία 483, 8932, 10283.
πορφυρόβλαστος 2876.
πρίγκιψ 8641. πρίγκιπος gen. 3916, 9332. πριγκίπου νῆσος 1989, 3080. πριγκίπῳ 9411.
πρόβλησις 3246.
προβραχέως 9040.
πρόθυμον i. q. ἡ προθυμία 4007, 7338, 7763.
προμηθεύς 2720, 3674, 3724, 4355.
προσβάλλειε 7260 cf. στέργειε.
προσθεουργεῖν 6527.
προσκυνητής 1791, 1849, 2088, 2256, 2290, 2344.
προφητάναξ 5020.
πρωτάγγελος 2578, 4694, 7918.
πρωτεργάτης 7994.
πρωτοθύτης 10268.
πρωτομάρτυρες 6.
πρωτόπαις 7427, 8261.
ἐπυνθάνοντο passive 8775, 9336.
πυρπολητής 6934.
ῥέκτης 1199, 1921, 2681, 3200, 4983, 5056, 5711.
ῥηγικός 5954.
σαφεῖν 8542.
σεβαστοκρατορία 9438.
σελέντια 4727.
σκαπάνος 1880.
Σκυθικὴ (vel Σκυθῶν) ἐρημία 542, 2897, 3808, 8239, 8425.
σκύλευσις 5276, 5307, 7352.
σοφισματίας 7111.
στέργειε 9928. cf. Lobeck. ad Butmanni ind. verborum anomal. p. 262.
στίχαις 3831.
συμβῆναί τινι 4810, 7748.
συμμαχεῖσθαι 7540, 8169.
συμμεριστής 256.
συναγάσσειν 2697, 2731.
συνοπλίτης 9498.
σύρφακες 3287, 5530, 6215, 6572.
σχέσις 1837, 1918, 3581, 3939, 4235, 5646, 5952, 6180, 7649.
σχετικὴ προσκύνησις 1863.
τε anteponitur vel pro τε καὶ ponitur 401, 405, 890, 1035, 1296, 1326, 2362, 2441, 2750, 2824, 2968, 3316, 3840, 4071, 4635, 4813, 5073, 5591, 5656, 5795, 5779, 5822, 6169, 6276, 6337, 6458. abundat 836, 1642, 5562, 6085. cum πρὸς δ' αὖ 1063. 1789. cum σύν 7636, 7671, 7673, 8196.
τέξασα 7833. ἀποτέξασα 8337.
τερμέρι(ει)ον κακόν 288, 2086, 5059, 6364.
τετράκλιμος κτίσις 7173, 9675.
τετρακτὺς μαθημάτων 693, 2633, 8938.
τετραῴδιον μέλος 2672.
τζαγροτοξότης 6731, 6833.
τιθοῦσι 8708. ἐντιθοῦσιν 8204.
τριβαλλάρχης 4142, 6171, 9188.
τρισάσμενος 4545.
τρισαριστεύς 3813, 4024, 4070, 4130.
τρισυπόστατος 2208.
τυμβορυκτεῖν 5737.
ὑγρόχερσος δύναμις s. στρατιά 3853, 4119, 8312: i. q. στρατεία πεζή τε ναυτική τε 5185. χερσαῖον ὑδραῖόν τε στράτευμα 6822.
ὑδατόφυρτος 4559.
ὑπεῖναι i. q. εἶναι 305, 1010, 2101, 2288, 2495, 2853, 3779, 8493, 5672, 6605, 6646, 6962, 7388, 7644, 8017, 8586.
ὑπεκτρέχειν δικαιοσύνης 429.
ὑπῆρχε κτιννύων 2584. ἐγκαλῶν 4389. ὑποστρέφων 8904.
φατνιάρχης 1778.
φατνιστὸς ἵππος 6306.
φαυλεργάτης 143, 1294, 8719.
φαυλουργία 1189.
φιλεύσπλαγχνος 5649.
πεφιλμένος 30, 1235, 2655, 3361, 3748, 4048, 4055, 6222, 6876.
φιλόποινος 2206.
φίτης 2711, 274?, 6950, 9294.
φονουργία 1654, 5165, 9329.
φονουργός 1731, 5175, 5427.
φρυκτώρησις 2082.
πέφυκε δεδογμένον i. q. δέδοκται 1089. πέφυκεν ἀνῃρημένος 5730.

ἐν στενῷ πεφυκότας i. q. στενωθέντας 7042. κλύειν πέφυκεν i. q. ἔξεστιν 7822.
φύσις] Γάϊος ἡ κατάπτυστος φύσις 4. Κλαύδιος ἠπία φύσις 11, 194, 1158, 1232, 2033, 2462, 3703, 5171, 6328, 7893, 7899, 9670.
χαρήσαιντο 6115.
χάρις 7869, 9679.
χαριτώνυμος i. q. Ioannes 2828, 3696, 3918, 7844, 7869, 8355, 8518, 8857, 9802, 10124.
χειρωνάκτης 6598.
χορηγέτης 884.
χορηγέτις 7908.
χριστολάτρης 394.
χριστομαχεῖν 1689.
χριστομαχία 344.
χριστομίμητος 3677, 3758, 3769.
χρυσάργυρον 1132, 2021, 2784, 3310, 3477, 3740, 3877, 5605, 7150.
χρυσόγλωττος 1892.
χρυσοσήμαντος 8537.
ἐν χρῷ κινδύνου 4463, 7607.
χύσις φιλοδωρίας 32.
ὡς] καθιστορεῖται ὡς — ἰδεῖν 332, 1084, 2800.
ὣς i. q. ὡσαύτως 1653, 4508.

INDEX HISTORICUS.

A.

Abari 1225, 1246, 1323, 1461, 2899.
Abasgi 2899.
Acacius 946, 9639, 9735, 9744.
Achaia 7671, 9392, 9411.
Achilles 4064, 7922.
Achrides 8030, 8968.
Achris 7669, 8091, 8603, 9149.
Acropolites 9169, 9368.
Adana 2770, 3905, 4207.
Ader 6691.
Aemilianus 203, 207.
Aenus 8230.
Aeschylus 6641.
Aethribus 1415.
Aëtius 1970.
Aetolia 7557, 7636, 8600.
Africa 405, 938, 1342, 1511, 2989, 3027.
Agapetus 9776, 10128.
Agar 1414, 3146, 3154, 4667, 5971, 5976, 6913, et al. l.
Agareni 1069, 1407, 1450, 1587, 2225, 2399, 2961, 2984, 3166.
ἀγρός, coenobium in agris 2133, 2142.
Aias 4064.
Alamanni 4100, 4226, 5955, 5974, 6401, 6655, 6740.
Alamannia 5940, 6405.
Alamundarus 1070.
Alani 5721.
Albani 7674, 7682.
Albanum 9149.
Albinus 1173.
Alborion 8092.
Alexander, Mammaeae f. 165, al. 2677.
Alexander patriarcha 9611, 9619.
Alexandria 762, 766.
Alexius Angelus 6270, 6271, 6867, 7310, 7758.
Alexius Branas 5816, 5849, 5854.
Al. Comnenus 3446, 3450, 3457, 3468, 5177, 5710, 6644.
Al. Contostephanus 6286.
Al. in Cilicia rebellis 6356.
Alexii duo 6041.
Alexius Isaaci filius 6736, 6771, 6776, 6876.
Al. Manuelis f. 4846, 4930, 5014, 5054, 5068, 5226.
Al. Moseles 2380.
Al. Palaeologus 6609.
Al. Studites patriarcha 10064, 10081, Strategopulus 8676, 9358, 9440.
Al. Trapezuntius 7522.
Altuchus, Chaldaeae princeps 4872.
Alypius 9592.
Ἀμαλθείας κέρας 7900.
Amantius 700.
Amasea 9783.
Amastris 7535.
Ambrosius 636.
Amorion in Phrygia 2187, 2398.
Amphipolis 5692.
Amphitrite 3410.
Anaplus 5399, 10257.
Anastasius 1046, 1051, 1332, 1625, 9755, 9910, 9917.
Anatolius 766, 822, 833, 942. An. Alexandrinus 9723.
Ἀναζαρβέων τεῖχος 2770, 3906.
Anchialus 6071, 6156, 6166, 10184.
Ancyra in Galatia 487.
Andragathius 594, 615.
Andreas monachus 1794. apostolus 9565.
Andronicus Angelus 4915, 4925. Comnenus 4188, 4228, 4858, 4870, 4881, 4895, 4924, 4940, 4948, 4959, 4971, 4983, 4997, 5012, 5032, 5033, 5044, 5055, 5109, 5141. Contostephanus 4280, 4308, 6443. Ducas 5155. Andronicus Georgii Muzalonis frater 9061. Nestongus 7985, 7994. Palaeologus 7425, 7840, 8149, 8260. Andr. Sardium episc. 9472.

Angelus protostrator 9063.
Angli 5981, 5987.
Anna Caesarissa 3730. alia 6445. Lascaris uxor 7832. Theodori filia 8335. Anna Asanis f. 8390.
Anthemius 910, 2396.
Anthimus Trapez. 9773.
Antiochia 224, 481, 657, 918, 1329, 2964, 3573, 3585, 3996, 3998, 4005, 5965, 5969, 7586, 9673.
Antiochus eunuchus 700.
Antonius 116. Marcus 129. Caracalla 156. Cassymatas 9990. patriarcha 10026.
Aphrodite 2681.
Apollonias 8948, 10279.
Apollonius Tyanensis 49.
Apsimarus 1516, 1531.
Arabes 1479, 1483, 1510, 1667, 1714, 1737, 3636, 4537.
Arbitos 160.
Arcadiopolis 683, 6186, 7380.
Arcadius 660, 667.
Archizupanus v. Bacchinus.
Ἄρην ἐκπνεῖν 1474, 4072.
Argos 7286.
Ἀρειανῶν μανία 527, 9627.
Ariadne 905, 948, 1032, 1045.
Arius 369, 422, 510, 537, 551, 601, 9614.
Armenia 1319, 2061, 2074, 2381, 3900.
Armenii 7245.
Armenocilicia 3903.
Arsacius 681, 725, 9682.
Arsenius monachus 8947, 9459, 9464, 10272, 10291.
Artavasdus 1733, 1739, 1764.
Arta 7566, 9417.
Artemius 1600.
Asan 5769, 5800, 5811, 5902, 6276, 6381, 6384, 7341, 7829, 8045, 8059, 8075, 8578.
Asclepiadae 3693, 6426, 8880, 9248.
Aseldecaus 8617, 9454.
Asiani pagi 5009.
Asparis 892, 896.
Aspietes 6372.
Athanasius 484, 10348, 10366.
Athenae 709.
Athenodorus 181, 9584.
Athingani 2195.
Athos 10374, 10390.
Athyra 6665.
Atramyttium 1619, 1268, 7513.
Attalia 3992, 7567.
Attica 7276, 7376.
Atticus 726, 731, 9688.
Aurelianus 219.
Ausones 1, 66, 149, 463, 750, 1122, 1359, 2454, 2510, 3026, 3091, 4526, 4585, 7489, 7503.
Auxentium 10210.
Axius 9021.
Axuch 4039.
Azan Persiae princeps 3381.

B.

Babylas 192.
Babylonia 3136.
Baca 3905.
Bacchinus archizupanus 4149.
Balduinus, Flandriae Comes 6712, 7050, 7186, 7216, 7240, 7337, 7376, 7388, 7409, 7678.
— Latinarcha 8158, 8296.
— Petri Latini f. 7705.
— Siciliae princeps 5707.
Bardas 10014.
Baris 7511.
Basilaces 3449, 4750.
Basilacius 6202.
Basiliscus 937, 971, 985, 988, 1023.
Basilius Bulgaricida 2875, 2913, 2914.
Bas. Camaterus, patriarcha 6002, 10196.
Bas. Chotias 6052.
Bas. Chumnus 6051.
Bas. Istros 3608.
Bas. Macedo 2510, 2513, 2546, 2555, 2630, 2747.
Bas. Scamandrenus, patriarcha 10061.
Bela, Ungriae rex 6178.
Belesbus 8512.
Belessus 8513, 8710, 9027, 9137.
Belisarius 1131.
Bellegradum 4189, 4195, 7657.
Bera monasterium 6260.
Berroea 4040, 6084, 6099, 7234, 7770, 8592, 8976, 9143, 9646, 10373.
Bidina 2917.
Bithyni 1626, 3864, 4675, 4906, 5081, 7510.
Bithynia 3843, 3950, 8016, 9119, 9123, 9567.
Bizya 7378, 8041, 8624, 9091.
Blachernae 770, 819, 928, 1175, 2165, 3395, 6845, 7065, 9881.
Blachi 5764, 6068, 6072, 6152, 7371.
Blachia 8093, 8360, 8599.
Bodeni 8595, 8682, 8724, 9022, 9197.
Boeotia 7314, 8137.
Bogomili 3605.
Boleros 5354, 5690, 6429, 8088.

Bonifacius, marchius Montis ferrati 6411, 6942.
Boradium 10191.
Borilas 7826, 8051.
Bostra 187.
Branas 5701, 6039, 6125.
Branitzobe 4189, 4195.
Bryennius 3774.
Brysis 8042.
Budelos tyrannus 8679.
Bulgari 1524, 2011, 2019, 2059, 2450, 2481, 2489, 7665, 7763, 7767, 8104, 8290, 8294, 9000, 9226, 9231, 9233.
Bulgarophygium 9090.
Byzantium 339, 496, 651, 1137, 1437, 1529, 1603, 2734, 3315, 6272 etc.

C.

Cabasitus 9384.
Cadmea, victoria 5139.
Caeciae (*Καικίαι*) 3411.
Caesar (*Καῖσαρ*) 3417.
Caius Caligula 2, 19.
Calamos pagus 7755.
Caledonius 6985.
Callimannus 8385, 8488, 8756, 9225.
Callinicus Syrus 1468.
Calliupolis 7981, 8173, 8196.
Camaterus Basilius v. Basilius.
Cambyzes 5221.
Cammytzes 5845, 6477, 6584, 6663, 8024.
Campanus 8531.
Canini 9158.
Capitolina Aelia 94.
Cappadocia 1317.
Caracalla Antonius 156.
Carinus 242.
Carolus M. 1941. coronatus 1962, 1964, 1971.
Carus 238.
Carpha 3922.
Caryces 3528.
Castamon 3865, 3890.
Castinus 9597.
Castoria 3500, 3503, 8691, 8729, 9148, 9378.
Catacalo 3222.
Catascepe 4691.
Caucasus 3128.
Celbianum 7530, 7760.
Celtae 7134.
Cephalenus 9427.
Cerberus 1648, 5548.
Chabaron 9139, 9157, 9368.
Chaeronea 4429.
Chalce 2872.
Chalcedon 829, 980, 1320, 4928, 9727, 9754.
Chalcopatraea 1005.
Chalcopontia 9934.
Chaldaea 4869.
Chaleb 3922.
Charioron 7975.
Chazara 1826.
Chele 5491.
Cherson 1503, 1522, 1535, 1542, 1562.
Chersonnesus 8195.
Chliara 2461, 7760.
Chones 4401, 4633.
Chosroes 1366, 1387.
Chrasmus 3856.
Christopolis 8411.
Christus 22, 46, 56, 73, 75, 135, 183, 259, 299, 450, 473, 597, 300, 842, 1656, 2594 etc.
Chrysaphius 701, 781, 784.
Chrysopolis 9824.
Chrysostomus 749, 9706.
Chrysus Blachus 6452, 6464, 6467, 6586, 6614.
Chunabia 9152.
Cilices 4009, 7718.
Cilicia 2867, 3370, 3584, 4200.
Cissus 8484.
Citzabis 9153.
Claudiopolis 4666, 4687.
Claudius 11, 215.
Clemens 145.
Coelesyria 1319.
Colonea 3907.
Comana 680.
Comani 6068, 6542, 6552, 9680.
Commodus 143.
Comneniadae 5640.
Constantinopolis 761, 775, 913, 1788, 1811, 2470, 2536, 2965, 3461, 3497, 4113, 4938.
Constans Chlorus 267, 268, 277, 280, 293.
— filius Constantini M. 401. alius 1427.
Constantinus IV. 1839, 1853, 1861, 1885, 1899, 1960.
— Aspietes 6066.
— Basilii f. 2927.
— Chliarenus 10178.
— Copronymus 1720, 1750, 1768, 1823, 9919.
— Ducas 3277, 3285.
— Leonis fil. 2688, 2705, 2709, 2747.
— Levites, patriarcha 9848, 9969.
— Magnus 293, 315, 325, 327, 345.

Constantinus Magni f. 401.
— Michaelis Angeli frater 7638.
— Monomachus 3096, 3172.
— Paphlago 2653.
— Pogonnatus 1441, 8966.
— Tichi filius 9234, 9239.
— Torrices 9434, 9439.
Constantius, C. M. f. 401.
Contophreus 8427.
Contostephanus Ducas 4935, 8436, 8647, 10157.
Corcyraea arx 4120.
Corinthus 7279, 7285.
Corradus 4108, 5830, 5848, 5854.
Cosmas Atticus 10145. Hierosolymites 10106.
Cosmidium 6798, 10169.
Cotyaea arx 5005.
Creta 1515, 2235, 2527, 2565.
Crinitae 2381.
Critzimus 8968, 8983.
Croae 8710.
Cromna 7535.
Crybi 8967.
Cucusus 9621.
Cunsulatus 8530.
Cyminas mons 7752.
Cyprianus 192.
Cyprus 3525, 5388, 5391, 5981, 5986, 5991.
Cypsella 6240, 6947.
Cyriacus 9808.
Cyrillianus 9597.
Cyrillus 742, 6517. Alexandrinus 9700.
Cyrus 772, 773. Amastridis presbyter 9881.
Cytorium 7535.
Cyzicus 747, 1455, 1604, 3536, 9546, 9708, 10175.

D.

Daci 882.
Dacibyzae 8313.
Dalmatia 283, 3491, 7673.
Damocrania 6664.
Dandolus 6767, 7179, 7223.
Daonium 7814.
Daphnusia 9491, 9512.
David 1176, 2833, 3715, 4154, 4581, 5020, 5268, 5327.
David Comnenes 7521, 7533.
Deabolis 8091, 8698, 8729, 9387.
Debeltum 6871, 6878, 6937.
Debora 1887, 3185, 7896.
Decius 189, 200.
Demetrius Bulgarus 7698.
Dem. martyr 5776, 5784, 7824.
Demetrius Theodori f. 8335.
Dem. Tornices 8433, 8477, 8543, 8559.
Demophilus 9645.
Dermocaites 7424.
Deure 9153.
Dexiocrates, Gerocomii praef. 9846.
Dicorus 1112.
Didymotichum 7225, 7361, 7369, 7846, 8086, 9043, 9075, 10236.
Didymus 1144, 9790.
Diocletianus 251, 269.
Diogenes 3932.
Diomedes martyr 2540.
Dionysus 161.
Dioscorus 1013, 9720, 9729, 9775, 9893.
Dioscurus 764, 823, 835, 977.
Dium 8512.
Doloicus, Pleae comes 6714.
Domitianus 43.
— patriarcha 9604.
Dorylaeum 4379, 4641.
Dragotas 8491, 9000, 9015.
Dyrrhachium 7687, 8601, 9114.

E.

Echstos 1557, 5221, 5984.
Edessa 2734, 2994, 3033, 3037.
Eetion 7249.
Ἐλαία, ἡ κατ' Ἐλ. ἐκκλησία 9691.
Eleutherius 9580.
Elias Thesbites 2580.
Ἑλληνίων γράμματα 2474.
Epiphanius 9771.
Ephesus 9462, 9699. τὸ ἐν Ἐφ. ληστρικὸν συνέδριον 9721.
Ephori monast. 5595.
Ephraëmus 8968.
Epicurus 2.
Epidamnus 1047.
Epirus 7559, 7636, 8600, 9432, 10391.
Ericus Dandolus 6689.
— S. Pauli comes 6713.
Ericus vel Ernes, v. Erres.
Erinnys 251, 965, 1648, 4982, 5057, 5219.
Erres (Ericus) 7241, 7244, 7409, 7429, 7678, 7709, 7734, 8729.
Esaias 1179.
Euagrius 9649.
Euboea 7316.
Euchais 9762.
Eudocia 713, 2512, 7297, 9289.
— Irenes soror 8616.
— Annae f. 7834.
Eudoxia 677, 9684.
Eudoxius 9640.

Euergetae monast. 7064.
Eugeniota Chariton 10187.
Eugenius 619, 623.
Eulogia 9536.
Euphemia 849. martyr 9599.
Euphemius 9747.
Euphrates 2993.
Euphrosyne Ducaena 6283, 6293, 6882, 7105, 7326, 7565.
Euripides 6641.
Eurystheus 1350.
Eusebius Nicomedensis 9625.
Eustathius Epidauri praesul 4748.
— patriarcha 9651, 10077.
— Thessalonices pr. 4790.
Eustratius Garidas 10113.
Euthymius, Sardium episc. 2214, 2216.
— Syncellus patriarcha 10039.
Eutyches 823, 977, 9730, 9893.
Eutychius 6518. patriarcha 9782, 9792, 9800.
Eutza 8516.

F.

Felix 9580.
Flandria v. Balduinus.
Flavianus 762, 824, 9717.
Flavitas 9741.
Florus 229.
Franci 1711, 1941, 1946, 1958, 3565, 3570, 6909, 7183, 8299.
Francia 5976.
Francochorium 3856.

G.

Gabala 8147.
— Ioannes, Rhodi princ. 8629.
Gabria Trapezunti tyrannus 3964.
Galatia 1318.
Galba 23.
Galerius v. Maxim.
Galesium 10302, 10312.
Galienus, Valer. f. 212.
Galitza 4231, 6449.
Galliae 523, 593, 8301.
Gallus 201.
Gangra 3895.
Ganus 8196.
Gedeon 7941.
Gennadius 944, 9731.
Genuenses v. Ianuenses.
Georgius Acropolites 9140.
— Cyprius 1787, 10334.
— martyr 3160, 10260.
— Muzalon 9058, 9300, 9310.
— Xiphilinus 6024, 10225.
Gerasimus 10383.
Germanicia 9642.
Germani 1947, 5976, 5987. Germanici barbari 1712.
Germanus 1602, 1630, 1704, 1787.
— patriarcha 12254.
— Trinobi episc. 8180, 8580.
— Cyzicenus patr. 9896.
Gizerichus 939.
Glabas 8690.
Goleamus 8699.
Goliath 4152.
Gordianus 176.
Graecia 3324.
Gratianus 524, 553, 555, 557, 560, 884.
Gregorius 655, 1709, 1956. Phosphorus Nyssen. 6519.
Γρήγορος νοῦς θαυματοῦργος 180, 9655.

H.

Hadrianus Aelius 83, 110, 335.
Hadrianus papa 1935.
Hadrianopolis 5878, 6938, 7209, 7369, 7795, 8085, 8217, 8961, 10279.
Haemus 5764, 5794, 6072, 7341, 8227.
Halmyrus 7324.
Harmala 6047.
Harmatius 1016, 1019.
Hebdomus 782.
Hebraei 9, 102, 1329, 1373, 1668, 1684.
Hebrus 8233, 8485, 8965, 9040.
Hector 4066.
Helena, mater C. M. 295, 376.
Hellas 6591, 7235, 7367.
Hellespontus 2128, 8482, 8610.
Heraclea 7534, 7813.
Heraclius 1342, 1346, 1428.
Heraclonas 1422, 1424.
Hercules 1348, 4058.
Herculius 256.
Hermes (Ἑρμοῦ φίλος) 10, 229, 437, 4071.
Hermogenes rhetor 140.
Herodes 1557.
Hieracorphytes 3801.
Hierapolis 2776.
Hieremias 4621.
Hieroboam 2075.
Hierosolyma 1397.
Hispania 574.
Homerus 1015.
Honorius 659.
Hunni, Turcarum gens 3127, 3847, 3862, 4173, 4187.
Hyacinthus monast. 7630.
Hyaleas 8714.

I.

Jadana 6766.
Jael 1857.
Jannes 9993.
Jannenses (Gennenses) 8267.
Japhreus 8320.
Jathatines, Persidis princ. 7569, 7612, 8456.
Iatropulus 8530.
Ibancus Moesus 6385, 6391, 6474, 6500.
Iberi 5826.
Iberia 2226.
Icasia 2318, 2322, 2332.
Iconium 3984, 4094, 4396, 4405, 5962, 7576, 8456.
Ida 7248.
Ἴγκλινοι v. Angli.
Ignatius patriarcha 10006, 10019.
Ignatius 70.
Ilias 1014, 1334, 6655.
Illyrium 2984.
Incer 2512.
Indi 3137, 5200, 5511.
Ioannes Asanis frater 5903.
— Axuch 3744, 3750, 3751.
— Beccus 10325.
— Bulgarorum 7393, 7792.
— Camaterus 6503, 10229.
— Cappadox, patr. 9768, 10353.
— Catacuzenus 8634.
— Chrysostomus 674, 6517.
— Comnenus 3695, 6557, 6576.
— Cyprius Spyridonaces 6595, 6608.
— Damascenus 1789.
— Ducas 5461, 8714. D. Vatatzes 7852.
— Gabalas v. Gabalas.
— Glycys 10378.
— Haereticus 1601.
— Levita 9891.
— Moesorum pr. 6388, 6616, 7340.
— patriarcha 2415, 2424.
— Scholasticus 9796.
— Sionis rex 8138.
— Theodori f. 8335, 9267.
— Tzimisches 2818, 2861.
Joannitza 6032.
Jobus 1233.
Josephus Bringa 2754.
— Hebraeus 9, 2040.
— patriarcha 10300.
Jonia 7743.
Jovianus 472.
Irene 1853, 1885, 1899, 1933, 1960, 1966, 8770, 6441, 6923, 7426.
Irene Theodori f. 8335, 9290. Annae f. 7834, 7892, 8006.
Isacius Angelus 5374, 5389, 5403, 5415, 5429, 5447, 5454, 5471, 5030, 6645.
— Comnenus 3223, 3227.
— Cypri tyr. 5397, 5984, 6365.
— Nestongi fr. Tarchaniotes 7987.
Isaias 10388.
Isauri 908, 961. Isauria 1669, 3995.
Isdigerdes, rex Persarum 706.
Ises 8024.
Ismael 2246.
Ismaelitae 6915.
Ister 1228, 3320, 3847, 3854, 4285, 5801, 8226, 8303.
Italia 405, 1949, 1963, 3971, 6402, 6722, 8801.
Itali 1951, 3558.
Judaeus membris fractus sanatus 728.
Judaica ferocia 36.
Judas 2205.
Julianus Didius 150. apost. 438, 506.
Jupiter 95. Jovis magi 349.
Justina 601.
Justinianus 1123, 1469, 1522.
Justinus 142. Thrax 108. iunior 1154.
Juvenalis, episcopus 834.

L.

Lacapa 2692.
Lampetes 8707.
Lampsacus 8142, 9055, 9072, 9435, 9440.
Laodicea 3768, 5957.
Larissa 3500, 7235, 7292, 8363, 8715.
Lascarius 7417, 7632, 7716, 7739.
Lascaris 8532.
Latini 3598, 3974, 4339, 5181, 5573, 5574, 5838, 6783, 6890.
Laurentius 9592.
Lazarus pictor 2309. redivivus 2650.
Lentiana 7420, 7511, 7974, 8578.
Leo Armenius 2074, 2153, 9980, 10009.
— Basilii filius 2605, 2615, 2632.
— Isaurus 1644, 1680, 1719, 9907.
Leo II. 1828. III. 1936, 1961.
— iunior 949, 957.
— Macelles 876, 951.
— papa 821, 823.
— Phocae frater 2760.
— Sgurus 7275, 7297.
— Synesius 5127.
Leontina 905, 909.

Leontius philosophus 712. al. 1501, 1509, 1519, 1531. patriarcha 6007, 10209.
Lesbus 1990, 3522.
Leucas 9427.
Levunus 3900.
Libycus 1827.
Lichudes Constantinus 10092.
Licinius 287, 306, 342.
Lobitzo in Moesia 3252.
Lobitzus 5893.
Lombardi 7183.
Longobardi 2386, 7561.
Lopadium 3954, 3959, 5134, 7251, 7258, 7512.
Loxias 6206.
Lucas Chrysoberges 10180.
Luma 4655.
Lychnidas 8728.
Lycia 814, 3991.
Lydia 4084, 5910.

M.

Macedones 5198, 7357.
Macedonia 408, 591, 2514, 3522, 3539, 7672, 8087.
Macedonicus 644, 649.
Macedonius 9632, 9759.
Macrinus 158. hetaeriarcha 7989, 7995, 8649, 9200.
Macroducas 5155.
Madyta 8195.
Maeandrus 3784, 7587.
Magdalene 2652.
Magnentius 415, 417.
Magnesia 7997.
Mahumetus propheta 4775, 4782, 4820, 4821. Persidis princ. 3135, 3152.
Maliasenus 8707.
Mamaea 165.
Mamalus 5230.
Mana 2349.
Manasse 2438.
Mancaphas 5924.
Manes 244.
Mangane 5158.
Mangani 3157, 10188.
Maniaces 3030, 3111.
Manichaei 247, 3650.
Manuel 2367, 4026, 4033, 4041, 4211, 4315.
— Contophreus 8317.
— Lachanas 5128.
— Lascaris 9050, 9134.
— Michaelis Angeli fr. 7638.
— patriarcha 7724, 7854, 8859, 8922, 10261, 10268.
— Theodori frater 8064.
— Comnenus 4601, 4668, 5366.
Marcianus 794, 827, 866, 909.
Marcus 9596, 2670.
Margarites 9050, 9087.
Maria Alamanna 7517. Annae f. 7834, 8062, 8338. Asanis f. 3890, 8062, 8338. βασιλίς 4850.
— Isaaci uxor 7230.
— Petri Latini f. 7706.
— χριστοτόκος 736, 1883, 2384, 2652.
— Theodori f. 9291.
Maritza 8199.
Maronea 7815.
Martina 1422.
Martinus 1433.
Mates 9152.
Mauricius 1231, 1292, 1296, 9806.
Maxentius 279, 289, 306, 308.
Maximinianus 251. patr. 745, 9704.
Maximinus 170, 269, 282.
Maximus 173, 1432, 603, 613. patriarcha 7855, 10249.
Mediolanum 636.
Melangi 6360.
Melangia 4077.
Melenicum 8125, 8494, 8757.
Meludium 5474.
Mesembria 10358.
Meteopicum 9534.
Methodius 2214, 2218, 2307, 2425, 8583. patr. 10000.
— Hyacinthi coen. praef. 10264.
Metrophanes 9605.
Michael Archangelus 1084, 4694, 7684, 7653, 7918.
— Asanis f. 3890, 8338, 8826.
— Autorianus, patr. Nic. 10240.
— Caerularius 10084.
— Calaphates 3064, 3087.
— Choniates 7289.
— Comnenus, Palaeol. fr. 8572, 9177.
— Comneniades 8737, 8801.
— Ephesi episcopus 3438.
— Epiri princeps 7558.
— Illyrii despota 8604, 8653, 9107, 9159, 9219.
— Oxitani coenob. praef. 10135.
— Palaeologus 8678, 8868, 9343.
— parapinaces 3997.
— patriarcha 7474, 10183.
— Stratiota 3211, 3227.
— Thessalicensium rhetor 4749.
Milium 7129.
Mitatum 6922.

Mitylene 9257.
Mocius 2661.
Moesi 1098, 1584, 2057, 2467, 2898, 2905, 2910, 5763, 5883, 7369, 8278.
Moglenus 3556.
Montiferratum 6710, 6942.
Mopsucrene 442.
Mopsuestia 1145, 2771.
Morotheodorus, Philadelph. pr. 7520.
Mosaicae tabulae 1891.
Moselus 1900, 1907.
Moses 3817.
Mosynopolis 5694, 7816.
Murtzuphlus Ducas 7005, 7101, 9302.
Musae 10335.
Muzalo Nicolaus Cyprius 10161.
Myriocephalum 4403, 4423.

N.

Nacolia 9988.
Narses 1131.
Nathan 2833.
Nauplia 7280.
Nautzapolis 9033.
Navatus 194.
Neapolis 9749, 9836.
Nectarius 652, 673, 9664.
Neocaesarea 3962.
Neocastrum 7756, 7759, 9052.
Nero 19, 54.
Nestongus v. Andronicus.
Nestor 4064.
— vestarcha 3417.
Nestorius 734, 743, 841, 9695.
Nicaea 1626, 1631, 1873, 3340, 3566, 4906, 5081, 5091, 7465, 7628, 8874, 9616, 9965, 10239.
Nicephorus 1902, 1907.
— Blemmydas 8933.
— Botoniata 3420, 3426, 3441, 3456, 3464.
— Bryennius 3418.
— Michaelis despotae f. 8655, 9108.
— Ephesi episc. 9461, 10286.
— ὁ γενικὸς λογοθέτης 1978.
— patriarcha 2027, 2041, 2125, 9975.
— Tarchaniotes 8257, 8455, 8672.
Nicetas Muntanus 6003, 10203.
— patriarcha 9931, 9970.
Nicetiatae 8314.
Nicolaus Carabus 7015, 7025.
— Chrysoberges 10067.
— Manclabites 8496, 8735.
— patriarcha 10034, 10120.
Nicomedia 3343, 4910, 8311, 9629.
Niphon 10368.
Nireus 6333.
Nistrium 3922.
Nisus 6158, 6175.
Numerianus 240.
Nymphaeum 7746, 9065, 8609, 8890, 8914.

O.

Ochyrae 7421, 7511, 7751, 7991.
Odrysum 114.
Odyssea 1014.
Oenaeum 4859, 4877, 4880.
Olympianus 9596.
Onesimus 9578.
Opsicius 1736.
Orestias 6487, 7389, 7801, 7958.
Origines 153, 167, 177, 193, 1144, 9789.
Ostrobum 8596, 8687.
Otho 23.
Oxia 10136, 10138.

P.

Paeones 3857, 4144, 4163, 7836, 8302, 9096.
Palaestina 92, 178, 926, 1321, 1796, 5944.
Pamphylia 3795.
Panium 7814.
Pannonia 502, 585.
Pantaemus 146.
Paphlagonia 1318, 1329, 1364, 4882, 4916, 4986, 7532, 7537, 9214, 9362.
Pasgusa polus 3994.
Patmos 48.
Patra 9421.
Patroclus 5767.
Patzinacae 3123.
Paulus, apost. 361, 4750, 5600, 5622.
— patriarcha 9617, 9829, 9837.
— Samosatensis 221.
Pegae 6667, 7250, 8012.
Pelagius 7430, 7455.
Pelagonia 4130, 4141, 4185, 7669, 8602, 9165, 9396.
Peloponnesus 6592, 7236, 7367.
Pentachira 4656.
Pergamus 4261, 7759.
Periclytus 3907.
Peristitza 8967.
Perperacium 8967.
Pernicus 2918.
Persae 210, 458, 2407, 2899, 3369, 3781, 3931, 4262, 4481, 4643, 4665, 9538. etc.

Persarmenii 3867, 3890.
Persia 244, 480, 1221, 1316, 1356, 1377, 9119, 9122. etc.
Pertinax 147. pontifex 9592.
Petebinus 4224.
Petraliphus 8309, 8437, 8698.
Petrium 6827, 7076, 9600.
Petronas 226, 266, 272.
Petrus apost. 16, 361, 5769, 5796, 5800, 6276. mysarcha 6386.
— vir fortis 7242. Latinus 7676, 7690.
— patriarcha 9605, 9833. Cyprius 9939.
Peza 3922.
Phaeton 4842.
Phaeaces 4127.
Phalaris 1557, 5222.
Pharsala 8363.
Pherep 3922.
Philadelphia 4636, 5913, 5917, 5956, 8814, 8915, 10384.
Philea 7051.
Phileremus 8637.
Philes Theodorus 9364.
Philippicus 1281. Bordanes 1564, 1569, 9888.
Philippopolis 5880, 5951, 6168, 6182, 6398, 6495, 7210, 7810.
Philippus 182. frater regis Alam. 6406.
— Petri Latini f. 7705.
Philomelium 3657, 4088, 5958.
Philon, Hebraeus 9.
Philonidas 154.
Phocas, episc. Philadelph. 8713.
Phocas 1278, 1288, 1294, 1304, 1344.
— Nicephorus 2759, 2765, 2835, 2838.
Phoenices 1321, 1606, 2960, 3370.
Photius 10016, 10021.
Phrixi portus 9828.
Phrygia 2187, 3784, 3991, 4064, 4400, 5975.
Pisani 6903, 6910.
Pitheca 1082.
Platamon 8363, 8597.
Plato, monachus 2039.
Plutarchus 9579.
Poemanenum 7255, 7420, 7511, 7916, 7974.
Polycarpus 142, 9579.
Polyeuctus patriarcha 2832, 10056.
Pompianus 174.
Pontus 3961, 9567.
Prespa 8091, 8603.
Presthlabi gemini 2916.
Priamus 4065.
Priapus 161.
Prilapus 6589, 7669, 8089, 8602, 9025, 9134, 9166, 9397.
Principis insula 1989, 3080.
Proclus 747, 752, 9707.
Proeconnesus 2128, 10296.
Propontis 4934, 5896, 6268, 6649, 6994.
Prosacon 6456, 6461, 6471, 8516.
Prota insula 3392.
Prusa 5081, 5092, 5132, 7260, 7467, 7903.
Publius Balbinus 174.
Pulcheria 704, 779, 791, 817, 860.
Pyrrhus patriarcha 9820.
Python 6225.

R.

Raimundus 3577, 3912.
Raulus 8432.
Raul Ioannes 9416.
Regina flumen 9079, 9093.
Rhaedestus 6198, 7814.
Rhapsommutus 3526.
Rhentine 8412.
Rhodope 6620, 8030, 8126, 8227, 8963, 8982.
Rhodus 1610, 1611, 3522, 8626.
Ricardus, Siciliae dux 5707.
Robertus Italus 3490, 3498, 3501, 3508, 8135.
— Petri f. 7705, 7720.
Roma 16, 70, 278, 405, 821, 832, 910, 1707, 1961, 1935, 1945, 1952, 6739.
Romaica sceptra 55.
Romais 801, 806, 1048, 2093, 2466, 2487, 2781, 7490.
Romanus Argyropulus.
Rom. Constant. f. 2743, 2876.
— Diogenes 3353.
— Lacapenus 2692, 2731.
Rossi 2593.
Rossicus exercitus 2845, 3120, 6548.
Rossus 2770.
Ruselius 3416.
Rusticius 934.

S.

Sabellius, scaevus Afer 204.
Sabus 7519, 7528.
Saducaei 2196.
Salamo 96, 2077.
Samona 2657.
Samos 3522, 6176.
Sampson 7518, 9780.
Samuel, princeps Bulg. 2902.

Santalorenus 2606.
Sardanapalus 160, 162, 2928.
Sardica 2917, 3851, 4178, 4276.
Satan 2, 2299, 3608.
Saturnus 95.
Saul 3020.
Savus flumen 4166, 4285.
Sclavi 1472.
Scopia 2916.
Scopii 6172.
Scuterius Xyllas 9135.
Scythae 541, 548, 563, 3248, 3552, 4395, 5179, 5185, 5817, 7346, 8953.
Σκυθικὴ ἐρημία 542, 2897, 3808, 8339.
Sebastiani fratres 5224.
Sedecion 9579.
Selybria 7813.
Semei 4562, 4581.
Senacherimus 7805.
Sergius patr. 9819, 10075.
Serrae 5354, 5691, 7234, 7951, 7958, 8489, 8988, 9035.
Servia 9114, 9147.
Seth 5363.
Severus 151, 1074, 9775.
Sgurus Corinthi tyr. 7555.
Siciditea monachus 6507.
Sicilia 1438, 3031, 6682.
Sicilica classis 4121, 5689.
Siculi 5175.
Silvester 367, 376.
Simon, magus 14.
Sion 93, 377, 714, 834, 926, 1369, 1377, 3576, 4001, 4107, 5978, 6016.
Sisinnius 732, 9690. patr. 10070.
Sisyphus 4881.
Smoleni 6602.
Smyrna 142, 7760.
Smyrnaei 778.
Solomonteum convivium 5662.
Sophia 1164, 1212.
Sophocles 6641.
Sosandron monast. 7886, 9283, 9305, 10385.
Sosius 9395.
Soterichus Panteugenus 4746.
Sozopolis 3796, 5004.
Spartenus 8530.
Stachys 9573.
Stagira 6258, 7816.
Stanum 9395.
Staridoli 8595.
Stauracius 2026.
Stenimachus 8966, 8983, 6496, 8510.
Stephanus Triballorum princ. 7300. patr. 10023.
— Amasenus 10042.
— Ἁγιοχριστοφορίτης 5150, 5164, 5361, 5612. martyr 6. monachus 1794.
Sthlabus 8031.
Strategopulus 8989, 9416.
Strumitza 6453, 6614.
Strymon 5691, 8411.
Studium 2038, 3089, 3279, 9556.
Stumpium 6158.
Styppes Leo 10131.
Styx 5060.
Subleum 4380.
Sultanus 4372.
Sycae 9595, 9742.
Sylaei lupus 1779, 9916, 9991.
Synadenus 7988.
Synchitici 1066.
Syracusae 1439.
Syria 1418, 1606, 1797, 3584, 3910, 3996.
Syri 2776.
Syri Cilices 2768.

T.

Tacharii 8441, 8459, 9037.
Tacitus 228.
Taenarus Ἅιδου 4429.
Tancredius, Siciliae rex 6035.
Tanisenanium 3890.
Tarasius patr. 1867, 9962.
Tarchaniotes v. Isaacius.
Tarsus 2771, 3904, 4201, 6053.
Taurosçythae 5222, 5486, 5493.
Taurus 1105, 7311.
Telchin 1264, 1648, 1927, 5220.
Ternobus 7404.
Thamor 8388, 8391, 8756.
Thebae 7290.
Thecla 3264. martyr 9741.
Theodora Asanis f. 8338.
Theodora 1147, 2328, 2417, 2496, 3093, 8194, 9289.
Theodorus Angelus 5119, 8027, 8060, 8454, 8594, 8658.
— Comnenus 8133.
— Calampaces 9138.
— Irenicus 12246.
— Lascaris Ducas 8907, 9097.
— Lascaris 6818, 6856, 7462, 7926, 7945, 8177.
— Latus, Sionis patr. 6017.
— Lydus 6039.
— Magnus 2850.

— Mancaphas 7265.
— Michaelis ang. fr. 7638, 7659.
— monachus 2039.
— Mopsuestiae episc. 1144, 1791.
— νόθος 9196.
— patriarcha 9854.
— Philadelphensis 5909.
— Philes 8590.
Theodosius, Sionis 10219.
Theodosius 574, 590, 606, 622, 690, 768. patr. 10191.
Theod. exactor 1620. Caesar 1627.
Theod. Atramyttenus 1636.
Theodotus Casiteras 9984. Melissenus patr. 10172.
Theophanes 2132, 2140, 2308.
Theophano 2645, 2745.
Theophilus 2249, 2311, 2364, 2433, 9994.
Theophobus 2367.
Theophylactus 10050.
Thermopylae 7276.
Thersites 2346.
Thessalia 4810, 5738, 6590, 7671, 8033.
Thessalonice 627, 2040, 4788, 5172, 5188, 5193, 5352, 5714, 5724, 5785, 7546, 7819, 8562, 9020.
Theudas, magus 14.
Thomaites 1889.
Thomas 2219. patr. 9813, 9839.
Thracesium thema 4083.
Thracia 114, 408, 511, 591, 881, 1246, 1584, 1879, 2057, 3124, 3322.
Thucritus 10204.
Tiberius 1207, 1303.
Tichus 9290.
Timon 5236.
Timotheus 9763.
Tithonus 10204.
Titus 9602.
Tornices Demetr. 8693, 8740.
Tornicius 3117.
Torusa 4204.
Traianopolis 7815.
Traianus 65.
Tralles 4654.
Triballarcha 6171.
Triballi 3835, 4131, 4180, 7666.
Triaditza 5885, 6157.
Trinobus 8275.
Tripolis 3917. ad Maeandrum 8465.
Tripsychus 5232.
Troas 7245.
Tryphon 10047.
Turcae 3149, 3567, 3656, 3951, 4076, 4078, 4089, 4530, 5124, 5925, 8442, 9037.
Tzachas Turca 3520.
Tzepaena 8966, 8990, 8510, 8985, 9045, 9003.
Tzibritza 4421.
Tziritho 8532.
Tzurulus 7377, 8248, 8307, 8612.

U.

Ungri (Pannonii) 3248, 3250, 4282.
Ungria 5757, 8328.
Urbicius 1049.
Uresis 4142.
Urus Rossus 9095, 9099, 9227.
Ustra 8966.
Uzi 3319.

V.

Valens 510, 526, 552, 562, 9652.
Valentinianus 500, 558, 599, 618.
Valerianus 208.
Varangi 3452.
Varna 6156, 6166, 6624.
Vatatzes Ducas Ioannes 7845, 8144, 8293.
Venetae 4321, 4336, 4341, 4346.
Veneti 6904, 7179, 7183.
Venetia 6689, 6717.
Verenicum 7975.
Verina 903, 971, 972.
Vespasianus 26.
Vetranio 417.
Vitellius 23.

X.

Xanthia 6479, 8088.
Xenolophus 684.
Xiphilinus 4940, 4947, 10099.

Z.

Zeno 906, 948, 961, 990, 996.
Zeugminon 3850, 3858, 4167, 4254, 4286.
Zichni 8486.
Zoe 3003, 3093, 3094.
Zoilus 9591.

LIPSIAE,
EX OFFICINA B. G. TEUBNERI.